BIBLIOTECA

DE LA

Universidad de Salamanca.

Sala 1 Est. 31 Tab. 4 Núm. 34

1a
13044

ARRIAN
Periplus

35

1a
13044

971 ~~...~~ ταλε
320 Cυκο.
230 ἐχαρίσθη
410 ταλε δεκ...
220 ελ ...
44 σοκυδιλλα
2300 κοφεε
950 ταλε
75 ταλε

6213 κουε σρν ...δις/2Η292 / 563. γελ κονε
... καδος ... 230. 7 οικοι
610
230
403

Num. 31. cap. 2. num. ~~35~~

[illegible]

Arriani, & ~~Nom~~ Noni Poëtæ
in euangelium Ioannis

Æmilius Perotius

# ΑΡΡΙΑΝΟΥ ΠΕΡΙΠΛΟΥΣ ΕΥΞΕΙΝΟΥ ΠΟΝΤΟΥ.

ΤΟΥ ΑΥΤΟΥ περίπλους τῆς ἐρυθρᾶς θαλάσσης.
ΑΝΝΩΝΟΣ περίπλους λιβύης.
ΠΛΟΥΤΑΡΧΟΥ περὶ ποταμῶν καὶ ὀρῶν.
ΕΠΙΤΟΜΗ τῶν τοῦ Στράβωνος γεωγραφικῶν.

ARRIANI & HANNONIS periplus.
PLVTARCHVS de fluminibus & montibus.
STRABONIS epitome.

FRO BEN.

BASILEAE ANNO M D XXXIII

316044770 (1)

ARRIANVS E VOLATERRANO

ARRIANVS è Nicomedia historicus, Xenophon minor cognominatus, sicut ille de Cyro, ita hic de Epicteto philosopho eiusq; dissertationibus opus ædidit tribus uoluminibus. Scripsit quoque historiam Alexandri magni VIII libris. Vtrumque opus habetur in bibliotheca Vaticana. Emicuit Romæ sub Hadriano & M. Antonino principibus, à quibus ob literas honoribus usque consularibus euectus est. Autor Heliconius.

SIGISMVNDVS GELENIVS ANSELMO EPHORINO MEDICO S.

COMPLVRES Græcos orā orbis habitabilis, maritimarūq; regionū lustrationē, quam illi περίπλουν uocāt, scripsisse, uel ex indice Plinij clarū est: qui tamen omnes nunc desiderātur. quare ne hacquoq; cognitiōe studiosi diutius careāt, en prodit ex officina Frobeniana Flauij Arriani in hoc genere scriptū sanè accuratū. Is Romani quidem fuit generis, sed græca eloquētia Græcis ipsis nō inferior: ac Cappadociæ præses sub Adriano, ut Spartianus refert, eā prouinciā ab incursionibus barbarorū gnauiter tutatus est. Hanno uero simile argumentū eo maiori fide tractauit, quod ipse ei nauigationi nō interfuit solū sed præfuit: nec Plinius eum testē aspernatur. Et hos quidē duos uel ob ipsorū uetustatē & argumēti raritatē, uel q̃ hoc seculo adeo nō in publico uisi, ut ne expectati quidē, sint, gratiā apud lectorem habituros facile adducor ut existimem. Cæterū Strabonis excerpta, cōpēdiosa breuitas cōmēdabit. Plutarchū uero hunc, Chæronēsem illū non esse stilus satis arguit: & alioqui titulus nudū Plutarchi nomen habet: attamē hūc quoq; ex uetustiss. quibusq; sua hausisse, crebra autorū citatio declarat. Hos oēs sub tuo nomine Anselme iucundiss. in lucē prodire, mutuæ nostræ beneuolētiæ monumentū, uisum est & tibi fore gratū, nec ab officio nostro alienū. Vale.

## ΠΙΝΑΞ ΕΚ ΤΩΝ ΤΗΣ ΕΥΡΩΠΗΣ.


| | | | |
|---|---|---|---|
| Ἄβδηρα | 131 | ἀλφειὸς ποταμός | 59.134 |
| ἀβοριγῖνες | 95 | ἄλωρος | 129 |
| ἀγχίαλη | 123 | ἀμπρακία | 126 |
| ἀγκών | 97 | ἀμφίλοχοι | 126 |
| ἀδρία | 92 | ἄνας ποταμός | 81 |
| ἄδριον ὄρος | 122 | ἀνδανία | 134 |
| ἀθαμᾶνες | 143 | ἄνδρος νῆσος | 147 |
| ἄθων ὄρος | 130 | ἀνθηδών | 140 |
| αἰγαί | 137.140 | ἀξιὸς ποταμός | 129 |
| αἰγοῦσα | 81 | ἀπέννινα ὄρη | 90 |
| αἰθαλία νῆσος | 94 | ἀπολλωνία | 122.123.131 |
| αἴθικες | 127 | ἄπουλοι | 111 |
| αἷμον ὄρος | 52.120 | ἀράρ ποταμός | 46 |
| αἰνιᾶνες | 143 | ἀρδέα | 95 |
| αἰόλου νῆσοι | 110 | ἄργος ἀμφιλοχικόν | 126 |
| αἴσαρος ποταμός | 104 | ἄργος | 137 |
| αἴτνη ὄρος | 106.108 | ἄρποι | 113 |
| αἰτωλοί | 142 | ἄσκρη | 140 |
| ἄκανθος | 130 | ἄσινα | 81 |
| ἀκαρνᾶνες | 142.126 | ἀσωπὸς ποταμός | 140 |
| ἄκτιον ἄκρον | 143 | ἀττική | 139 |
| ἀκυΐτανοί | 86 | αὐλίς | 139 |
| ἀκυληία | 91 | ἄφυτις | 130 |
| ἄλβα | 95 | ἀχελῶος ποταμός | 62 |
| ἄλβις ποταμός | 114 | ἀχέρων ποταμός | 102 |
| ἄληξ ποταμός | 104 | ἀχίλλειος δρόμος | 117 |
| ἀλιάκμων ποταμός | 129 | ἄψος ποταμός | 122 |
| ἄλπεις | 85.91 | ἀψυρτίδες νῆσοι | 92.121 |


Βαίαι




| | | | |
|---|---|---|---|
| Βαίαι | 98 | δραβίσκος | 131 |
| βαλεαρίδες | 82 | δρίλων | 122 |
| βάδεις | 113 | δυρράχιον | 122 |
| βασίλειοι σκύθαι | 117 | δωδώνη | 126 |
| βέλγαι | 88 | Ἕβρος ποταμός | 43 |
| βέρροια | 130 | ἐγνατία ὁδός | 125 |
| βαῖτις ποταμός | 81 | ἐλάτεια | 141 |
| βοιωτία | 139 | ἐλέα | 100 |
| βορυσθένης | 117 | ἐλένη νῆσος | 139 |
| βρεντέσιον | 113 | ἐλευσίς | 132 |
| βρέττιοι | 101 | ἑλικὼν ὄρος | 43.137 |
| βρετανία | 89 | ἑλλάς | 125 |
| βυζάντιον | 124 | ἐνιπεὺς ποταμός | 136 |
| Γαβρῆτα ὕλη | 115 | ἔννα | 108 |
| γάδειρα | 84 | ἐρασῖνος ποταμός | 138 |
| γαληψός | 131 | ἐρέτρια | 142 |
| γαργάνου ἄκρα | 114 | ἐρίγων ποταμός | 129.131 |
| γενούα | 91 | ἑρκύνιος δρυμός | 114 |
| γερήνιον | 136 | ἔρυξ | 108 |
| γερμανοί | 114 | εὔβοια νῆσος | 141 |
| γέται | 116 | εὔξεινος | 116 |
| γύαρος νῆσος | 147 | εὔριπος | 140 |
| γυρτών | 128 | εὔρωπος ποταμός | 128 |
| Δακοί | 116 | εὐρώτας ποταμός | 56 |
| δαλματεῖς | 121 | ἐχινάδες νῆσοι | 143 |
| δανούβιος | 116 | Ζάκυνθος νῆσος | 143 |
| δελφοί | 141 | ζεφύριον | 103 |
| δήλιον | 139 | Ἦλις | 135 |
| διομήδειαι νῆσοι | 114 | ἤπειρος | 125 |
| δῖον | 128.130.142 | ἡράκλεια | 106 |
| δόλοπες | 142 | Θεοδοσία | 119 |


 θεσπιαί

θεσσαλονίκη 129
θέσπειαι 140
θουρία 136
θούριοι 105
θράκη 125
θυρίδες 136
θύσσα 130
Ἰάζυγες 117
ἰάποδες 121
ἰαπυγία 111.112
ἰαπυγία ἄκρα 112
ἰβηρία 81
ἰέρνη νῆσος 90
ἰθώμη 136
ἰλίπα 81
ἰλλυρία 122
ἴναχος ποταμός 57
ἰσμηνὸς ποταμός 42
ἴσσα νῆσος 121
ἴσπαλις 81
ἴστροι 92.121
ἴστρος πόλις 14
ἴστρος 14.116.123
ἰταλία 91
ἰτάλικα 81
Καλαβροί 111
κάλλατις 123
καλύδναι 147
καλυδών 63.144
καμπανία 98
κάνταβροι 82
καπρέαι 99
καπύη 98
καρδαμύλη 136
καρδία 132
καρκινίτης ποταμός 117
κάρμων 81
κάρνοι 121
κάρυστος 142
καρχηδὼν νέα 82
κασσάνδρεια 130
κασσιόπη 126
κασσωπαῖοι 126
κατάνη 106
καυλωνία 104
κελτική 86
κέμμενον ὄρος 84
κεραύνια ὄρη 122
κόρκυρα ἡ μέλαινα νῆσος 122
κεφαλληνία νῆσος 143
κέως νῆσος 147
κηφισσὸς ποταμός 140
κιθαιρὼν ὄρος 42.137
κίμβροι 115
κίμωλος νῆσος 147
κιρκαῖον ὄρος 97
κλεωναί 130
κνωσσός 146
κοκκύγιον ὄρος 58
κόραξ ὄρος 143
κορδύβη 81
κόρινθος 137
κόρκυρα

κόρκυρα νῆσος 127
κορφίνιον 97
κόσσαι 94
κωσεντία 102
κρανών 128
κρατής 99
κρήτη 146
κριμισσά 101
κριοῦ μέτωπον 54.119
κροκύλεια 143
κρότων 104
κυάνεαι νῆσοι 123
κύθνος νῆσος 147
κυλλήνη 133.138
κύμη 98
κυρνική νῆσος 121
κύρνος νῆσος 94
κῶς νῆσος 147
Λατῖνοι 93.95
λάος ποταμός 101
λέπρεον 134
λέρος νῆσος 147
λευκάς 143
λευκανία 101
λευκὴ νῆσος 13.117
λευκόπετρα 103
λευκαί 113
λευκωσία νῆσος 100
λιβυρνοι 121
λίγυες 90
λίπαρα 109
λούνα 95
λοκροὶ οἱ ἐπιζεφύριοι 103
λοκροὶ ὀζόλαι 142
λούγδουνον 86
λουσιτανία 82
λύκειον ὄρος 138
λυκόρμας ποταμός 49
λυσιμαχία 132
Μαιῶτις λίμνη 117
μακεδονία 128
μαλέα ἄκρα 137
μαρρουκῖνοι 97
μάρσοι 97.114
μαρώνεια 131
μάσης 137
μασσαλία 86
μέγαρα 106.138
μεθώνη 129.136
μαίναλος ὄρος 138
μένδη 130
μεσημβρία 123
μεσσήνη 106
μεταπόντιον 106
μηκύπερνα 130
μῆλος νῆσος 147
μισηνὸν ἄκρον 98
μολοττοί 126
μοῦνδα 81
μύκονος νῆσος 147
μυρμήκιον 119
μυσοί 115
Νάξος

Νάξος 106.147
ναρβωνησία 86
νάρων ποταμός 122
νεάπολις 98.130
νέριον ἄκρα 82
νέστος ποταμός 131
νικόπολις 126
νίσαια 138
νίσυρος νῆσος 147
Ὀβούλκων 81
ὀδησσός 123
οἴτη ὄρος 143
ὀλόφυξις 130
ὄλυμπος 128
ὄλυνθος 130
ὀξεῖαι 144
ὄρβηλος ὄρος 125
ὄσσα 128
οὐολτουΐου ὄρος 99
οὐέττωνες 83
ὄυρσων 81
Πάδος ποταμός 90
παγγαῖον ὄρος 44
παισός 100
πακτύη 132
παλλήνη 130
πανδοσία 102
παννόνιοι 122
παρθένιον ὄρος 138
παρθένιον κώμη 119
παρνασσὸς ὄρος 141
πάρος νῆσος 147
πάτμος νῆσος 147
πελασγοί 93
πελίγνοι 97
πέλλα 129
πελοπόννησος 138
περμησσὸς ποταμός 140
περραιβοί 141.142
πετηλία 101
πευκέτιοι 111
πευκὴ νῆσος 117
πήλιον 128
πηνειὸς ποταμός 128
πιερία 129
πιθηκοῦσσαι νῆσοι 99
πικεντίνη 100
πίμπλεια 128
πίνδος ὄρος 142
πίσα 94.135
πλαταιαί 140
πλευρών 144
πόλα 92
ποτίολοι 98
πρεπέσινθος νῆσος 147
προχύτη νῆσος 99
πύδνα 129
πύλος 132.134
Ῥάβεννα 92
ῥήγιον 102
ῥῆνος 114
ῥιζών 122





ῥοδανὸς ποταμός 90.107
ῥοδόπη ὄρος 52.121
ῥουσκίνων ποταμός 86
ῥουτοῦλοι 95
ῥώμη 95
ῥωξολανοί 117
Σάγρας ποταμός 104
σαλασσοί 91
σαλγανεύς 140
σαλεντῖνοι 111
σάλυες 87.90
σαμοθρᾴκη νῆσος 131
σάνη 130
σάπρα λίμνη 118
σαρδὼ νῆσος 94
σάσων νῆσος 113.122
σειρηνοῦσσαι νῆσοι 99
σέριφος νῆσος 147
σικελία 106.109
σίλαρος ποταμός 101
σιντοί 131
σινύεσσα 93
σίφνος νῆσος 147
σκιώνη 130
σκομβραρία νῆσος 82
σκυλάκιον 104
σκυθία μικρά 120
σκῶλος 140
σούγαμβροι 114
σούηβοι 114.115
στρυμὼν ποταμός 51.125
σύβαρις ποταμός 105
συμβόλων λιμήν 119
συρακοῦσαι 106
σῦρος νῆσος 147
Τάγος ποταμός 81
ταίναρον 136
τάναϊς 12.53.119
τάναγρα 140
τάρας 112
τάρβελλοι 87
ταΰγετον ὄρος 57
ταυρικὴ χερρόνησος 120
ταῦροι 120
ταυρομένιον 106
ταφιοῦς 143
τέμψα 101
τηλεβόαι 144
τῆνος νῆσος 147
τίβερις 92
τίμαυος λιμήν 92
τόμαρος ὄρος 127
τόμις 123
τοῦκκις 81
τουρδητανοί 81
τραγούριον νῆσος 121
τριφυλία 133
τραχίνιες 146
τυραγέται 117
τυρρηνία 92
Ὑδροῦς 113
ὕπανις ποταμός 117

| | | | |
|---|---|---|---|
| Φάλαγγης | 131 | Χαλκιδεῖς | 144 |
| φάρος νῆσος | 121 | χάονες | 122 |
| φειά | 134 | χερρόνησος πόλις | 118 |
| φίλιπποι | 131 | Ωλίαρος νῆσος | 147 |
| φολόη ὄρος | 138 | ὠρεός | 142 |
| φρεντανοί | 97 | ὠρωπός | 139 |
| φωκεῖς | 141 | ὦσια | 93.96 |


## ΠΙΝΑΞ ΕΚ ΤΩΝ ΤΗΣ ΑΣΙΑΣ.


| | | | |
|---|---|---|---|
| Ἀβασκοί | 7 | ἄμανον ὄρος | 156 |
| ἄβυδος | 163.199 | ἀμασία | 159 |
| ἀδιαβηνή | 188 | ἀμισός | 10.159 |
| ἀδουλεί | 16 | ἄμαστρις | 9.158 |
| ἀδραμύττιον | 163 | ἀμόριον | 162 |
| ἀδράστεια | 165 | ἄνδειρα | 170 |
| ἀθῆναι ἐν πόντῳ | 2 | ἀντιλίβανος ὄρος | 191 |
| ἀθριβίς | 199 | ἀντιόχεια | 190 |
| αἴγυπτος | 195 | ἀντίταυρος | 152 |
| αἴλα | 192 | ἀξωμίτης | 17 |
| αἰολίς | 163 | ἀπάμεια | 162.190 |
| αἴσηπος ποταμός | 162.164 | ἀπόκοπα | 20 |
| ἀκαβάρου | 33 | ἀραβία | 22 |
| ἀλαλαίου νῆσοι | 17 | ἄραδος νῆσος | 190 |
| ἀλβανοί | 150 | ἀράξης ποταμός | 63 |
| ἀλεξάνδρεια | 196 | ἀράττειοι | 31 |
| ἀλικάρνασος | 178 | ἀραχωσία | 186 |
| ἄλυς ποταμός | 10.157 | ἄρβηλα | 188 |
| ἀλωπεκία νῆσος | 148 | ἀργαῖον ὄρος | 157 |
| ἀμάζονες | 150 | ἀρεία | 186 |


ἀρμήνη




| | | | |
|---|---|---|---|
| ἀρμήνη | 158 | γεδρωσία | 186 |
| ἀρμενία | 154 | γέρρα | 194 |
| ἁρμόζον ἄκρον | 193 | γόργιθον | 166 |
| ἀρώματα | 19 | γηλοί | 153 |
| ἀρσινόη | 198 | γαργαρεῖς | 170 |
| ἀρτάκη | 164 | Δαμασκὸς | 191 |
| ἀσία ἰδίως | 155.174 | δάφνη | 19 |
| ἀσταβόρας ποταμός | 194 | δαχιναβάδης | 33 |
| ἆσσος | 163.70 | δέλτα | 195 |
| ἀταρνεύς | 163.169 | δημητριάς | 188 |
| ἀτουεία | 187 | δησαρήνη | 36 |
| ἀτροπατηνή | 153 | διοδώρου νῆσος | 16.23 |
| αὐαλείτης λιμήν | 18 | διοσκουριάς | 7.149 |
| ἀφαρ | 23 | διοσκουρίδου νῆσος | 25 |
| ἀχαιοί | 149 | διόσπολις | 198 |
| ἀχίλλειος κώμη | 148 | δολίονες | 162 |
| ἄψαρος | 3 | δορυλάιον | 162 |
| ἀψίλαι | 7 | Ἔδεσσα | 152 |
| Βαβυλών | 188.189 | ἑκατόννησοι | 172 |
| βακτριανοί | 32 | ἐκβάτανα | 153 |
| βαιώνης νῆσος | 30 | ἐλαία | 171 |
| βαράκης ἄκρα | 29 | ἐλέφας | 19.42 |
| βάργυσοι | 36 | ἐλεφαντίνη | 200 |
| βερεκύνθιον ὄρος | 51 | ἐλυμαῖοι | 154 |
| βερνίκη | 16 | ἐρεσός | 172 |
| βιθυνία | 160 | ἕρμος ποταμός | 159.174 |
| βούβαστος | 197 | ἑρμόπολις | 199 |
| βουκέφαλος | 31 | ἑρμώνασσα | 149 |
| Γάγγης ποταμός | 36.44.181 | ἐρυθραί | 176 |
| γάζη | 192 | εὐδαίμων ἀραβία | 24 |
| γαλάται | 161 | εὐμενία | 162 |




εὐφρά

εὐφράτης 60.188
Ζέλεια 164
ζηνοβίου νῆσοι 26
ζικχοί 11
ζυδρεῖται 7
ζύγιοι 149
Ἡλίου πόλις 197
ἡνίοχοι 7.149
ἡράκλεια 8
ἡρώων πόλις 197
Θάψακος 189
θεμίσκυρα 159
θερμώδων ποταμός 10
θῖνα 37
θεοφάνιος ποταμός 148
Ἴδη ὄρος 53.163.164
ἱεράπολις 174
ἱεροσόλυμα 192
ἴλιον 163
ἰνδική 181
ἰνδός 65.181
ἰνδοί 184
ἰόππη 191
ἰουδαῖα 190.191
ἶρις ποταμός 159
ἴσαυρα 161
ἰωνία 176
Καδδοι 162
καδουσία 153
καΐκος ποτ. 61.162.171.174
καλαίου νῆσοι 27
καλλίγνα 33
κανή 24
καυραῖται 22
κάνωβος 196
καππαδοκία 155
καρδουχία 153
κασπίαι πύλαι 153
κασπιοί 154
κατακεκαυμένη νῆσος 22
κατaονία 156
καταράκτης 195
καῦνος 178
κερασοῦς 10
κυνόπολις 199
κίβυρα 175
κίλλα 171
κίος 161
κιρράδαι 36
κλαζομεναί 176
κλάρος 176
κνίδος 178
κοίλη συρία 190.191
κολοσσαί 162
κολόη 17
κολωναί 168
κολοφών 176
κόλχοι 7.35.148.149
κόμανα 159.160
κομμαγηνή 156
κοτιαίον 162
κόρος ποταμός 150
κτησιφῶν 152
κύζικος 162
κύμη 163.172
κυρηστική 156
κύταιρος 158
κωσσαῖοι 153
Λαζοί 7
λαμναῖος ποταμός 30
λαοδίκεια 49.162.190
λατόπολις 199
λεοντόπολις 199
λέβεδος 176
λέσβος νῆσος 163.171
λευκὴ κώμη 22
λευκόσυροι 157
λίβανος ὄρος 191
λυκία 162
λυκόπολις 199
Μαγνησία 162.177
μαίανδρος 49.163
μαῖς ποταμός 30
μακροπρόσωποι 36
μαλαώ 19
μαρδοί 153
μαρσύας ποταμός 50
μασσαλία 36
μαχέλονες 7
μέλης ποταμός 177
μέμφις 197
μερόη 196
μηδία 153
μιδαίον 162
μίλητος 176
μινναγάρ 28.30
μόμεμφις 197
μόσυλλον 19
μοσχική 149
μοῦζα 22
μούζιρις 33
μουώδου ἐμπόριον 19
μυγδόνες 162
μυοῦς 176
μυσοί 162
Νακόλια 162
νεῖλος 55.195.197
νελκύνδα 33
νησαῖον πεδίον 154
νίκαια 161
νικομήδεια 160
νῖνος 187
νίσιβις 153
νιτική 11.149
νιφάτης ὄρος 155
Ὀζήνη 32
ὄκηλις 23
ὀμηρῖται 23
ὄμμανα 27
ὄξος ποταμός 151
ὀξύρυγχος 199
ὀπώνη 20
ὀρθωσία 191
ὄσπαρα 33

| | |
|---|---|
| οὐαρδάνης ποταμός | 148 |
| οὔξιοι | 153 |
| Πακτωλός ποταμός | 47 |
| παντικάπαιον | 12.149 |
| παπίου νῆσοι | 27 |
| παρθένιος ποταμός | 9 |
| πάριον | 164 |
| παφλαγονία | 9.157 |
| πέργαμον | 173 |
| πέρσαι | 187 |
| πεσσινοῦς | 162 |
| πηλούσιον | 192 |
| πιμόλισα | 160 |
| πιονία | 170 |
| πισιδία | 162 |
| πιτάνη | 163.169.171 |
| πιτύεια | 166 |
| ποδύκη | 36 |
| πολεμώνιον | 10 |
| πομπηϊόπολις | 160 |
| ποντικαππαδοκία | 155 |
| πορδοσελήνη | 172 |
| πρίαπος | 165 |
| πριήνη | 163.176 |
| προῦσα | 161 |
| πτολεμαΐς ἡ τῶν θηρῶν | 16 |
| πτολεμαΐς | 191.199 |
| πύγελα | 176 |
| πυράλαοι νῆσοι | 21 |
| πύραμος ποταμός | 156 |
| Ῥαπτά | 21 |
| ῥαφία | 193 |
| ῥαχοῦσσι | 31 |
| ῥήβας ποταμός | 8 |
| ῥυνδακὸς ποταμός | 162 |
| ῥινοκόρουρα | 192 |
| ῥόδος | 178 |
| ῥομβίτης ποταμός | 148 |
| Σαββαθᾶ | 24 |
| σαβαῖται | 23 |
| σαγγάριος ποταμός | 8.160 |
| σάϊς | 199 |
| σάμος | 176 |
| σαμόσατα | 189 |
| σανίγαι | 7 |
| σάννοι | 7.156 |
| σάρδεις | 159 |
| σαράπιδος νῆσος | 27 |
| σαυή | 23 |
| σελευκεία | 151.152.188.190 |
| σελευκίς | 190 |
| σίμυλλα | 33 |
| σισάται | 37 |
| σιδών | 191 |
| σίλας ποταμός | 183 |
| σινδική | 149 |
| σίνθος ὁ καὶ ἴνδος | 28 |
| σινώπη | 9.158 |
| σίπυλον ὄρος | 50 |
| σκάμανδρος | 53 |
| σκῆψις | 167.169 |
| σμύρνα | 176 |





| | |
|---|---|
| σόανες | 149 |
| σόδομα | 193 |
| σόλοι | 180 |
| σόλυμοι | 175 |
| σοῦσα | 186 |
| σύαγρος ἄκρα | 25 |
| σύνναδα | 162 |
| συήνη | 200 |
| συραστρήνη | 29 |
| συρία | 187.189 |
| σωπάτμα | 36 |
| Τάγαρα | 33 |
| ταξίλα | 186 |
| ταυθάραγοι | 31 |
| ταπροβάνη νῆσος | 36 |
| ταρσός | 180 |
| ταῦρος ὄρος | 147.153 |
| τένεδος | 168 |
| τέντυρα | 200 |
| τερηδών | 152 |
| τεύθρας ὄρος | 61 |
| τευθρανία | 171 |
| τίγρις | 64.188 |
| τίος | 9 |
| τμῶλος ὄρος | 159.48 |
| τραπεζοῦς | 1 |
| τρίπολις | 190 |
| τρωάς | 163.166 |
| τρωγλοδύται | 195 |
| τύανα | 4 |
| τύρος | 191 |
| Ὑδάσπης ποταμός | 41 |
| ὑρκανία | 151 |
| ὕσσου λιμήν | 2 |
| Φαναγόρεια | 149 |
| φαναροία | 160 |
| φάσις ποταμός | 5.45.150 |
| φοινίκη | 190.191 |
| φρυγία | 162 |
| φώκαια | 163 |
| Χάλυβες | 159 |
| χίος | 176 |
| χρυσῆ ἤπειρος | 36 |
| Ὡραία | 28 |

## ΕΛΕΓΧΟΣ ΕΚ ΤΩΝ ΤΗΣ ΛΙΒΥΗΣ.


| | | | |
|---|---|---|---|
| Αἰθιόπων | 20 | κέρνη νῆσος | 39 |
| ἄκρα | 39 | κυρήνη | 205 |
| ἄραμβυς | 39 | κώτης ἄκρα | 203 |
| ἄτλας ὄρος | 203 | Λιβύη | 203 |
| Βάρκη | 205 | λίξος ποταμός | 39 |
| Γύττη | 39 | λωτοφάγοι | 203 |
| Εσπέρου κέρας | 40 | Μαυρούσιοι | 203 |
| Θεῶν ὄχημα ὄρος | 40 | μέλιττα | 39 |
| θυμιατήριον | 38 | μῆνιγξ νῆσος | 204 |
| Ἰόλα | 204 | μαυρητανία | 203 |
| Καρικὸν τεῖχος | 39 | Νότου κέρας | 40 |
| καρχηδών | 204 | Σολόεις ἄκρα | 38 |


ΤΕΛΟΣ

# ΑΡΡΙΑΝΟΥ ΕΠΙΣΤΟΛΗ

## ΠΡΟΣ ΑΔΡΙΑΝΟΝ ΕΝ Ηι ΚΑΙ περίπλους εὐξείνου πόντου.

ΑΥΤΟΚΡΑΤΟΡΙ ΚΑΙΣΑΡΙ τραϊανῷ ἀδριανῷ σεβαστῷ, ἀρριανὸς χαίρειν. Εἰς τραπεζοῦντα ἥκομεν πόλιν ἑλληνίδα, ὡς λέγει ὁ ξενοφῶν ἐκεῖνος, ἐπὶ θαλάττῃ ᾠκισμένην, σινωπέων ἄποικον. καὶ τὴν μὲν θάλασσαν τὴν τοῦ εὐξείνου, ἄσμενοι κατείδομεν, ὅθενπερ καὶ ξενοφῶν, καὶ σύ. καὶ οἱ βωμοὶ ἀνεστᾶσιν ἤδη, λίθου μέντοιγε τοῦ τραχέος. καὶ τὰ γράμματα διὰ τοῦτο, οὐκ εὔδηλα κεχάρακται. τὸ δὲ ἑλληνικὸν ἐπίγραμμα, καὶ ἡμαρτημένως γέγραπται, οἷα δὴ ὑπὸ βαρβάρων γραφέν. ἔγνωκα οὖν τούς τε βωμοὺς, λίθου λευκοῦ ἀναθεῖναι, καὶ τὰ ἐπιγράμματα ἐγχαράξαι, εὐσήμοις τοῖς γράμμασιν. ὁ μὲν γὰρ ἀνδριὰς ἕστηκεν ὁ σὸς, τῷ μὲν σχήματι, ἡδέως. ἀποδείκνυσι γὰρ τὴν θάλατταν. τὴν δὲ ἐργασίαν, οὔτε ὅμοιός σοι, οὔτε ἄλλως καλός. ὥστε πέμψον ἀνδριάντα, ἄξιον ἐπονομάζεσθαι σόν, ἐν τῷ αὐτῷ τούτῳ σχήματι. τὸ γὰρ χωρίον, ἐπιτηδειότατον εἰς μνήμην αἰώνιον. πεποίηται δὲ καὶ ὁ νεὼς, λίθου τετραγώνου, οὐ φαῦλος. ἀλλὰ τὸ τοῦ ἑρμοῦ ἄγαλμα, οὔτε τοῦ νεὼ ἄξιόν ἐστιν, οὔτε αὐτοῦ τοῦ χωρίου. εἰ δέ σοι δοκεῖ, πέμψον μοι πεντάπουν μάλιστα ἑρμοῦ ἄγαλμα. τηλικοῦτον γάρ μοι δοκεῖ ἔσεσθαι, ὥς τε πρὸς τὸν νεὼν σύμμετρον. καὶ ἄλλο τοῦ Φιλησίου, τετράπουν. οὐ γὰρ ἀπὸ τρόπου, δοκεῖ μοι συν-

a ναος

Trapezus

Xenophō

νεώ. genit

ναὸς καὶ σύμβωμος ἔσεσθαι τῷ πάππῳ. καὶ ὁ μέν τις τῷ
ἑρμῇ, ὁ δὲ τῷ φιλησίῳ, ὁ δὲ καὶ ἀμφοῖν, θύσει πλειόνων. χαριοῦν-
ται δὲ καὶ οὗτοι κἀκεῖνοι, τῷ τε ἑρμῇ καὶ τῷ φιλησίῳ. τῷ μὲν ἑρ-
μῇ, ὅτι τὸν ἔγγονον αὐτοῦ τιμῶσιν. τῷ δὲ φιλησίῳ, ὅτι τὸν αὐτοῦ
προπάτορα. ὡς ἔγωγε, καὶ ἐβουθύτησα ἐνταῦθα. οὐχ ὥσπερ ὁ ξε-
νοφῶν ἐν κάλπης λιμένι, ὑφ' ἀμάξης βοῦν λαβών, δι' ἀπορίαν
ἱερείων. ἀλλὰ τῶν τραπεζουντίων αὐτῶν, παρασκευασάντων ἱε-
ρεῖον, οὐκ ἀγεννές. καὶ ἐσπλαγχνευσάμεθα αὐτόθι, καὶ ἐπὶ τοῖς
σπλάγχνοις ἐπεθεσπίσαμεν. ὅτῳ δὲ πρώτῳ τἀγαθὰ ηὐχόμεθα,
οὐ λανθάνομέν σε, τόν τε τρόπον τὸν ἡμέτερον οὐκ ἀγνοοῦντα, καὶ
συνειδότα, ὅτι ἄξιος εἶ ὑπὲρ ὅτου πάντες εὔξαιντο τἀ-
γαθά, καὶ ὅσοι ἡμῶν ἔλαττον ὑπὸ σοῦ εὖ πεπόνθασιν. ἐκ τρα-
πεζοῦντος δὲ ὁρμηθέντες, τῇ μὲν πρώτῃ, εἰς ὕσσου λιμένα κατή-
ραμεν, καὶ τοὺς πεζοὺς τοὺς ταύτῃ ἐγυμνάσαμεν. ἡ γὰρ τάξις αὕτη
ὡς οἶσθα, πεζῶν ἐστιν. καὶ ἱππέας εἴκοσιν, ὅσον εἰς διακονίαν ἔχει.
ἀλλὰ καὶ τούτους, τὰς λόγχας ἀκοντίσαι ἐδέησεν. ἐνθένδε ἐπλέο-
μεν, τὰ μὲν πρῶτα ταῖς αὔραις ταῖς ἐκ τῶν ποταμῶν πνεού-
σαις ἕωθεν, καὶ ἅμα ταῖς κώπαις διαχρώμενοι. ψυχραὶ μὲν γὰρ
ἦσαν αἱ αὖραι, ὡς λέγει καὶ ὅμηρος. οὐχ ἱκαναὶ δέ, τοῖς ταχυναυ-
τεῖν βουλομένοις. εἶτα, γαλήνη ἐπέλαβεν, ὥς τε καὶ ἡμᾶς τῇ εἰ-
ρεσίᾳ μόνῃ χρώμεθα. ἔπειτα δὲ ἄφνω νεφέλη ἐπαναστᾶσα, ἐξερ-
ράγη κατ' εὖρον μάλιστα, καὶ ἐπήνεγκεν πνεῦμα ἐξαίσιον, καὶ
τοῦτο ἀκριβῶς ἐναντίον, ὅπερ καὶ μόνον ὤνησεν ἡμᾶς. κοίλην μὲν
γὰρ δι' ὀλίγου τὴν θάλατταν ἐποίησεν, ὡς μὴ κατὰ τὰς κώπας μό-
νον, ἀλλὰ καὶ ὑπὲρ τὰς παρεξειρεσίας ἐπεισρεῖν ἡμῖν ἑκατέρω-
θεν ἀφθόνως τοῦ ὕδατος, τοῦτο δὴ τὸ τραγικόν. καὶ τὴν μὲν
ἐξαντλοῦμεν, ἡ δ' ἐπεσέρρει. ἀλλ' οὐ πλάγιόν γε ἦν τὸ κλυδώ-
νιον. ταύτῃ καὶ ἠνύτομεν μόγις καὶ χαλεπῶς τῇ εἰρεσίᾳ. καὶ
μέν τοι πολλὰ παθόντες, ἥκομεν εἰς τὰς ἀθήνας. ἔστιν γάρ τοι καὶ
ἐν πόντῳ εὐξείνῳ, χωρίον οὕτω καλούμενον. καὶ ἀθηνᾶς ἱερόν ἐστιν
αὐτόθι ἑλληνικόν, ὅθεν μοι δοκεῖ καὶ τὸ ὄνομα εἶναι τοῦτο τῷ χω-
ρίῳ

Philesius
Calpes portus
ἐσπλαγχνευσάμεθα
Hyssus portus
Homer
Tragicum nota
Athenae euxini



ρίῳ. καὶ φρούριόν τι ἐστιν ἠμελημένον. ὁ δὲ ὅρμος, οἷος ὥρᾳ ἔτους
δέχεσθαι οὐ πολλὰς ναῦς, καὶ σκέπην ταύταις παρέχειν ἀπὸ νότου
ἀνέμου, καὶ αὖ τοῦ εὔρου. σώζοιτο δ' ἂν καὶ τοῦ βορρᾶ, τὰ ὁρ-
μοῦντα πλοῖα. ἀλλ' οὐ τοῦ γε ἀπαρκτίου. οὐδὲ τοῦ θρασκίου μὲν ἐν
τῷ πόντῳ, σκίρωνος δὲ ἐν τῇ ἑλλάδι καλουμένου. εἰς δὲ τὴν νύκ-
τα, βρονταί τε σκληραὶ καὶ ἀστραπαὶ κατεῖχον. καὶ πνεῦμα οὐ
τὸ αὐτὸ ἔτι, ἀλλ' εἰς νότον μεθίστηκει. καὶ δι' ὀλίγου ἀπὸ τοῦ νότου,
εἰς λίβα ἄνεμον. καὶ ταῖς ναυσίν, οὐκ ἔτι ἀσφαλὴς ὁ ὅρμος ἦν.
πρὶν οὖν παντάπασιν ἀγριωθῆναι τὴν θάλασσαν, ὅσας μὲν αὐ-
τὸ τὸ χωρίον αἱ ἀθῆναι δέξασθαι ἠδύναντο, ταύτας αὐτοῦ ἐνεωλ-
κήσαμεν, πλὴν τῆς τριήρους. αὕτη γὰρ πέτρᾳ τινὶ ὑφορμοῦσα,
ἀσφαλῶς ἐσάλευεν. τὰς δὲ πολλὰς, ἐδόκει πέμπειν εἰς τοὺς αἰ-
γιαλοὺς τοὺς πλησίον νεωλκηθησομένας. καὶ ἐνεωλκήθησαν, ὥς τε
ἀπαθεῖς διαγενέσθαι πάσας, πλὴν μιᾶς. ἥν τινα ἐν τῷ ὁρμίζε-
σθαι, πρὸ τοῦ καιροῦ ἐπιστρέψασαν πλαγίαν, ὑπολαβὸν τὸ κῦμα,
ἐξήνεγκεν εἰς τὴν ἠϊόνα καὶ συνέτριψεν. ἀπεσώθη μέν τοι πάν-
τα. οὐ τὰ ἱστία μόνον καὶ τὰ σκεύη τὰ ναυτικὰ καὶ οἱ ἄνθρωποι,
ἀλλὰ καὶ οἱ ἧλοι καὶ ὁ κηρὸς ἀπεξύσθη, ὡς μηδενὸς ἄλλου, ἢ ξύ-
λων δεῖσθαι ναυπηγησίμων εἰς τὴν κατασκευήν. ὧν παμπόλ-
λη ὡς οἶσθα ἀφθονία ἐστιν, κατὰ τὸν πόντον. οὗτος ὁ χειμὼν ἐπὶ
δύο ἡμέρας κατεῖχεν, καὶ ἦν ἀνάγκη μένειν. ἐχρῆν γὰρ ἄρα μηδὲ
τὰς ἐν τῷ πόντῳ ἀθήνας, παραπλεῦσαι ἡμᾶς, ὥσπερ τινὰ ὅρ-
μον ἔρημον καὶ ἀνώνυμον. ἐνθένδε ἄραντες ὑπὸ μὲν τὴν ἕω,
πλαγίου τοῦ κλύδωνος ἐπειρώμεθα. προϊούσης δὲ τῆς ἡμέρας
βορρᾶς ἐπιπνεύσας ὀλίγος, κατέστησε τὴν θάλατταν, καὶ δια-
πρεμῆσαι ἐποίησεν. καὶ ἤλθομεν πρὸ τῆς μεσημβρίας, σταδίους
πλείονας ἢ πεντακοσίους εἰς ἄψαρον, ἵνα περ αἱ πέντε σπεῖραι
εἰσὶν ἱδρυμέναι. καὶ τὴν μισθοφορὰν τῇ στρατιᾷ ἔδωκα. καὶ τὰ
ὅπλα εἶδον, καὶ τὸ τεῖχος, καὶ τὴν τάφρον, καὶ τοὺς κάμνοντας,
καὶ τοῦ σίτου τὴν παρασκευὴν τὴν ἐνοῦσαν. ἥν τινα δὲ ὑπὲρ αὐ-
τῶν τὴν γνώμην ἔσχον, ἐν τοῖς ῥωμαϊκοῖς γράμμασιν γέγραπται.



Thrasciam i
tú in poto u
catú greci s
rona uocat
Magna arbo
rú copia in
ponto
Apsarus

ὁ δὲ Ἄψαρος τὸ χωρίον, λέγουσιν ὅτι Ἄψυρτος ἐκαλεῖτο πάλαι ποτέ. ἐνταῦθα γὰρ τὸν Ἄψυρτον ὑπὸ τῆς Μηδείας ἀποθανεῖν. καὶ τάφος Ἀψύρτου δείκνυται. ἔπειτα διαφθαρῆναι τὸ ὄνομα ὑπὸ τῶν προσοίκων βαρβάρων, καθάπερ καὶ ἄλλα πολλὰ διέφθαρται. ὁπότε καὶ τὰ Τύανα τὰ ἐν τοῖς Καππαδόκαις, Θόανα λέγουσιν ὅτι ὠνομάζετο, ἐπὶ Θόαντι τῷ βασιλεῖ τῶν Ταύρων. ὃς τοὺς ἀμφὶ Ὀρέστην καὶ Πυλάδην διώκων, ἄχρι τῆσδε τῆς χώρας ἐλθεῖν φημίζεται, καὶ ἐνταῦθα νόσῳ ἀποθανεῖν. ποταμοὺς δὲ παρημείψαμεν ἐν τῷ παράπλῳ τῷ ἀπὸ Τραπεζοῦντος. τόν τε Ὕσσον, ὅπου ἐπώνυμος Ὕσσου λιμήν, ὃς ἀπέχει Τραπεζοῦντος σταδίους ὀγδοήκοντα καὶ ἑκατόν. καὶ τὸν Ὄφιν, ὃς ἀπέχει Ὕσσου λιμένος, ἐς ἐνενήκοντα σταδίους μάλιστα, καὶ ὁρίζει τὴν Κόλχων χώραν ἀπὸ τῆς Θιαννικῆς. ἔπειτα τὸν Ψυχρὸν καλούμενον ποταμόν, διέχοντα ὅσον τριάκοντα σταδίους ἀπὸ τοῦ Ὄφεως. ἔπειτα, τὸν Καλὸν ποταμόν. καὶ οὗτος τριάκοντα διέχει ἀπὸ τοῦ Ψυχροῦ. ἐχόμενος δὲ τοῦ Ψυχροῦ ἐστὶν ὁ Ῥίζιος ποταμός, ἑκατὸν εἴκοσι στάδια διέχων ἀπὸ τοῦ Καλοῦ. καὶ ἀπὸ τούτου, τριάκοντα Ἄσκουρος ἄλλος ποταμός. καὶ Ἀδίηνός τις ἀπὸ τοῦ Ἀσκούρου, ἑξήκοντα. ἐνθένδε εἰς Ἀθήνας, ὀγδοήκοντα καὶ ἑκατόν. ταῖς δὲ Ἀθήναις, Ζάγατις ποταμὸς ἑπτὰ μάλιστα στάδια ἀπὸ αὐτῶν διέχων προσκεῖται. ἀπὸ δὲ τῶν Ἀθηνῶν ὁρμηθέντων, τὸν Πρύτανιν παρημείψαμεν, ἵνα περ καὶ τὰ Ἀγχιάλου βασίλειά ἐστιν. καὶ οὗτος ἀπέχει τεσσαράκοντα στάδια ἀπὸ τῶν Ἀθηνῶν. τοῦ Πρυτάνεως δὲ ἔχεται, ὁ Πυξίτης ποταμός. στάδιοι ἐνενήκοντα, ἐν μέσῳ ἀμφοῖν. καὶ ἀπὸ τοῦ Πυξίτου ἐπὶ Ἄρχαβιν, ἄλλοι ἐνενήκοντα. ἀπὸ δὲ Ἀρχάβιος εἰς Ἄψαρον, ἑξήκοντα. ἀπὸ δὲ Ἀψάρου ἄραντες, τὸν Ἄκαμψιν παρημείψαμεν νύκτωρ, ὥσπερ πεντεκαίδεκα σταδίους ἀπέχοντα τοῦ Ἀψάρου. ὁ δὲ Βαθὺς ποταμὸς ἑβδομήκοντα καὶ πέντε ἀπέχει τούτου, καὶ ὁ Ἀκίνασις ἀπὸ τοῦ Βαθέος, ἐνενήκοντα. ἐνενήκοντα δὲ καὶ ἀπὸ Ἀκινάσεως, ὁ Ἶσις. ναυσίποροι δὲ εἰσὶν ὅ τε Ἄκαμψις καὶ ὁ Ἶσις, καὶ αὔρας τὰς ἑωθινὰς ἰσχυρὰς ἐκπέμπουσιν. ἀπὸ δὲ Ἴσιος, τὸν Μῶγρον παρημείψα-

μεν

Absyrtus / Apsarus ) idē
Tyana / Thoana ) idē
Orestes Pylades
Hyssus fl.
Ophis fl.
Psychrus fl.
Calos fl.
Rhizius fl.
Ascurus fl.
Adienus fl.
Zagatis fl.
Prytanis fl.
Anchial)
Pyxites fl.
Archabis fl.
Acampsis fl. nauigabilis
Bathys fl.
Acinasis fl.
Isis fl. nauigabilis
Mogros fl. nauigabilis



μεν. ἐνενήκοντα στάδιοι μεταξὺ τοῦ Μώγρου εἰσίν, καὶ τοῦ Ἴσιος. καὶ οὗτος, ναυσίπορος. ἐνθένδε εἰς τὸν Φᾶσιν εἰσεπλεύσαμεν, ἐνενήκοντα τοῦ Μώγρου διέχοντα. ποταμῶν ὧν ἐγὼ ἔγνων, κουφότατον ὕδωρ παρεχόμενον, καὶ τὴν χροιὰν μάλιστα ἐξηλλαγμένον. τὴν μὲν γὰρ κουφότητα, τῷ τε σταθμῷ τεκμαίροιτο ἄν τις. καὶ πρὸ τούτου, ὅτι ἐπιπλεῖ τῇ θαλάσσῃ, οὐχὶ δὲ συμμίγνυται. καθάπερ τῷ Πηνειῷ τὸν Τιταρήσιον λέγει ἐπιῤῥεῖν Ὅμηρος καθύπερθεν ἠΰτ' ἔλαιον. καὶ ἤν, ἐπὶ μὲν τοῦ ἐπιῤῥέοντος βάψαντα, γλυκὺ τὸ ὕδωρ ἀνιμήσασθαι. εἰ δὲ εἰς βάθος τις καθήκει τὴν κάλπιν, ἁλμυρόν. καίτοι ὁ πᾶς πόντος, πολύ τι γλυκυτέρου τοῦ ὕδατός ἐστιν, ἤπερ ἡ ἔξω θάλασσα. καὶ τούτου τὸ αἴτιον, οἱ ποταμοί εἰσιν, οὔτε πλῆθος οὔτε μέγεθος σταθμητοὶ ὄντες. τεκμήριον δὲ τῆς γλυκύτητος, εἰ τεκμηρίων δεῖ ἐπὶ τοῖς αἰσθήσει φαινομένοις, ὅτι πάντα τὰ βοσκήματα οἱ προσοικοῦντες τῇ θαλάσσῃ, ἐπὶ τὴν θάλασσαν κατάγουσιν καὶ ἀπὸ αὐτῆς ποτίζουσιν. τὰ δέ, πίνοντά τε ἡδέως ὁρᾶται, καὶ λόγος κατέχει ὅτι καὶ ὠφέλιμον αὐτοῖς τοῦτο τὸ ποτόν ἐστιν τοῦ γλυκέος μᾶλλον. ἡ δὲ χροιὰ τοῦ Φάσιδος, οἵα ἀπὸ μολίβδου ἢ καττιτέρου βεβαμμένου τοῦ ὕδατος. καταστὰν δὲ καθαρώτατον γίγνεται. οὐ τοίνυν νενόμισται εἰσκομίσαι ὕδωρ εἰς τὸν Φᾶσιν τοὺς εἰσπλέοντας. ἀλλ' ἐπειδὰν εἰσβαίνωσιν ἤδη εἰς τὸν ῥοῦν, παραγγέλλεται πᾶν ἐκχέαι τὸ ἐνὸν ὕδωρ ἐν ταῖς ναυσίν. εἰ δὲ μή, λόγος κατέχει ὅτι οἱ τούτου ἀμελήσαντες, οὐκ εὐπλοοῦσιν. τὸ δὲ ὕδωρ τοῦ Φάσιδος οὐ σήπεται, ἀλλὰ μένει ἀκραιφνὲς καὶ ὑπὲρ δέκατον ἔτος. πλήν γε δή, ὅτι εἰς τὸ γλυκύτερον μεταβάλλει. εἰσβαλλόντων δὲ εἰς τὸν Φᾶσιν, ἐν ἀριστερᾷ ἵδρυται ἡ Φασιανὴ θεός. εἴη δ' ἂν ἀπό γε τοῦ σχήματος τεκμαιρομένῳ, ἡ Ῥέα. καὶ γὰρ κύμβαλον μετὰ χεῖρας ἔχει. καὶ λέοντας ὑπὸ τῷ θρόνῳ. καὶ κάθηται, ὥσπερ ἐν τῷ Μητρῴῳ Ἀθήνησιν, ἡ τοῦ Φειδίου. ἐνταῦθα, καὶ ἡ ἄγκυρα δείκνυται τῆς Ἀργοῦς. καὶ ἡ μὲν σιδηρᾶ, οὐκ ἔδοξέ μοι εἶναι παλαιά. καίτοι τὸ μέγεθος, οὐ κατὰ τὰς νῦν ἀγκύρας ἐστίν, καὶ τὸ σχῆμα ἀμηγέπῃ

Phasis fl.
Titaresius fl.
Homer)
Peneus fl.
Euxinus dulcis ob fluuiorū multit[udinem]
Phasidis color
Phasiana dea i. rhea
Metroo athenarū

ἐξηλλαγμένη. ἀλλὰ νεωτέρα μοι ἐφάνη εἶναι τοῦ χρόνου. λιθίνης δέ τινος ἄλλης θραύσματα ἐδείκνυτο παλαιά, ὡς ταῦτα μᾶλλον εἰκάσαι ἐκεῖνα εἶναι τὰ λείψανα τῆς ἀγκύρας τῆς ἀργοῦς. ἄλλο δὲ οὐδὲν ὑπόμνημα ἦν ἐνταῦθα τῶν μύθων, τῶν ἀμφὶ τὸν ἰάσονα. τὸ μέντοι φρούριον αὐτό, ἵνα περ κάθηνται τετρακόσιοι στρατιῶται ἐπίλεκτοι, τῇ τε φύσει τοῦ χωρίου ὀχυρώτατον εἶναί μοι ἔδοξεν, καὶ ἐν ἐπιτηδειοτάτῳ κεῖσθαι, πρὸς ἀσφάλειαν τῶν ταύτῃ πλεόντων. καὶ τάφρος διπλῆ περιβέβληται τῷ τείχει, εὐρεῖα ἑκατέρα. πάλαι μὲν οὖν γήϊνον τὸ τεῖχος ἦν, καὶ οἱ πύργοι ξύλινοι ἐφεστήκεσαν. νῦν δὲ, ἐκ πλίνθου ὀπτῆς πεποίηται καὶ αὐτὸ καὶ οἱ πύργοι, καὶ τεθεμελίωται ἀσφαλῶς, καὶ μηχαναὶ ἐφεστᾶσιν, καὶ ἐν ὀλίγῳ πᾶσιν ἐξήρτυται, πρὸς τὸ μηδὲ πελάσαι ἄν τινα αὐτῷ τῶν βαρβάρων, μήτοιγε δὴ εἰς κίνδυνον καταστῆσαι πολιορκίας τοὺς ἐν αὐτῷ φρουροῦντας. ἐπειδὴ δὲ καὶ τὸν ὅρμον ἐχρῆν ἀσφαλῆ εἶναι ταῖς ναυσί, καὶ ὅσα ἔξω τοῦ φρουρίου κατῴκιστο ὑπό τε τῶν πεπαυμένων τῆς στρατιᾶς καί τινων καὶ ἄλλων ἐμπορικῶν ἀνθρώπων, ἔδοξέ μοι ἀπὸ τῆς διπλῆς τάφρου ἣ περιβέβληται τῷ τείχει, ἄλλην τάφρον ἐκβαλεῖν ὡς ἐπὶ τὸν ποταμόν, ἣ τό τε ναύσταθμον περιέξει, καὶ τὰς ἔξω τοῦ τείχους οἰκίας. ἀπὸ δὲ τοῦ φάσιδος, χαρίεντα ποταμὸν παρημείψαμεν ναυσίπορον. στάδιοι μεταξὺ ἀμφοῖν, ἐνενήκοντα. καὶ ἀπὸ τοῦ χαρίεντος, ἐς χῶβον ποταμὸν εἰσεπλεύσαμεν, ἄλλους ἐνενήκοντα, ἵνα περ καὶ ὡρμίσθημεν. ὧν δὲ ἕνεκα καὶ ὅσα ἐνταῦθα ἐπράξαμεν, δηλώσει σοι τὰ ῥωμαϊκὰ γράμματα. ἀπὸ δὲ χώβου, σιγγάμην ποταμὸν παρημείψαμεν ναυσίπορον. διέχει δὲ τοῦ χώβου σταδίους ὡς δέκα καὶ διακοσίους μάλιστα. ἔχεται δὲ τοῦ σιγγάμου, ταρσούρας ποταμός, στάδιοι εἴκοσι καὶ ἑκατὸν μεταξὺ ἀμφοῖν. ὁ δὲ ἵππος ποταμὸς τοῦ ταρσούρου, πεντήκοντα σταδίους καὶ ἑκατὸν διέχει. καὶ τοῦ ἵππου ὁ ἀστέλεφος, τριάκοντα. παραμείψαντες δὲ τὸν ἀστέλεφον, εἰς σεβαστόπολιν ἥκομεν πρὸ μεσημβρίας ἀπὸ χώβου ὁρμηθέντες σταδίους εἴκοσι καὶ ἑκατόν, τοὺς ἀπὸ ἀστελέ-

φου

Charijs · fl ·
Chobus · fl ·
Singames · fl · nauigabilis
Tarsuras · fl ·
Hippus · fl ·
Astelephus · fl ·
Sebastopolis · V · → Idé
Dioscurias

A phaside ad hippú fluuiú nauigatio
~~[illegible]~~



φου. ὡς καὶ τὴν μισθοφορὰν τοῖς στρατιώταις δοῦναι τῆς αὐτῆς ἡμέρας, καὶ τοὺς ἵππους, καὶ τὰ ὅπλα ἰδεῖν, καὶ τοὺς ἱππέας ἀναπηδῶντας ἐπὶ τοὺς ἵππους, καὶ τοὺς κάμνοντας, καὶ τὸν σῖτον, καὶ τὸ τεῖχος περιελθεῖν, καὶ τὴν τάφρον. στάδιοι ἀπὸ μὲν χώβου εἰς σεβαστόπολιν, τριάκοντα καὶ ἑξακόσιοι. ἀπὸ τραπεζοῦντος δὲ εἰς σεβαστόπολιν, ἑξήκοντα καὶ διακόσιοι καὶ δισχίλιοι. ἡ δὲ σεβαστόπολις πάλαι διοσκουριὰς ἐκαλεῖτο, ἄποικος μιλησίων. ἔθνη δὲ παρημείψαμεν, τάδε. τραπεζουντίοις μὲν καθάπερ καὶ ξενοφῶν λέγει, κόλχοι ὅμοροι. καὶ οὓς λέγει τοὺς μαχιμωτάτους καὶ ἐχθροτάτους εἶναι τοῖς τραπεζουντίοις, ἐκεῖνος μὲν δρίλλας ὀνομάζει. ἐμοὶ δὲ δοκοῦσιν, οἱ σάννοι οὗτοι εἶναι. καὶ γὰρ μαχιμώτατοί εἰσιν εἰς τοῦτο ἔτι, καὶ τοῖς τραπεζουντίοις ἐχθρότατοι. καὶ χωρία ὀχυρὰ οἰκοῦσιν. καὶ ἔθνος ἀβασίλευτον. πάλαι μὲν, καὶ φόρου ὑποτελὲς ῥωμαίοις, ὑπὸ δὲ τοῦ λῃστεύειν, οὐκ ἀκριβοῦσιν τὴν φοράν. ἀλλὰ νῦν γε διδόντος θεοῦ, ἀκριβώσουσιν, ἢ ἐξελοῦμεν αὐτούς. τούτων δὲ ἔχονται, μαχέλονες καὶ ἡνίοχοι. βασιλεὺς δ' αὐτῶν, ἀγχίαλος. μαχελόνων δὲ καὶ ἡνιόχων, ἐχόμενοι ζυδρεῖται. φαρασμάνου οὗτοι ὑπήκοοι. ζυδρειτῶν δὲ λαζοί. βασιλεὺς δὲ λαζῶν μαλάσσας, ὃς τὴν βασιλείαν παρὰ σοῦ ἔχει. λαζῶν δὲ, ἀψίλαι ἔχονται. βασιλεὺς δὲ αὐτῶν, ἰουλιανός. οὗτος ἐκ τοῦ πατρὸς τοῦ σοῦ, τὴν βασιλείαν ἔχει. ἀψίλαις δὲ ὅμοροι, ἀβασκοί. καὶ ἀβασκῶν βασιλεὺς, ῥησμάγας. καὶ οὗτος παρὰ σοῦ τὴν βασιλείαν ἔχει. ἀβασκῶν δὲ ἐχόμενοι, σανίγαι. ἵνα περ καὶ ἡ σεβαστόπολις ᾤκισται. σανίγων βασιλεὺς σπαδάγας, ἐκ σοῦ τὴν βασιλείαν ἔχει. μέχρι μὲν δὴ ἀψάρου, ὡς πρὸς ἕω ἐπλέομεν, ἐν δεξιᾷ τοῦ εὐξείνου. ὁ δὲ ἄψαρος, πέρας ἐφάνη μοι εἶναι κατὰ μῆκος τοῦ πόντου. ἔνθεν γὰρ ἤδη πρὸς ἄρκτον ὁ πλοῦς ἡμῖν ἐγίνετο, ἔς τε ἐπὶ χῶβον ποταμόν. καὶ ὑπὲρ τὸν χῶβον, ἐπὶ τὸν σιγγάμην. ἀπὸ δὲ σιγγάμου, ἐκάμπτομεν εἰς τὴν λαιὰν πλευρὰν τοῦ πόντου, ἔς τε ἐπὶ τὸν ἵππον ποταμόν. ἀπὸ δὲ τοῦ ἵππου ὡς ἐπὶ ἀστέλεφον καὶ διοσκουριάδα, κατείδομεν τὸν καύκασον τὸ ὄρος, τὸ ὕψος μάλιστα

κατ

Idé — sebastopo[lis] / Dioscurias / milesiorum
Xenophó
Colchi
Drillæ
Sanni
Machelones
Heniochi
Anchialus
Zydritæ
Lazi
Pharasmanes
Malassas
Julian⁹
Apsilæ
Abasci
Rhesmagas
Sanigæ
chobu[s] fl
Spadagas

Apsarus finis longitudinis ponti Euxini qui / ab eo nauigatio est septentrione uersus usque ad Sigamē · fl ·

Absarus finis longitudinis pōti

Caucasus · M ·

περὶ τὰς ἄλπεις τὰς κελτικάς. καὶ τοῦ καυκάσου κορυφή τις ἐδεί-
κνυτο, στρόβιλος τῇ κορυφῇ ὄνομα, ἵνα περ ὁ προμηθεὺς κρεμασθῆ-
ναι ὑπὸ ἡφαίστου κατὰ πρόσταξιν διὸς μυθεύεται. τὰ δὲ ἀπὸ βοσπό-
ρου τοῦ θρᾳκίου, ἔς τε ὧδε τραπεζοῦντα πόλιν, ὧδε ἔχει. τὸ ἱερὸν
τοῦ διὸς τοῦ οὐρίου διέχει ἀπὸ βυζαντίου, στάδιους εἴκοσι καὶ ἑκα-
τόν. καὶ ἔστιν στενότατον ταύτῃ τὸ στόμα τοῦ πόντου καλούμενον,
καθότι εἰσβάλλει εἰς τὴν προποντίδα. ταῦτα μὲν, εἰδότι σοι λέ-
γω. ἀπὸ δὲ τοῦ ἱεροῦ πλέοντι ἐν δεξιᾷ ῥήβας ποταμὸς, στάδιους
διέχει τοῦ ἱεροῦ τοῦ διὸς ἐνενήκοντα. ἔπειτα, μέλαινα ἄκρα ὧδε
καλουμένη, πεντήκοντα καὶ ἑκατόν. ἀπὸ μελαίνης ἄκρας ἐπὶ ἀρ-
τάνην ποταμὸν, ἵνα καὶ ὅρμος ναυσὶ μικραῖς, πρὸς ἱερῷ ἀφροδί-
της, πεντήκοντα ἄλλοι καὶ ἑκατόν. ἀπὸ δὲ ἀρτάνης εἰς ψίλιν
ποταμὸν, πεντήκοντα καὶ ἑκατόν. καὶ πλοῖα μικρὰ ὁρμίζοιτο
ἂν, πρὸς τῇ πέτρᾳ τῇ ἀνεχούσῃ, οὐ πόῤῥω ἀπὸ τοῦ ποταμοῦ τῶν ἐκ-
βολῶν. ἐνθένδε εἰς κάλπης λιμένα, δέκα καὶ διακόσιοι στάδιοι.
ὁ δὲ κάλπης λιμὴν, ὁποῖόν τι χωρίον ἐστὶν, καὶ ὁποῖος ὅρμος, καὶ
ὅτι πηγὴ ἐν αὐτῷ ψυχροῦ καὶ καθαροῦ ὕδατος, καὶ ὅτι ὗλαι
πρὸς τῇ θαλάσσῃ ξύλων ναυπηγησίμων, καὶ αὗται ἔνθηροι, ταῦ-
τα ξενοφῶντι τῷ πρεσβυτέρῳ λέλεκται. ἀπὸ κάλπης λιμένος
εἰς ῥόην, στάδιοι εἴκοσι. ὅρμος ναυσὶ μικραῖς. ἀπὸ ῥόης εἰς ἀπολλωνί-
αν νῆσον μικρὰν, ὀλίγον διέχουσαν τῆς ἠπείρου, ἄλλοι εἴκοσι. λι-
μὴν ὑπὸ τῇ νησῖδι. καὶ ἔνθεν εἰς χηλὰς, στάδιοι εἴκοσι. ἀπὸ χηλῶν,
ὀγδοήκοντα καὶ ἑκατὸν, ἵνα περ σαγγάριος ποταμὸς ἐμβάλλει
εἰς τὸν πόντον. ἐνθένδε εἰς τοῦ ὑππίου τὰς ἐκβολὰς, ἄλλοι ὀγδοή-
κοντα καὶ ἑκατόν. εἰς δὲ λίλλιον ἐμπορεῖον ἀπὸ τοῦ ὑππίου, στά-
διοι ἑκατόν. καὶ ἀπὸ τοῦ λιλλίου εἰς ἔλαιον, ἑξήκοντα. ἐνθένδε ἐπὶ
κάλητα ἄλλο ἐμπορεῖον, εἴκοσι καὶ ἑκατόν. ἀπὸ κάλητος ἐπὶ λύ-
κον ποταμὸν, ὀγδοήκοντα. ἀπὸ δὲ λύκου, ἐς ἡράκλειαν πόλιν ἑλ-
ληνίδα δωρικὴν μεγαρέων ἄποικον, στάδιοι εἴκοσι. ἐν ἡρακλείᾳ
ὅρμος ναυσίν. ἀπὸ δὲ ἡρακλείας, ἵνα δὴ τὸ μητρῷον καλούμενον,
στάδιοι ὀγδοήκοντα. ἐνθένδε εἰς τὸ ποσίδειον, τεσσαράκοντα. καὶ
ἔνθεν

Strobilus iugu caucasi
A Bosphoro ad Trapez
Urij iouis Templi
Rhebas. fl.
Melaena promo.
Artanes. fl.
Psilis. fl.
Calpes portus
Xenopho
Rhoe.
Apollonia insula
Metrou
Chelae
Sangarius. fl.
Hyppius. fl.
Lilliu emporiu
Elaeu
Cales emporiu
Lycus. fl.

A bosphoro ad trapezunte stadia quo modo se habeat
Os bosphori thracij centum



ἔνθεν εἰς τυνδαρίδας, πέντε καὶ τεσσαράκοντα. πέντε δὲ καὶ
δέκα ἔνθεν, ἵνα τὸ νυμφαῖον. καὶ ἀπὸ τοῦ νυμφαίου, ἵνα τὸν ὀξεί-
ναν ποταμὸν, τριάκοντα. καὶ ἀπὸ ὀξείνου εἰς σανδαράκην, ἐνε-
νήκοντα. σανδαράκη, ὅρμος ναυσὶ μικραῖς. ἐνθένδε εἰς κρηνί-
δας, ἑξήκοντα. καὶ ἀπὸ κρηνίδων εἰς ψύλλαν ἐμπορεῖον, τριάκον-
τα. ἐνθένδε, εἰς τίον πόλιν ἑλληνίδα ἰωνικὴν ἐπὶ θαλάττῃ οἰκου-
μένην, μιλησίων καὶ ταύτην ἄποικον, ἐνενήκοντα. ἀπὸ δὲ τίου,
εἰς βιλλαῖον ποταμὸν, στάδιοι εἴκοσι. ἀπὸ δὲ βιλλαίου ἐπὶ τὸν παρ-
θένιον ποταμὸν, στάδιοι ἑκατόν. μέχρι τοῦδε, θρᾷκες οἱ βιθυνοὶ
νέμονται. ὧν καὶ ξενοφῶν ἐν τῇ συγγραφῇ μνήμην ἐποιήσατο,
ὅτι μαχιμώτατοι εἶεν τῶν κατὰ τὴν ἀσίαν. καὶ τὰ πολλὰ κακὰ ἡ
στρατιὰ τῶν ἑλλήνων, ὅτι ἐν τῇδε τῇ χώρᾳ ἔπαθεν, ἐπειδὴ ἀπε-
χωρίσθησαν οἱ ἀρκάδες, ἀπό τε τοῦ χειρισόφου καὶ τοῦ ξενοφῶν-
τος μερίδος. τὰ δὲ ἀπὸ τοῦδε ἤδη παφλαγονία. ἀπὸ παρθενίου
ἐπὶ ἄμαστριν πόλιν ἑλληνίδα, στάδιοι ἐνενήκοντα. ὅρμος ναυσίν.
ἔνθεν εἰς ἐρυθίνους, ἑξήκοντα. καὶ ἀπὸ ἐρυθίνων εἰς κρῶμναν, ἄλ-
λοι ἑξήκοντα. ἐνθένδε εἰς κύτωρον, ἐνενήκοντα. ὅρμος ναυσὶν ἐν
κυτώρῳ. καὶ ἀπὸ κυτώρου εἰς αἰγιαλοὺς, ἑξήκοντα. ἐπὶ δὲ θύμη-
να, ἐνενήκοντα. καὶ εἰς κάραμβιν, εἴκοσι καὶ ἑκατόν. ἐνθένδε εἰς ζε-
φύριον, ἑξήκοντα. ἀπὸ δὲ ζεφυρίου εἰς ἀβώνου τεῖχος πόλιν σμι-
κρὰν, πεντήκοντα καὶ ἑκατόν. ὅρμος ναυσὶν, οὐκ ἀσφαλής. ἀλλ'
ἐνδιεῖεν ἂν ἀπαθεῖς, εἰ μὴ μέγας χειμὼν κατέχοι. ἀπὸ δὲ ἀβώνου
τείχους ἐπὶ αἰγινήτην, ἄλλοι πεντήκοντα καὶ ἑκατόν. ἐνθένδε εἰς
κίνωλιν ἐμπορεῖον, ἄλλοι ἑξήκοντα. καὶ ἐν κινώλει σαλεύοιεν ἂν
νῆες, ὥρᾳ ἔτους. ἀπὸ δὲ κινώλιος ἐπὶ στεφάνην, ὀγδοήκοντα καὶ
ἑκατόν. ὅρμος ναυσὶν ἀσφαλής. ἀπὸ δὲ στεφάνης εἰς ποταμοὺς,
πεντήκοντα καὶ ἑκατόν. ἐνθένδε εἰς λεπτὴν ἄκραν, ἑκατὸν καὶ
εἴκοσι. ἀπὸ δὲ λεπτῆς ἄκρας ἐπὶ ἁρμένην, ἑξήκοντα. λιμὴν αὐτόθι.
καὶ ξενοφῶν, τῆς ἁρμένης ἐμνημόνευσεν. καὶ ἔνθεν εἰς σινώπην,
στάδιοι τεσσαράκοντα. σινωπεῖς, μιλησίων ἄποικοι. ἀπὸ δὲ σινώ-
πης εἰς καροῦσαν, πεντήκοντα καὶ ἑκατόν. σάλος ναυσίν. ἔνθεν

 δὲ εἰς

Xeno
Tyndaridae
Nymphaeu
Oxinas f
Sandrace
Crenides
Psylla empo
Tion
Billaeus f
Parthenius f
Bithyni Thraces
Paphlagones
Amastris
Erythini
Cromna
Cytorus
Cytora
Aegiali
Thymena
Carabis
Zephyriu
Aboni tir
Aeginetis
Cinolis em
Stephane
Potami
Lepte pro

A Bosphoro Thracio ad Carabim colliguntur stadia 1670
Harmene
Sinope
Carusa

δὲ εἰς Ζάγωρα, ἄλλοι αὖ πεντήκοντα καὶ ἑκατόν. ἐνθένδε εἰς τὸν Ἅλυν ποταμόν, τριακόσιοι. οὗτος ὁ ποταμός, πάλαι μὲν ὅρος ἦν τῆς Κροίσου βασιλείας καὶ Περσῶν. νῦν δέ, ὑπὸ τῇ Ῥωμαίων ἐπικρατείᾳ ῥέει οὐκ ἀπὸ μεσημβρίας ὡς λέγει Ἡρόδοτος, ἀλλὰ ἀπὸ ἀνίσχοντος ἡλίου. καθότι δὲ εἰσβάλλει εἰς τὸν πόντον, ὁρίζει τὰ Σινωπέων καὶ Ἀμισηνῶν ὅρια. ἀπὸ δὲ Ἅλυος ποταμοῦ ἐς Ναύσταθμον, στάδιοι ἐνενήκοντα. ἵνα περ καὶ λίμνη ἐστίν. ἐνθένδε ἐς Κωνωπεῖον ἄλλην λίμνην, ἄλλοι αὖ πεντήκοντα. ἀπὸ δὲ Κωνωπείου ἐς Εὐσήνην, ἑκατὸν καὶ εἴκοσι. ἐνθένδε εἰς Ἀμισόν, ἑκατὸν καὶ ἑξήκοντα. Ἀμισός, πόλις Ἑλληνὶς Ἀθηναίων ἄποικος, ἐπὶ θαλάσσῃ οἰκεῖται. ἀπὸ δὲ Ἀμισοῦ εἰς Ἀγκῶνα λιμένα, ἵνα περ καὶ ὁ Ἶρις εἰσβάλλει εἰς τὸν πόντον, στάδιοι ἑξήκοντα καὶ ἑκατόν. ἀπὸ δὲ τοῦ Ἴριος τὴν ἐκβολὴν ἐς Ἡράκλειον, ἑξήκοντα καὶ τριακόσιοι. ὅρμος ναυσίν. ἐνθένδε ἐπὶ τὸν Θερμώδοντα ποταμόν, τεσσαράκοντα. οὗτος ὁ Θερμώδων ἐστίν, ἵνα περ αἱ Ἀμαζόνες οἰκῆσαι λέγονται. ἀπὸ δὲ Θερμώδοντος εἰς Βῆριν ποταμόν, στάδιοι ἐνενήκοντα. ἐνθένδε εἰς Θόαριν ποταμόν, ἑξήκοντα. ἀπὸ δὲ Θοάριος ἐς Οἰνόην, τριάκοντα. ἀπὸ Οἰνόης ἐς Φιγαμοῦντα ποταμόν τεσσαράκοντα. ἐνθένδε εἰς Φαδισάνην φρούριον, πεντήκοντα καὶ ἑκατόν. ἐνθένδε εἰς Πολεμώνιον πόλιν, στάδιοι δέκα. ἀπὸ Πολεμωνίου εἰς ἄκραν Ἰασόνιον καλουμένην, στάδιοι τριάκοντα καὶ ἑκατόν. ἐνθένδε εἰς Κιλίκων νῆσον, πεντεκαίδεκα στάδιοι. ἀπὸ δὲ Κιλίκων νήσου ἐς Βοῶνα, πέντε καὶ ἑβδομήκοντα. ἐν Βοῶνι, ὅρμος ναυσίν. ἐνθένδε εἰς Κοτύωρα, ἐνενήκοντα. ταύτης, ὡς πόλεως Ξενοφῶν ἐμνημόνευσεν, καὶ λέγει Σινωπέων ἄποικον εἶναι. νῦν δὲ κώμη ἐστίν, καὶ οὐδὲ αὕτη μεγάλη. ἀπὸ Κοτυώρων ἐς Μελάνθιον ποταμόν, στάδιοι μάλιστα ἑξήκοντα. ἐνθένδε εἰς Φαρματηνὸν ἄλλον ποταμόν, πεντήκοντα καὶ ἑκατόν. καὶ ἔνθεν εἰς Φαρνακείαν, εἴκοσιν καὶ ἑκατόν. αὕτη ἡ Φαρνακεία, πάλαι Κερασοῦς ἐκαλεῖτο, Σινωπέων καὶ αὕτη ἄποικος. ἐνθένδε ἐς τὴν Ἀρητιάδα νῆσον, τριάκοντα. καὶ ἔνθεν ἐς Ζεφύριον, εἴκοσι καὶ ἑκατόν.

Zagora
Halys. fl.
Naustathmus
Conopeu lac(us)
Eusene
Amisus
Anco portus
Iris. fl.
Heracleu(m)
Thermodo(n). fl.
Amazones
Beris. fl.
Thoaris. fl.
Oenoe
Xeno
Phigamus. fl.
Phadisane
Polemoniu(m)
Iasoniu(m) p(ro)mo(ntorium)
Cilico(rum) insula
Boo(n)
Cotyora
Melanthius. fl.
Pharmatenus. fl.

Cerasus — eade(m)
Pharnacia
Arrhetias insu(la)
Zephyriu(m)

Contra herodotu(m)
ἄποικος colonia



ἑκατόν. ὅρμος ναυσίν. ἀπὸ δὲ Ζεφυρίου εἰς Τρίπολιν, στάδιοι ἐνενήκοντα. ἐνθένδε ἐς τὰ Ἀργύρια, στάδιοι εἴκοσι. ἐκ δὲ τῶν Ἀργυρείων εἰς Φιλοκάλειαν, ἐνενήκοντα. ἐνθένδε ἐς Κόραλλα, ἑκατόν. ἀπὸ δὲ Κοράλλων εἰς Ἱερὸν ὄρος, πεντήκοντα καὶ ἑκατόν. ἀπὸ δὲ Ἱεροῦ ὄρους εἰς Κορδύλην, τεσσαράκοντα. ὅρμος ναυσίν. ἀπὸ δὲ Κορδύλης ἐς Ἑρμώνασσαν, πέντε καὶ τεσσαράκοντα. καὶ οὗτος ὅρμος. ἀπὸ δὲ Ἑρμωνάσσης εἰς Τραπεζοῦντα, στάδιοι ἑξήκοντα. ἐνταῦθα, σὺ ποιεῖς λιμένα. πάλαι γὰρ ὅσον ἀποσαλεύειν ὥρᾳ ἔτους, ὅρμος ἦν. τὰ δὲ ἀπὸ Τραπεζοῦντος διαστήματα μέχρι Διοσκουριάδος, προείρηται διὰ τῶν ποταμῶν ἀναμετρηθέντα. ἀθροίζονται δὲ ἀπὸ Τραπεζοῦντος εἰς Διοσκουριάδα τὴν νῦν Σεβαστόπολιν καλουμένην, στάδιοι δισχίλιοι διακόσιοι ἑξήκοντα. τάδε μὲν τὰ ἀπὸ Βυζαντίου πλεόντων ἐν δεξιᾷ, ὡς ἐπὶ Διοσκουριάδα. ἐς ὅπερ στρατόπεδον τελευτᾷ Ῥωμαίοις ἡ ἐπικράτεια, ἐν δεξιᾷ ἐσπλεόντων εἰς τὸν πόντον. ἐπεὶ δὲ ἐπυθόμην Κότυν τετελευτηκέναι τὸν βασιλέα τοῦ Βοσπόρου τοῦ Κιμμερίου καλουμένου, ἐπιμελὲς ἐποιησάμην καὶ τὸν μέχρι τοῦ Βοσπόρου πλοῦν δηλῶσαί σοι. ὡς εἴ τι βουλεύοιο περὶ τοῦ Βοσπόρου, ὑπάρχοι σοι καὶ τόνδε τὸν πλοῦν μὴ ἀγνοοῦντι βουλεύεσθαι. ὁρμηθεῖσιν οὖν ἐκ Διοσκουριάδος, πρῶτος ἂν εἴη ὅρμος ἐν Πιτυοῦντι, στάδιοι τριακόσιοι πεντήκοντα. ἐνθένδε ἐς τὴν Νιτικήν, στάδιοι πεντήκοντα καὶ ἑκατόν. ἵνα περ πάλαι ᾤκει ἔθνος Σκυθικόν, οὗ μνήμην ποιεῖται ὁ λογοποιὸς Ἡρόδοτος. καὶ λέγει τούτους εἶναι τοὺς φθειροτρωκτέοντας. καὶ γὰρ εἰς τόδε ἔτι ἡ δόξα ἡ αὐτὴ ὑπὲρ αὐτῶν κατέχει. ἐκ δὲ Νιτικῆς εἰς Ἄβασκον ποταμόν, στάδιοι ἐνενήκοντα. ὁ δὲ Βόργυς τοῦ Ἀβάσκου διέχει, σταδίους ἑκατὸν καὶ εἴκοσιν. καὶ ὁ Νῆσις τοῦ Βόργυος, ἵνα περ καὶ Ἡράκλειον ἄκραν ἔχει, σταδίους ἑξήκοντα. ἀπὸ δὲ Νήσιος ἐς Μασαιτικήν, στάδιοι ἐνενήκοντα. ἐνθένδε εἰς Ἀχαιοῦντα, στάδιοι ἑξήκοντα. ὅσπερ ποταμὸς διορίζει Ζικχοὺς καὶ Σάνιχας. Ζικχῶν βασιλεὺς Σταχέμφαξ. καὶ οὗτος, παρὰ σοῦ τὴν βασιλείαν ἔσχεν. ἀπὸ Ἀχαιοῦντος εἰς



Herodotus λογοποιός

Tripolis
Argyria
Philocalea
Coralla
Sacer mons
Cordyle
Hermonass(a)
Dioscurias
Sebastopolis
Cotys
Pityus
Nitice
Hero dotus
Phthirophag(i)
Abascus. fl.
Borgys. f(l).
Nesis
Heracleu(m) p(romontorium)
Masaitice
Achaeus. fl.
Zicchi
Saniches

Heraclea promot.
Antiqua la Zica
Antiqua la Zica achaia
Pagra portus
Sacer portus
Sindice
Panticapaeu
Tanais fl.
De Tanai fl. notandu
Aeschylus
De ambitu meotidis paludis
Ca Zeca
Theodosia
Scythotauri
Lampas
Symboli portus
Cherronesus taurica
Cercinetis
Calos portus
Tamyrace

ἡρακλείαν ἄκραν, πεντήκοντα καὶ ἑκατὸν στάδιοι. ἐντεῦθεν εἰς ἄκραν, ἵνα πρὸς σκέπη ἐστὶν ἀνέμου θρασκίου καὶ βοῤῥᾶ, ὀγδοήκοντα καὶ ἑκατόν. ἐντεῦθεν εἰς τὴν καλουμένην παλαιὰν λαζικὴν, εἴκοσιν καὶ ἑκατὸν στάδιοι. ἐντεῦθεν ἐς τὴν παλαιὰν ἀχαΐαν, πεντήκοντα καὶ ἑκατόν. καὶ ἔνθεν ἐς πάγρας λιμένα, πεντήκοντα καὶ τριακόσιοι. ἀπὸ δὲ πάγρας λιμένος, εἰς ἱερὸν λιμένα, ὀγδοήκοντα καὶ ἑκατόν. ἐντεῦθεν εἰς σινδικὴν, τριακόσιοι. ἀπὸ δὲ σινδικῆς, εἰς βόσπορον τὸν κιμμέριον καλούμενον, καὶ πόλιν τοῦ βοσπόρου παντικάπαιον, τεσσαράκοντα καὶ πεντακόσιοι. ἐντεῦθεν ἐπὶ τάναϊν ποταμὸν, ἑξήκοντα. ὃς λέγεται ὁρίζειν ἀπὸ τῆς ἀσίας, τὴν εὐρώπην. καὶ ὁρμᾶται μὲν, ἀπὸ λίμνης τῆς μαιώτιδος. ἐσβάλλει δὲ, εἰς θάλασσαν τὴν τοῦ εὐξείνου πόντου. καίτοι αἰσχύλος ἐν προμηθεῖ λυομένῳ, τὸν φᾶσιν ὅρον τῆς εὐρώπης καὶ τῆς ἀσίας ποιεῖ. λέγουσιν γοῦν αὐτῷ οἱ τιτᾶνες, πρὸς τὸν προμηθέα. ὅτι ἥκομεν τοὺς σοὺς ἄθλους τούσδε προμηθεῦ, δεσμοῦ τε πάθος τόδ' ἐποψόμενοι. ἔπειτα, καταλέγουσιν ὅσην χώραν ἐπῆλθον. πῇ μὲν δίδυμον χθονὸς εὐρώπης μέγαν ἠδ' ἀσίας τέρμονα φᾶσιν. τῆς δὲ λίμνης τῆς μαιώτιδος περίπλους ἐν κύκλῳ λέγεται, σταδίων ἀμφὶ τοὺς ἐνακισχιλίους. ἀπὸ δὲ παντικαπαίου, εἰς κώμην καζέκα ἐπὶ θαλάττῃ ᾠκισμένην, στάδιοι εἴκοσι καὶ τετρακόσιοι. ἐντεῦθεν ἐς θεοδοσίαν πόλιν ἐρήμην, στάδιοι ὀγδοήκοντα καὶ διακόσιοι. καὶ αὕτη πάλαι ἦν ἑλλὰς, πόλις ἰωνικὴ, μιλησίων ἄποικος. καὶ μνήμη ἐστὶν αὐτῆς ἐν πολλοῖς γράμμασιν. ἐντεῦθεν εἰς λιμένα σκυθοταύρων ἔρημον, στάδιοι διακόσιοι, καὶ ἔνθεν εἰς λαμπάδα τῆς ταυρικῆς, στάδιοι ἑξακόσιοι. ἀπὸ δὲ λαμπάδος, εἰς συμβόλου λιμένα ταυρικὸν καὶ τοῦτον, στάδιοι εἴκοσι καὶ πεντακόσιοι. καὶ ἔνθεν ἐς χεῤῥόνησον τῆς ταυρικῆς, ὀγδοήκοντα καὶ ἑκατόν. ἀπὸ δὲ χεῤῥονήσου ἐς κερκινῆτιν, στάδιοι ἑξακόσιοι, καὶ ἀπὸ κερκινήτιδος, ἐς καλὸν λιμένα σκυθικὸν καὶ τοῦτον, ἄλλοι ἑπτακόσιοι. ἐκ δὲ καλοῦ λιμένος ἐς ταμυράκην, τριακόσιοι. ἔσω δὲ τῆς ταμυράκης, λίμνη ἐστὶν οὐ μεγάλη. καὶ ἔν-

θεν



θεν εἰς τὰς ἐκβολὰς τῆς λίμνης, ἄλλοι τριακόσιοι. ἐκ δὲ τῶν ἐκβολῶν τῆς λίμνης ἐς ἠιόνας, στάδιοι ὀγδοήκοντα καὶ τριακόσιοι. καὶ ἔνθεν ἐς ποταμὸν βορυσθένην, πεντήκοντα καὶ ἑκατόν. κατὰ δὲ τὸν βορυσθένην ἀναπλέοντι, πόλις ἑλλὰς, ὄνομα ὀλβία πεπόλισται. ἀπὸ δὲ βορυσθένους, ἐπὶ νῆσον σμικρὰν ἐρήμην καὶ ἀνώνυμον, στάδιοι ἑξήκοντα. καὶ ἔνθεν εἰς ὀδησσὸν, ὀγδοήκοντα. ἐν ὀδησσῷ, ὅρμος ναυσίν. ἀπὸ δὲ ὀδησσοῦ, ἔχεται ἰστριανῶν λιμὴν, στάδιοι ἐς αὐτὸν, πεντήκοντα καὶ διακόσιοι. ἐντεῦθεν ἔχεται ἰσιακῶν λιμὴν, στάδιοι ἐς αὐτὸν πεντήκοντα. καὶ ἔνθεν εἰς τὸ ψιλὸν καλούμενον στόμα τοῦ ἴστρου, διακόσιοι καὶ χίλιοι. τὰ δὲ ἐν μέσῳ, ἔρημα καὶ ἀνώνυμα. κατὰ τοῦτο μάλιστα τὸ στόμα, ἐπ' εὐθὺ πλέοντι ἀνέμῳ ἀπαρκτίᾳ ἰδίως τὸ πέλαγος, νῆσος πρόσκειται. ἥν τινα, οἱ μὲν, ἀχιλλέως νῆσον. οἱ δὲ, δρόμον ἀχιλλέως. οἱ δὲ λευκὴν ἀπὸ τῆς χροιᾶς ὀνομάζουσιν. ταύτην λέγεται θέτις ἀνεῖναι τῷ παιδί. καὶ ταύτην οἰκεῖν τὸν ἀχιλλέα. καὶ νεώς ἐστιν ἐν αὐτῇ, τοῦ ἀχιλλέως. καὶ ξόανον, τῆς παλαιᾶς ἐργασίας. ἡ δὲ νῆσος, ἀνθρώπων μὲν ἔρημός ἐστιν. νέμεται δὲ αἰξὶν οὐ πολλαῖς, καὶ ταύτας ἀνατιθέναι λέγονται τῷ ἀχιλλεῖ ὅσοι προσίσχουσι. καὶ ἄλλα πολλὰ ἀναθήματα ἀνάκειται ἐν τῷ νεῷ, φιάλαι καὶ δακτύλιοι, καὶ λίθοι τῶν πολυτελεστέρων. ταῦτα σύμπαντα χαριστήρια τῷ ἀχιλλεῖ ἀνάκειται. καὶ ἐπιγράμματα τὰ μὲν ῥωμαϊκῶς, τὰ δὲ ἑλληνικῶς, πεποιημένα ἐν ἄλλῳ καὶ ἐν ἄλλῳ μέτρῳ, ἔπαινοι τοῦ ἀχιλλέως. ἔστιν δὲ ἃ, καὶ τοῦ πατρόκλου. καὶ γὰρ καὶ τὸν πάτροκλον τιμῶσιν σὺν τῷ ἀχιλλεῖ, ὅσοι τῷ ἀχιλλεῖ χαρίζεσθαι ἐθέλουσιν. ὄρνιθες δὲ πολλοὶ, αὐλίζονται ἐν τῇ νήσῳ. λάροι καὶ αἴθυιαι καὶ κορῶναι αἱ θαλάσσιοι, τὸ πλῆθος οὐ σταθμητοί. οὗτοι οἱ ὄρνιθες, θεραπεύουσιν τοῦ ἀχιλλέως τὸν νεών. ἕωθεν ὁσημέραι, καταπέτονται εἰς τὴν θάλασσαν. ἔπειτα ἀπὸ τῆς θαλάσσης βεβρεγμένοι τὰ πτερὰ, σπουδῇ αὖ εἰσπέτονται εἰς τὸν νεὼν, καὶ ῥαίνουσιν τὸν νεών. ἐπειδὰν δὲ καλῶς ἔχῃ, οἱ δὲ ἐκκαλλύνουσιν αὖ τὸ ἔδαφος τοῖς πτεροῖς. οἱ δὲ, καὶ τάδε ἱστοροῦσιν. τῶν προσεσχηκότων τῇ

b 3 νήσῳ

Iones
Borysthenes
Olbia
Odessus
Istrianoru portus
Isiaco portus
Achillis insula
Achillis cursus
Leuce
Leuce a colore
Idem
Thetis protulit Leucen achilli filio
Nota haec omnia pro ambra pohti. m

νήσῳ, ἱερεῖα τοὺς μὲν ἐξεπίτηδες πλέοντας ἐς αὐτὴν, ἐπὶ ταῖς ναυσὶν κομίζειν. καὶ τούτων, τὰ μὲν καταθύειν, τὰ δὲ ἀφιέναι τῷ ἀχιλλεῖ. τοὺς δέ τινας ὑπὸ χειμῶνος ἐξαναγκασθέντας, προσέχειν. καὶ τούτους, παρ' αὐτοῦ τοῦ θεοῦ αἰτεῖν ἱερεῖον, χρωμένους ἐπὶ τῶν ἱερείων, εἰ λῷόν σφισιν καὶ ἄμεινον θῦσαι, ὅ τι περ αὐτοὶ τῇ γνώμῃ ἀπελέξαντο νεμόμενον, τιμὴν ἅμα καταβάλλοντας τὴν ἀξίαν σφίσιν δοκοῦσαν. εἰ δὲ ἀπαγορεύοι ὁ χρησμὸς, εἶναι γὰρ χρησμοὺς ἐν τῷ νεῷ, προσβάλλειν τῇ τιμῇ. εἰ δὲ ἔτι ἀπαγορεύοι, ἔτι προσβάλλειν. συγχωρήσαντος δὲ, γιγνώσκειν ὅτι ἀρκοῦσα ἡ τιμή ἐστιν. τὸ δὲ ἱερεῖον ἵστασθαι ἐπὶ τῷδε αὐτόματον, μηδὲ ἀποφεύγειν ἔτι. καὶ τοῦτο δὴ πολὺ ἀνακεῖσθαι τὸ ἀργύριον τῷ ἥρῳ τὰς τιμὰς τῶν ἱερείων. φαίνεσθαι δὲ ἐνύπνιον τὸν ἀχιλλέα. τοῖς μὲν προσχοῦσι τῇ νήσῳ. τοῖς δὲ καὶ πλέουσιν ἐπειδὰν οὐ πόρρω αὐτῆς ἀφίκωσιν. καὶ φράζειν ὅπου προσχεῖν τῆς νήσου ἄμεινον, καὶ ὅπου ὁρμίσασθαι. οἱ δὲ καὶ ὕπαρ λέγουσιν φανῆναί σφισιν, ἐπὶ τοῦ ἱστοῦ ἢ ἐπ' ἄκρου τοῦ κέρως τὸν ἀχιλλέα, καθάπερ τοὺς διοσκούρους. τοσόνδε μόνον τῶν διοσκούρων μεῖον ἔχειν, τὸν ἀχιλλέα. ὅσον οἱ μὲν διόσκουροι, τοῖς πανταχοῦ πλοϊζομένοις ἐναργεῖς φαίνονται. καὶ φανέντες, σωτῆρες γίνονται. ὁ δὲ τοῖς πελάζουσιν ἤδη τῇ νήσῳ. οἱ δὲ, καὶ τὸν πάτροκλον σφίσιν ὀφθῆναι ἐνύπνιον λέγουσιν. τάδε μὲν ὑπὲρ τῆς νήσου τῆς τοῦ ἀχιλλέως, ἀκοὴν ἀνέγραψα, τῶν ἢ αὐτῶν προσχόντων, ἢ ἄλλων πεπυσμένων. καί μοι δοκεῖ οὐκ ἄπιστα εἶναι. ἀχιλλέα γὰρ ἐγὼ πείθομαι, εἴπερ τινα καὶ ἄλλον ἥρωα εἶναι. τῇ τε εὐγενείᾳ τεκμαιρόμενος, καὶ τῷ κάλλει, καὶ τῇ ῥώμῃ τῆς ψυχῆς, καὶ τῷ νέον μεταλλάξαι ἐξ ἀνθρώπων, καὶ τῇ ὁμήρου ἐπ' αὐτῷ ποιήσει, καὶ τῷ ἐρωτικὸν γενέσθαι καὶ φιλέταιρον, ὡς καὶ ἐπαποθανεῖν ἑλέσθαι τοῖς παιδικοῖς. ἀπὸ δὲ τοῦ ψιλοῦ καλουμένου στόματος τοῦ ἴστρου, ἐπὶ τὸ δεύτερον στόμα, στάδιοι ἑξήκοντα. ἐνθένδε ἐπὶ τὸ καλὸν καλούμενον στόμα, στάδιοι τεσσαράκοντα. καὶ ἀπὸ τοῦ καλοῦ, ἐπὶ τὸ νάρακον ὧδε ὀνομαζόμενον στόμα τέταρτον τοῦ ἴστρου, στάδιοι ἑξήκοντα. ἐνθένδε ἐπὶ τὸ πέμπτον

De Leuce & oraculo achillis

Psilō os
Calō-os
Naracō os
secundū os.
Quintū-os
Istri-fl.

.: Videtur appellare callantra quã alij calatin appellant



πέμπτον, εἴκοσι καὶ ἑκατόν. καὶ ἔνθεν εἰς ἰστρίαν πόλιν, στάδιοι πεντακόσιοι. ἐνθένδε ἐς τομέας πόλιν, στάδιοι τριακόσιοι. ἀπὸ δὲ τομέας εἰς κάλλαντραν πόλιν, ἄλλοι τριακόσιοι. ὅρμος ναυσίν. ἐνθένδε ἐς καρῶν λιμένα, ὀγδοήκοντα καὶ ἑκατόν. καὶ ἡ γῆ ἐν κύκλῳ τοῦ λιμένος, καρία κλήζεται. ἀπὸ δὲ καρῶν λιμένος, ἐς τετρισιάδα, στάδιοι εἴκοσι καὶ ἑκατόν. ἐνθένδε, εἰς βίζον χῶρον ἔρημον στάδιοι ἑξήκοντα. ἀπὸ δὲ βίζου εἰς διονυσόπολιν, στάδιοι ὀγδοήκοντα. ἐνθένδε εἰς ὀδησσόν, διακόσιοι. ὅρμος ναυσίν. ἐκ δὲ ὀδησσοῦ, ἐς τοῦ αἵμου τὰς ὑπωρείας αἳ δὴ εἰς τὸν πόντον καθήκουσιν, στάδιοι τριακόσιοι ἑξήκοντα. καὶ αὐτόθι, ὅρμος ναυσίν. ἐκ δὲ τοῦ αἵμου εἰς μεσημβρίαν πόλιν, ἐνενήκοντα. ὅρμος ναυσίν. καὶ ἐκ μεσημβρίας εἰς ἀγχίαλον πόλιν, στάδιοι ἑβδομήκοντα. καὶ ἐξ ἀγχιάλου εἰς ἀπολλωνίαν, ὀγδοήκοντα καὶ ἑκατόν. αὗται πᾶσαι αἱ πόλεις, ἑλληνίδες εἰσίν, ᾠκισμέναι ἐν τῇ σκυθίᾳ ἐν ἀριστερᾷ ἐσπλέοντι εἰς τὸν πόντον. ἐκ δὲ ἀπολλωνίας ἐς χερρόνησον, στάδιοι ἑξήκοντα. ὅρμος ναυσίν. καὶ ἐκ χερρονήσου ἐς αὐλαίου τεῖχος, πεντήκοντα καὶ διακόσιοι. ἐνθένδε ἐς θυνιάδα ἀκτὴν, εἴκοσιν καὶ ἑκατόν. ἀπὸ δὲ θυνιάδος εἰς σαλμυδησσόν, στάδιοι διακόσιοι. τούτου τοῦ χωρίου μνήμην πεποίηται, ξενοφῶν ὁ πρεσβύτερος. καὶ μέχρι τούτου λέγει τὴν στρατιὰν ἐλθεῖν τῶν ἑλλήνων, ἧς αὐτὸς ἡγήσατο, ὅτε τὰ τελευταῖα σὺν σεύθῃ τῷ θρᾳκὶ ἐστράτευσεν. καὶ περὶ τῆς ἀλιμενότητος τοῦ χωρίου πολλὰ ἀνέγραψεν, ὅτι ἐνταῦθα ἐκπίπτει τὰ πλοῖα χειμῶνι βιαζόμενα. καὶ οἱ θρᾷκες οἱ πρόσχωροι, ὅτι ὑπὲρ τῶν ναυαγίων ἐν σφίσιν διαμάχονται. ἀπὸ δὲ σαλμυδησσοῦ εἰς φρυγίαν, στάδιοι τριάκοντα καὶ τριακόσιοι. ἐνθένδε ἐπὶ κυανέας, εἴκοσι καὶ τριακόσιοι. αὗται δὲ αἱ κυάνεαι εἰσίν, ἃς λέγουσιν οἱ ποιηταὶ πλαγκτὰς πάλαι εἶναι. καὶ διὰ τούτων, πρώτην ναῦν περᾶσαι τὴν ἀργώ, ἥ τις ἐς κόλχους ἰάσονα ἤγαγεν. ἐκ δὲ κυανέων ἐπὶ τὸ ἱερὸν τοῦ διὸς τοῦ οὐρίου, ἵνα περ τὸ στόμα τοῦ πόντου, στάδιοι τεσσαράκοντα. ἐνθένδε εἰς λιμένα δάφνης τῆς μαινομένης καλουμένης, στάδιοι

Xeno

Istria. V.
Tomi. V.
Callantra
Carū portꝯ
Caria
Tetrisias
Bizus
Dionysopoli
Odessus,
Aemi motis radices
Mesembria
Anchialus
Apollonia
Cherronesus
Aulaei mu
Thymias
Salmydess
Phrygia
Cyaneae-p
Planctae
Jouis urij
+
Daphnes p

In apollonia finiuntur urbes habitatae in laeuo pōti latere

// corrigendū ~~in Ar~~ philia ex ptolemaeo uel philea ex stephano & pomponio

στάδιοι τεσσαράκοντα. ἀπὸ δὲ Δάφνης εἰς Βυζάντιον, ὀγδοήκοντα. τάδε μὲν καὶ τὰ ἀπὸ τοῦ Βοσπόρου τοῦ Κιμμερίου, ἔστε Βόσπορον τὸν Θρᾴκιον, καὶ πόλιν Βυζάντιον.

## ΑΡΡΙΑΝΟΥ ΠΕΡΙΠΛΟΥΣ τῆς ἐρυθρᾶς θαλάσσης.

ΤΩΝ ἀποδεδειγμένων ὅρμων τῆς ἐρυθρᾶς θαλάσσης, καὶ τῶν περὶ αὐτὴν ἐμπορίων, πρῶτος ἐστὶ λιμὴν τῆς αἰγύπτου, μυὸς ὅρμος. μετὰ δὲ αὐτὸν εἰσπλεόντων ἀπὸ χιλίων ὀκτακοσίων σταδίων, ἐν δεξιᾷ ἡ Βερνίκη. ἀμφοτέρων οἱ λιμένες, ἐν τῷ ἐσχάτῳ τῆς αἰγύπτου κόλποι δὲ τῆς ἐρυθρᾶς θαλάσσης κεῖνται. τούτων ἐκ μὲν τῶν δεξιῶν ἀπὸ Βερνίκης συναφὴς, ἡ τισηβαρικὴ χώρα ἐστί. τὰ μὲν παρὰ θάλασσαν, ἰχθυοφάγων μάνδραις οἰκοδομημέναις ἐν στενώμασιν, καὶ σποράδην δὲ οἰκοῦνται. τὰ δὲ μεσόγεια, βαρβάρων καὶ τῶν μετ᾽ αὐτοὺς ἀγριοφάγων καὶ μοσχοφάγων, κατὰ τυραννίδα νεμομένων. οἷς ἐπίκειται κατὰ νώτου μεσόγειος ἀπὸ τῶν πρὸς δύσιν μερῶν, σης μικρόν. μετὰ δὲ τοὺς μοσχοφάγους ἐπὶ θαλάσσης μικρὸν ἐμπόριον ἐστὶν, ἀπέχον τὸ πέρας τῆς ἀνακομιδῆς σταδίους περὶ τετρακισχιλίους, πτολεμαῒς ἡ τῶν θηρῶν λεγομένη. ἀφ᾽ ἧς οἱ ἐπὶ πτολεμαίου τοῦ βασιλέως θηρευθέντες, ἐνέβησαν. ἔχει δὲ τὸ ἐμπόριον, χελώνην ἀληθινὴν, καὶ χερσαίαν ὀλίγην, καὶ λευκὴν μικροτέραν τοῖς ὀστράκοις. εὑρίσκεται δὲ ἐν αὐτῇ, ποτὲ μὲν ἐλέφας ὀλίγος ὅμοιος τῷ ἀδουλιτικῷ. ὁ δὲ τόπος, ἀλίμενος, καὶ σκάφαις μόνον τὴν ἀποδρομὴν ἔχων. μετὰ δὲ τὴν πτολεμαΐδα τὴν τῶν θηρῶν ἀπὸ σταδίων ὡς τρισχιλίων, ἐμπόριον ἐστὶ νόμιμον ἡ ἀδουλεί. κείμενον ἐν κόλπῳ βαθεῖ, κατ᾽ αὐτὸν τὸν νότον. οὗ πρόκειται νῆσος, ὀρεινὴ λεγομένη, τοῦ μὲν ἐσωτάτου κόλπου, σταδίους ὡς εἰς πέλαγος ἔχουσα διακοσίους. ἐξ ἀμφοτέρων τῶν μερῶν, παρακειμέ-

νην

Byzantiũ
Myos portus
Bernice
Tisibarice
Ichthyophagi
Agriophagi
Moschophagi
Ptolemais therõ
unde dicta
Aduli
Orine .i. mõtana
insula

ὡς f. ἀδουλι-
τικοῦ vt ī
fo: 21

ἀνακομιδὴ
ἀδουλιτικῷ ἐλέφαντι ὅμοιος
ἐμπόριον νόμιμον



νην ἔχουσα τὴν ἤπειρον. ἐν ᾗ νῦν ὁρμεῖ τὰ καταγόμενα πλοῖα, διὰ τὰς ἐκ τῆς γῆς καταδρομάς. πρότερον μὲν γὰρ ὥρμει, κατ᾽ αὐτὸν τὸν ἐσώτατον κόλπον ἐν τῇ διοδώρου λεγομένῃ νήσῳ, παρ᾽ αὐτὴν τὴν ἤπειρον, ἐχούσῃ πεζῇ τὴν διάβασιν. δι᾽ ἧς οἱ κατοικοῦντες βάρβαροι, κατέτρεχον τὴν νῆσον. καὶ κατ᾽ αὐτὴν τὴν ἐν τῇ ὀρεινῇ ἤπειρον, ἀπὸ σταδίων εἴκοσι τῆς θαλάσσης, ἐστὶν ἡ ἀδουλεὶ κώμη σύμμετρος. ἀφ᾽ ἧς εἰς μὲν κολόην μεσόγειον πόλιν, καὶ πρῶτον ἐμπόριον τοῦ ἐλέφαντος, ὁδὸς ἐστὶν ἡμερῶν τριῶν. ἀπὸ δὲ ταύτης, εἰς αὐτὴν τὴν μητρόπολιν τὸν ἀξωμίτην λεγόμενον, ἄλλων ἡμερῶν πέντε. εἰς ὃν ὁ πᾶς ἐλέφας ἀπὸ τοῦ πέρα τοῦ νείλου φέρεται, διὰ τοῦ λεγομένου κυηνείου. ἐκεῖθεν δὲ, εἰς ἀδουλεί. τὸ μὲν οὖν ὅλον πλῆθος τῶν φονευομένων ἐλεφάντων ἢ ῥινοκερώτων, περὶ τοὺς ἄνω νέμεται τόπους. σπανίως δέ ποτε καὶ ἐν τῷ παρὰ θάλασσαν, περὶ αὐτὴν τὴν ἀδουλεὶ θεωροῦνται. πρόκεινται δὲ τοῦ ἐμπορίου καὶ κατὰ πέλαγος, ἄλλαι νῆσοι μικραὶ ἐκ δεξιῶν ἄμμιναι πλείονες, ἀλαλαίου λεγόμεναι, χελώνην ἔχουσαι τὴν εἰς τὸ ἐμπόριον φερομένην, ἀπὸ τῶν ἰχθυοφάγων. καὶ ἀπὸ σταδίων ὡσεὶ ὀκτακοσίων, κόλπος ἕτερος βαθύτατος. οὗ κατὰ τὴν εἰσβολὴν ἐν δεξιοῖς, ἄμμος ἐστὶ πολλὴ κεχυμένη. καθ᾽ ἧς ἐν βάθει, κεχωσμένος εὑρίσκεται ὁ ὀψιανὸς λίθος, ἐν ἐκείνῃ μόνῃ τοπικῶς γεννώμενος. βασιλεύει δὲ τῶν τόπων τούτων ἀπὸ τῶν μοσχοφάγων, μέχρι τῆς ἄλλης βαρβαρίας, ζωσκάλης. ἀκριβὴς μὲν τοῦ βίου, καὶ τῶν πλειόνων ὀρεγόμενος. γενναῖος δὲ περὶ τὰ λοιπὰ, καὶ γραμμάτων ἑλληνικῶν ἔμπειρος. προχωρεῖ δὲ εἰς τοὺς τόπους τούτους, ἱμάτια βαρβαρικὰ ἄγναφα, τὰ ἐν αἰγύπτῳ γινόμενα. ἀρσινοιτικαὶ στολαί, καὶ ἀβόλοι νόθοι χρωμάτινοι, καὶ λέντια, καὶ δικρόσσια, καὶ λιθίας ὑάλης πλείονα γένη. καὶ ἄλλης μοῤῥίνης, τῆς γινομένης ἐν διοσπόλει. καὶ ὀρόχαλκος, ᾧ χρῶνται πρὸς κόσμον, καὶ εἰς συγκοπὴν ἀντὶ νομίσματος. καὶ μελίεφθα χαλκᾶ, εἴς τε ἕψησιν καὶ εἰς συγκοπὴν ψελίων καὶ περισκελίδων τισὶ τῶν γυναικῶν. καὶ σίδηρος, ὁ δαπανώμενος εἴς τε λόγ-

c χας

κωλαθρωμας

Diodori. insu
Aduli uicus
Coloe
Emporiũ ele-
phanti
Axomites
metropolis
κυηνείου
Cyenũ
Hamminæ
insu
Alalæu
Opsianus la-
pis
ἀβόλοι νόθοι
χρωμάτινοι
λέντια
δικρόσσια
μοῤῥίνης al.
Myrrhine
Horochalcu
μελίεφθα
χαλκᾶ

Opsianus lapis

χας πρὸς τοὺς ἐλέφαντας καὶ τὰ ἄλλα θηρία καὶ τοὺς πολέμους. ὁμοίως δὲ καὶ πελύκια προχωρεῖ, καὶ σκέπαρνα, καὶ μάχαιραι, καὶ ποτήρια χαλκᾶ στρογγύλα μεγάλα, καὶ δηνάριον ὀλίγον, πρὸς τοὺς ἐπιδημοῦντας, καὶ οἶνος λαοδικηνὸς καὶ ἰταλικὸς, οὐ πολὺς, καὶ ἔλαιον, οὐ πολύ. τῷ δὲ βασιλεῖ, ἀργυρώματα καὶ χρυσώματα, τοπικῷ ῥυθμῷ κατεσκευασμένα, καὶ ἱματίων ἀβόλλαι, καὶ γαυνάκαι ἁπλοῖ. οὐ πολλοῦ δὲ ταῦτα. ὁμοίως δὲ καὶ ἀπὸ τῶν ἔσω τόπων τῆς ἀραβικῆς, σίδηρος ἰνδικὸς, καὶ στόμωμα, καὶ ὀθόνιον ἰνδικὸν τὸ πλατύτερον, ἡ λεγομένη μοναχὴ, καὶ σαγματογῆναι, καὶ περιζώματα, καὶ γαυνάκαι, καὶ μολόχινα, καὶ σινδόναι ὀλίγαι, καὶ λάκκος χρωμάτινος. φέρεται δὲ ἀπὸ τῶν τόπων, ἐλέφας, καὶ ῥινόκερως. τὰ δὲ πλεῖστα ἐκ τῆς αἰγύπτου φέρεται εἰς τὸ ἐμπορεῖον τοῦτο, ἀπὸ μηνὸς ἰανουαρίου μέχρι τοῦ σεπτεμβρίου. ὅ ἐστιν ἀπὸ τυβὶ, ἕως θώθ. εὐκαίρως δὲ ἀπὸ αἰγύπτου ἀνάγονται, περὶ τὸν σεπτέμβριον μῆνα. ἤδη ἐπὶ ἀνατολὴν ὁ ἀράβικος κόλπος διατείνει, καὶ κατὰ τὸν ἀβαλίτην μάλιστα στενοῦται. μετὰ δὲ σταδίους ὡσεὶ τετρακισχιλίους, κατὰ τὴν αὐτὴν ἤπειρον εἰς ἀνατολὴν πλεόντων, ἔστιν ἄλλα ἐμπορεῖα βαρβαρικὰ, τὰ πέραν λεγόμενα. κείμενα μὲν, κατὰ τὸ ἑξῆς. ἀγκυροβολίοις δὲ καὶ σάλοις ἔχοντα τοὺς ὅρμους, κατὰ καιροὺς ἐπιτηδείους. πρῶτος μὲν, ὁ λεγόμενος αὐαλίτης. καθ' ὃν, καὶ στενότατός ἐστιν ἀπὸ τῆς ἀραβικῆς εἰς τὸ πέραν, διάπλους. κατὰ τοῦτον τὸν τόπον, μικρὸν ἐμπορεῖον ἐστὶν ὁ αὐαλίτης, σχεδίαις καὶ σκάφαις εἰς τὸ αὐτὸ προσερχομένων. προχωρεῖ δὲ εἰς αὐτὴν ὑαλῆ λιθία σύμμικτος. καὶ διοσπολιτικῆς ὄμφακος, καὶ ἱμάτια βαρβαρικὰ, σύμμικτα γεγναμμένα. καὶ σῖτος καὶ οἶνος, καὶ κασσίτερος ὀλίγος. φέρεται δ' ἐξ αὐτῆς ποτὲ, καὶ τῶν βαρβάρων ἐπὶ σχεδίαις διαφερόντων εἰς τὴν ἀντικρὺς ὄκηλιν καὶ μοῦζα, ἀρώματα, καὶ ἐλέφας ὀλίγος, καὶ χελώνη, καὶ σμύρνα ἐλαχίστη, διαφέρουσα δὲ τῆς ἄλλης. ἀτακτότεροι δὲ, οἱ κατοικοῦντες τὸν τόπον βάρβαροι. μετὰ δὲ τὸν αὐαλί-

τὴν

γεγναμμένα ἀπὸ τοῦ γνάφω

Abolla uestis
Gaunacæ
Monochæ
Sagmatogenæ
Molochina
Sindonæ
Laccus
Abalites al. Auali tes ut [illegible]
Perana emporia
ἀγκυροβολία
σάλοι
Aualites portus
Celis
Muza



τὴν, ἕτερον ἐμπορεῖον ἐστὶν τούτου διαφόρων, ἡ λεγομένη μαλαώ. πλοῦν ἀπέχουσα, σταδίων ὡς ὀκτακοσίων. ὁ δὲ ὅρμος ἐπίσαλος, σκεπόμενος ἀκρωτηρίῳ, ἀπὸ δὲ ἀνατολῆς ἀνατείνοντι. οἱ δὲ κατοικοῦντες, εἰρηνικώτεροι. προχωρεῖ δὲ εἰς τοῦτον τὸν τόπον, τὰ προειρημένα. καὶ πλείονες χιτῶνες. σάγοι ἀρσινοητικοὶ, γεγναμμένοι καὶ βεβαμμένοι, καὶ ποτήρια, καὶ μελίεφθα ὀλίγα, καὶ σίδηρος, καὶ δηνάριον οὐ πολύ. καὶ χρυσοῦν δὲ καὶ ἀργυροῦν. εἰσφέρεται δὲ ἀπὸ τῶν τόπων τούτων, καὶ σμύρνα, καὶ λίβανος ὁ περατικὸς ὀλίγος, καὶ κασσία σκληροτέρα, καὶ δούακα, καὶ κάγκαμον, καὶ μάκειρ, τὰ εἰς ἀραβίαν προχωροῦντα, καὶ σώματα σπανίως. ἀπὸ δὲ μαλαὼ, δύο δρόμοις, ἐστὶν ἐμπορεῖον ἡ μουώδου. ἐν ᾧ καὶ ἀσφαλέστερον ὁρμεῖ τὰ πλοῖα, εἰς τὴν προκειμένην ἔγγιστα τῆς γῆς νῆσον. προχωρεῖ δὲ εἰς αὐτὴν, τὰ προειρημένα, καὶ ἐκεῖθεν ὁμοίως ἐκφέρεται, τὰ προειρημένα φορτία. θυμίαμα, τὸ λεγόμενον μοκρότου. οἱ δὲ κατοικοῦντες ἔμποροι, σκληρότεροι. ἀπὸ δὲ τῆς μουώδου, πλεόντων εἰς τὴν ἀνατολὴν ὁμοίως μετὰ δύο δρόμους ἢ τρεῖς, πλησίον κεῖται τὸ μόσυλλον, ἐν αἰγιαλῷ δυσόρμῳ. προχωρεῖ δὲ εἰς αὐτὴν, τὰ προειρημένα γένη, καὶ σκεύη ἀργυρᾶ. σιδηρᾶ δὲ ἐλάσσω, καὶ λιθία. ἐξάγεται δὲ ἀπὸ τῶν τόπων, κασσίας χῦμα πλεῖστον, ὃ καὶ μειζόνων πλοίων χρῄζει τὸ ἐμπορεῖον, καὶ ἄλλα εὐώδια, καὶ ἀρώματα, καὶ χελωνάρια ὀλίγα, καὶ μοκρότου, ἧττον τοῦ μουωδιτικοῦ, καὶ λίβανος ὁ περατικός. ἐλέφας δὲ καὶ σμύρνα, σπανίως. ἀπὸ δὲ τοῦ μοσύλλου παραπλεύσαντα μετὰ δύο δρόμους, τὸ λεγόμενον νειλοπτολεμαίου, καὶ ταπατηγὴ, καὶ δαφνῶνα μικρὸν, καὶ ἀκρωτήριον ἐλέφας, ἀπὸ ὀπώνης, εἰς νότον προχωρεῖ. εἶτα εἰς λίβα ἡ χώρα, ποταμοὺς ἔχει τὸν λεγόμενον ἐλέφαντα. καὶ δαφνῶνα μέγαν, λεγόμενον ἀκάνναι. ἐν ᾗ μονογενῶς λίβανος ὁ περατικός, πλεῖστος καὶ διάφορος γίνεται. καὶ μετὰ ταύτην, τῆς γῆς ὑποχωρούσης εἰς τὸν νότον ἤδη, τὸ τῶν ἀρωμάτων ἐμπορεῖον. καὶ ἀκρωτήριον τελευταῖον τῆς βαρβαρικῆς ἠπεί-



Malao
μελίεφθα
Denariū
λίβανος ὁ περατικός
Cassia
Duaca
Cancamū
Macir
~~Mundu~~ emporiū
Mocrotu thymiama
Mossylo
Niloptolemæu
Tapatege
Daphno. i. lauretum
Elephas prom.
Opone
Elephas
~~Daphno~~
Acannæ

ρου, πρὸς ἀνατολὴν ἀπόκοπον. ὁ δὲ ὅρμος ἐπισφαλὴς κατὰ καιροὺς ἐπικίνδυνος, διὰ τὸ προσεχῆ τὸν τόπον εἶναι τοῦ Βορέα. σημεῖον δὲ τοῦ μέλλοντος χειμῶνος τοπικόν, τὸ τὸν βυθὸν θολερώτερον γίνεσθαι καὶ τὴν χρόαν ἀλλάσσειν. τούτου δὲ γινομένου, πάντες ἀποφεύγουσιν εἰς τὸ μέγα ἀκρωτήριον τόπον καὶ σκέπην, τὸ λεγόμενον τάβαι. προχωρεῖ δὲ εἰς τὸ ἐμπόριον, ὁμοίως τὰ προειρημένα. γίνεται δὲ τὰ ἐν αὐτῷ, κασία, καὶ γίζειρ, καὶ ἀσύφη, καὶ ἄρωμα, καὶ μάγλα, καὶ μοτώ, καὶ λίβανος. ἀπὸ δὲ τάβαι, μετὰ σταδίους τετρακοσίους παραπλεύσαντι χερσόνησον, καθ' ὃν τόπον καὶ ὁ ῥοῦς ἕλκει, ἕτερόν ἐστιν ἐμπόριον ὀπώνη. εἰς ἣν καὶ αὐτῇ, προχωρεῖ μὲν, τὰ προειρημένα. τὸ δὲ πλεῖστον ἐν αὐτῇ γεννᾶται, κασία, καὶ ἄρωμα, καὶ μοτώ, καὶ δουλικὰ κρείσσονα, καὶ εἰς αἴγυπτον προχωρεῖν μᾶλλον, καὶ χελώνη πλείστη, καὶ διαφορωτέρα τῆς ἄλλης. πλέεται δὲ εἰς πάντα ταῦτα τούπεραν ἐμπόρια. ἀπὸ μὲν αἰγύπτου, περὶ τὸν ἰούλιον μῆνα, ὅ ἐστιν ἐπιφί. ἐξαρτίζεται δὲ συνήθως, καὶ ἀπὸ τῶν ἔσω τόπων τῆς ἀριακῆς, καὶ βαρυγάζων, εἰς τὰ αὐτὰ τὰ τούπερα ἐμπόρια, γένη προχωροῦντα ἀπὸ τῶν τόπων. σῖτος, καὶ ὄρυζα, καὶ βούτυρον, καὶ ἔλαιον σησάμινον, καὶ ὀθόνιον, ἥ τε μοναχὴ, καὶ ἡ σαγματογήνη, καὶ περιζώματα, καὶ μέλι τὸ καλάμινον, τὸ λεγόμενον σάκχαρι. καὶ οἱ μὲν προηγουμένως, εἰς ταῦτα τὰ ἐμπόρια πλέουσιν. οἱ δὲ τὸν παράπλουν, ἀντιφορτίζονται τὰ ἐμπεσόντα. οὐ βασιλεύεται δὲ ὁ τόπος, ἀλλὰ τυράννοις ἰδίοις, καθ' ἕκαστον ἐμπόριον διοικεῖται. ἀπὸ δὲ ὀπώνης, τῆς ἀκτῆς εἰς τὸν νότον ὑποχωρούσης ἤδη πλεῖον, πρῶτα μέν ἐστι τὰ λεγόμενα μικρὰ ἀπόκοπα καὶ μεγάλα τῆς ἀζανίας, διὰ ἀγκυροβολίων. ποταμοί, ἤδη δρόμους ἕξ, παρ' αὐτὸν ἤδη τὸν λίβα. εἶτα αἰγιαλὸς καὶ μικρὸς καὶ μέγας, ἐπὶ ἄλλους δρόμους ἕξ. καὶ μετ' αὐτὸν κατὰ τὸ ἑξῆς, οἱ τῆς ἀζανίας δρόμοι. πρῶτον μὲν, ὁ λεγόμενος σαραπίωνος. εἶθ' ὁ νίκωνος. μεθ' ὃν, ποταμοὶ πλείονες, καὶ ἄλλοι συνεχεῖς ὅρμοι, διῃρημένοι κατὰ σταθμοὺς καὶ δρόμους ἡμερησίους πλείους, οἱ πάντες ἑπτὰ, μέ-



Apocopó· uide· t·
Tabe
Casia
Gizer
Asyphe
Aroma
Magla
Moto
Libanos· thus
Opone· empo
Dulica
Ariace
barygaza
Apocopa parua & magna
AZania
Sarapionis
Niconis
δρόμοι
σταθμοί
δρόμοι

Mel harundinaceū quod uocatur sacchari



χρι πυραλάων νήσων, καινῆς λεγομένης διώρυχος. ἀφ' ἧς μικρὸν ἐπάνω τοῦ λιβός, μετὰ δύο δρόμους νυχθημέρους, παρ' αὐτὴν τὴν δύσιν ἐτενηδιωμμένουθουσίας ἀπαντᾷ νῆσος ἀπὸ σταδίων τῆς γῆς ὡσεὶ τριακοσίων, ταπεινὴ καὶ κατάδενδρος. ἐν ᾗ καὶ ποταμοί, καὶ ὀρνέων γένη πλεῖστα, καὶ χελώνη ὀρεινή. θηρίων δὲ οὐδὲν ὅλως ἔχει, πλὴν κροκοδείλων. οὐδένα δὲ ἄνθρωπον ἀδικοῦσι. ἔστιν δὲ ἐν αὐτῇ πλοιάρια ῥαπτὰ καὶ μονόξυλα, οἷς χρῶνται πρὸς ἁλιείαν καὶ ἄγραν χελώνης. ἐν δὲ ταύτῃ νήσῳ, καὶ γυργάθοις αὐτὰς ἰδίως λινεύουσιν, ἀντὶ δικτύων καθιέντες αὐτοὺς περὶ τὰ στόματα τῶν περιάγχων. ἀφ' ἧς μετὰ δύο δρόμους τῆς ἠπείρου τὸ τελευταιότατον τῆς ἀζανίας ἐμπόριον κεῖται, τὰ ῥαπτὰ τὰ λεγόμενα. ταύτην ἔχον τὴν προσωνυμίαν, ἀπὸ τῶν προειρημένων ῥαπτῶν πλοιαρίων, ἐν ᾧ καὶ πλεῖστος ἐστὶν ἐλέφας, καὶ χελώνη. μέγιστοι δὲ ἐν σώμασιν περὶ ταύτην τὴν χώραν ἄνθρωποι ὁρατοί, κατοικοῦσιν. καὶ κατὰ τὸν τόπον ἕκαστον ὁμοίως τιθεμένοι τυράννους. νέμεται δὲ αὐτὴν κατά τι δίκαιον ἀρχαῖον, ὑποπίπτουσαν τῇ βασιλείᾳ τῆς πρώτης γινομένης ἀραβίας, ὁ μοφαρίτης τύραννος. παρὰ δὲ τοῦ βασιλέως, ὑπόφορον αὐτὴν ἔχουσιν, οἱ ἀπὸ μούζα. καὶ πέμπουσιν εἰς αὐτὴν ἐφόλκια, τὰ πλείονα κυβερνήταις καὶ χρειακοῖς ἄραψιν χρώμενοι τοῖς κατὰ συνήθειαν καὶ ἐπιγαμβρείαν ἔχουσιν, ἐμπείροις τε οὖσιν τῶν τόπων, καὶ τῆς φωνῆς αὐτῶν. εἰσφέρεται δὲ εἰς τὰ ἐμπόρια ταῦτα προηγουμένως, ἡ τοπικῶς ἐν μούζᾳ κατασκευαζομένη λόγχη, καὶ πελύκια, καὶ μαχαίρια, καὶ ὀπήτια, καὶ λιθίας ὑαλῆς πλείονα γένη. εἰς δέ τινας τόπους, οἶνος τε καὶ σῖτος οὐκ ὀλίγος, οὐ πρὸς ἐργασίαν, ἀλλὰ δαπάνης χάριν, εἰς φιλανθρωπίαν τῶν βαρβάρων. ἐκφέρεται δὲ ἀπὸ τῶν τόπων, ἐλέφας πλεῖστος. ἧσσον δέ, τοῦ ἀδουλιτικοῦ, καὶ ῥινόκερως, καὶ χελώνη διάφορος, μετὰ τὴν ἰνδικήν, καὶ ναύπλιος ὀλίγος, καὶ σχεδὸν τελευταιότατά ἐστιν ταῦτα τὰ ἐμπόρια τῆς ἀζανίας, τῆς ἐν δεξιοῖς ἀπὸ βερνίκης ἠπείρου. ὁ γὰρ μετὰ τούτους τοὺς τόπους ὠκεανός, ἀνερεύνητος



Pyralai insul
δρόμους νυχθ μέρους
ἁλιείαν
λινεύουσιν
περιάγχων
AZania· emp
Rhapta
ὁρατοί ἄν
περατοί
χρειακοῖς
πηλύκια
Adulitic elefanti

ὢν, εἰς τὴν δύσιν ἀνακάμπτει, καὶ τοῖς ἀπεστραμμένοις μέρεσιν τῆς αἰθιοπίας, καὶ λιβύης, καὶ ἀφρικῆς, κατὰ τὸν νότον παρεκτείνων, εἰς τὴν ἑσπέριον συμμίσγει θάλασσαν. ἐκ δὲ τῶν εὐωνύμων βερνίκης ἀπὸ μυὸς ὅρμου, δυσὶν δρόμοις ἢ τρισὶν εἰς τὴν ἀνατολὴν, διαπλεύσαντι τὸν παρακείμενον κόλπον, ὅρμος ἐστὶν ἕτερος, καὶ φρούριον, ὃ λέγεται λευκὴ κώμη. δι' ἧς ἐστὶν εἰς πέτραν πρὸς μαλίχαν βασιλέα ναβαταίων. ἔχει δὲ ἐμπορίου τινὰ καὶ αὐτὸ τάξιν, τοῖς ἀπὸ τῆς ἀραβίας ἐξαρτιζομένοις εἰς αὐτὴν, πλοίοις οὐ μεγάλοις. διὸ καὶ παραφυλακῆς χάριν, καὶ εἰς αὐτὴν παραλήπτης τῆς τετάρτης τῶν εἰσφερομένων φορτίων, καὶ ἑκατοντάρχης μετὰ στρατεύματος ἀποστέλλεται. μετὰ δὲ ταύτην, εὐθέως ἐστὶν συναφὴς ἀραβικὴ χώρα, κατὰ μῆκος ἤδη πολὺ παρατείνουσα τῇ ἐρυθρᾷ θαλάσσῃ. διάφορα δὲ ἐν αὐτῇ ἔθνη κατοικεῖται. τινὰ μὲν ἤδη ποσὸν, τινὰ δὲ καὶ τελείως τῇ γλώσσῃ διαλλάσσοντα. τούτων τὰ παρὰ θάλασσαν ὁμοίως, ἰχθυοφάγων μάνδραις διείληπται. τὰ δὲ ἐπ' ἄνω, κατὰ κώμας καὶ νομαδίας οἰκεῖται πονηροῖς ἀνθρώποις διφώνοις. οἷς παραπίπτοντες ἀπὸ τοῦ μέσου πλοὸς, ὅτε μὲν διαρπάζονται. οἱ δὲ καὶ ἀπὸ ναυαγίων σωθέντες, ἀνδραποδίζονται. διὸ καὶ συνεχῶς ἀπὸ τῶν τυράννων καὶ βασιλέων τῆς ἀραβίας αἰχμαλωτίζονται. λέγονται δὲ, κανραῖται. καθόλου μὲν οὖτος ὁ τῆς ἀραβικῆς χώρας ἠπείρου παράπλους, ἐστὶν ἐπισφαλὴς, καὶ ἀλίμενος ἡ χώρα καὶ δύσορμος, καὶ ἀκάθαρτος, ῥαχίαις καὶ σπίλοις ἀπρόσιτος, καὶ κατὰ πάντα φοβερά. διὸ καὶ εἰσπλεόντων, μέσον πλοῦν κατέχομεν, καὶ εἰς τὴν ἀραβικὴν χώραν μᾶλλον παροξυνόμεν, ἄχρι τῆς κατακεκαυμένης νήσου. μεθ' ἣν, εὐθέως ἡμέρων ἀνθρώπων, καὶ νομαδίων θρεμμάτων, καὶ καμήλων συνεχεῖς. καὶ μετὰ ταύτας, ἐν κόλπῳ τῷ τελευταιοτάτῳ τῶν εὐωνύμων τούτου τοῦ πελάγους, ἐμπόριον ἐστὶν νόμιμον παραθαλάσσιον μούζα. σταδίοις ἀπέχον τοὺς πάντας ἀπὸ βερνίκης, παρ' αὐτὸν τὸν νότον πλεόντων, ὡς εἰς μυρίους δισχιλίους. τὸ μὲν ὅλον, ἀράβων, ναυκληρικῶν ἀνθρώ-

πων

Alteru latus rubri maris
Leuce come
Petra Malichus
Canraitae
ῥαχίαις
σπίλοις
Catacecaumene insu.
Muza



πων καὶ ναυτικῶν. πλεονάζον δὲ, καὶ τοῖς ἀπὸ ἐμπορίας πράγματα κινεῖται. συγχρῶνται γὰρ τῇ τοῦ πέραν ἐργασίᾳ καὶ βαρυγάζων, ἰδίοις ἐξαρτισμοῖς. ὑπέρκειται δὲ αὐτῆς ἀπὸ τριῶν ἡμερῶν πόλις σαυή, τῆς περὶ αὐτὴν μαφαρίτιδος λεγομένης χώρας. ἔστιν δὲ τύραννος, καὶ κατοικῶν αὐτὴν, χόλαιβος. καὶ μετ' ἄλλας ἐννέα ἡμέρας, ἀφὰρ μητρόπολις. ἐν ᾗ χαριβαὴλ, ἔνθεσμος βασιλεὺς ἐθνῶν δύο. τοῦ τε ὁμηριτῶν, καὶ τοῦ παρακειμένου λεγομένου σαβαείτου, συνεχέσι πρεσβείαις καὶ δώροις φίλος τῶν αὐτοκρατόρων. τὸ δὲ ἐμπόριον ἡ μούζα, ἀλίμενον μὲν, εὔσαλον δὲ καὶ εὔορμον, διὰ τὰ περὶ αὐτὴν ἀμμώδεια ἀγκυροβόλια. φορτία δὲ εἰς αὐτὴν προχωρεῖ. πορφύρα διάφορος, καὶ χυδαία, καὶ ἱματισμὸς ἀραβικὸς χειριδωτὸς, ὅ τε ἁπλοῦς, καὶ ὁ κοινὸς, καὶ σκοτουλάτος, καὶ διάχρυσος, καὶ κρόκος, καὶ κύπερος, καὶ ὀθόνιον, καὶ ἀβόλλαι, καὶ λώδικες οὐ πολλαὶ, ἁπλοῖ τε καὶ ἐντόπιοι. ζῶναι σκιωταὶ, καὶ μύρον μέτριον, καὶ χρῆμα ἱκανόν. οἶνός τε καὶ σῖτος, οὐ πολύς. φέρει γὰρ καὶ ἡ χώρα πυρὸν, μετρίως. καὶ οἶνον πλείονα. τῷ τε βασιλεῖ καὶ τῷ τυράννῳ, δίδονται ἵπποι τε καὶ ἡμίονοι νωτηγοὶ, καὶ χρυσώματα, καὶ τορευτὰ ἀργυρώματα. καὶ ἱματισμὸς πολυτελὴς, καὶ χαλκουργήματα. ἐξάγεται δὲ ἐξ αὐτῆς, ἐντόπια μὲν, σμύρνα ἐκλεκτὴ, καὶ στακτὴ ἀβειρμιναία. λύγδος, καὶ τὰ ἀπὸ τοῦ πέραν ἀδουλεῖ προειρημένα φορτία πάντα. πλεῖται δὲ εἰς τὴν αὐτὴν εὐκαίρως περὶ τὸν σεπτέμβριον μῆνα, ὅς ἐστιν θὼθ. οὐδὲν δὲ κωλύει, κἂν τάχιον. μετὰ δὲ ταύτην ὡσεὶ τριακοσίους που διαπλεύσαντες σταδίους, ἤδη συνερχομένης τε τῆς ἀραβικῆς ἠπείρου, καὶ τῆς πέραν κατὰ τὸν αὐαλίτην βαρβαρικῆς χώρας, αὐλών ἐστιν οὐ μακρὸς, ὁ συνάγων καὶ εἰς στενὸν ἀποκλείων τὸ πέλαγος. οὗ τὸν μεταξὺ πόρον ἑξήκοντα σταδίων, μεσολαβεῖ νῆσος ἡ διοδώρου. διὸ καὶ ῥοώδης, καὶ καταπνεόμενος ἀπὸ τῶν παρακειμένων ὀρῶν ἐστὶν, ὁ κατ' αὐτὴν διάπλους. κατὰ τοῦτον τὸν ἰσθμὸν, παραθαλάσσιος ἐστὶν ἀράβων κώμη τῆς αὐτῆς τυραννίδος, ὄκηλις. οὐχ οὕτως ἐμπόριον, ὡς ὅρμος, καὶ ὕδρευμα, καὶ πρώτη καταγωγὴ, τοῖς ἔσω διαίρουσιν. μετὰ δὲ ὄκηλιν, ἀνοιγομένης πάλιν

τῆς

εὔσαλον
εὔορμον
ἀμμώδια

ἐξαρτισμοῖς
Choleb
Chare bael
Saue V.
Maphartis regio
Aphar V.
Homeritae
Sabaitae
Muza
Lodices
Abollae
Scutulatū
Chiridotū
Zonae σκιωταί
ἡμίονοι νωτηγοί
Smyrna
Stacte abirminaea
Lygdus
Diodori insula
Ocelis
fretū. 60 stadiorum

τῆς θαλάσσης εἰς ἀνατολὴν, καὶ κατὰ μικρὸν εἰς πέλαγος ἀποφαινομένης ἀπὸ σταδίων ὡς χιλίων διακοσίων, ἔστιν εὐδαίμων ἀραβία, κώμη παραθαλάσσιος βασιλείας τῆς αὐτῆς θαριβαήλ, ὅρμους μὲν ἐπιτηδειοτέρους, καὶ ὑδρεύματα γλυκύτερα, κρείσσονα τῆς ὀκήλεως ἔχουσα. ἥτις δὲ ἐν ἀρχῇ κόλπου κειμένη περὶ τὴν χώραν ὑποφεύγειν. εὐδαίμων δὲ ἐπεκλήθη πρότερον οὖσα πόλις, ὅτε μήπω ἀπὸ τῆς ἰνδικῆς εἰς τὴν αἴγυπτον ἐρχομένων, μηδὲ ἀπὸ αἰγύπτου τολμώντων εἰς τοὺς ἔσω τόπους διαίρειν, ἀλλ' ἄχρι ταύτης παραγινομένων, τοὺς παρὰ ἀμφοτέρων φόρτους ἀπεδέχετο. ὥσπερ ἀλεξάνδρεια, καὶ τῶν ἔξωθεν, καὶ τῶν ἀπὸ τῆς αἰγύπτου φερομένων, ἀποδέχεται. νῦν δὲ οὐ πρὸ πολλοῦ τῶν ἡμετέρων χρόνων, καῖσαρ αὐτὴν κατεστρέψατο. ἀπὸ δὲ τῆς εὐδαίμονος ἀραβικῆς, ἐκδέχεται συναφὴς αἰγιαλὸς ἐπιμήκης. καὶ κόλπος, ἐπὶ δισχιλίους ἢ πλείονας παρήκων σταδίους. νομάδων τε καὶ ἰχθυοφάγων, κώμαις παροικουμένοις. οὗ μετὰ τὴν προέχουσαν ἄκραν, ἐμπορεῖόν ἐστιν ἕτερον παραθαλάσσιον, κανή. βασιλείας, ἐλεαζοῦ. χώρας, λιβανωτοφόρου. καὶ κατ' αὐτὴν, ἔρημοι νῆσοι δύο. μία μὲν, ἡ τῶν ὀρνέων. ἡ δ' ἑτέρα, λεγομένη τρούλλας, ἀπὸ σταδίων ἑκατὸν εἴκοσι τῆς κανῆς. ὑπέρκειται δὲ αὐτῆς μεσόγειος, ἡ μητρόπολις σαββαθὰ, ἐν ᾗ καὶ ὁ βασιλεὺς κατοικεῖ. πᾶς δ' ὁ γεννώμενος ἐν τῇ χώρᾳ λίβανος, εἰς αὐτὴν ὥσπερ ἐκδοχεῖον εἰσάγεται, καμήλοις τε, καὶ σχεδίαις ἐντοπίαις δερματίναις ἐξ ἀσκῶν, καὶ πλοίοις. ἔχει δὲ καὶ αὐτὴ σύγχρησιν, τῶν πέραν ἐμπορείων βαρυγάζων, καὶ σκυθίας, καὶ ὀμάνων, καὶ τῆς παρακειμένης περσίδος. εἰσάγεται δὲ εἰς αὐτὴν, ἀπὸ αἰγύπτου μὲν ὁμοίως πυρὸς ὀλίγος καὶ οἶνος, ὥσπερ καὶ εἰς μοῦζα. ἱματισμὸς ἀραβικὸς καὶ ὁμοίως, καὶ κοινὸς καὶ ἁπλοῦς, καὶ ὁ νόθος, περισσότερος. καὶ χαλκὸς, καὶ κασσίτερος, καὶ κοράλλιον, καὶ στύραξ, καὶ τὰ λοιπὰ, ὅσα εἰς μοῦζα. τὰ πλείονα δὲ, ἀργυρώματα τετορευμένα, καὶ χρήματα τῷ βασιλεῖ. ἵπποι δὲ, καὶ ἀνδριάντες, καὶ ἱματισμὸς διάφορος, ἁπλοῦς. ἐξάγεται δὲ ἐξ αὐτῆς, ἐντό-

πια

Arabia felix vic
Tharibaeltos
Cane Eleazi
Orneo insula
Trullas
Sabbatha
Barygaza
Scythia
Omano



πια μὲν φορτία, λίβανος, καὶ ἀλόη. τὰ δὲ λοιπὰ, κατὰ μετοχὴν τῶν ἄλλων ἐμπορείων. πλεῖται δὲ εἰς αὐτὴν περὶ τὸν αὐτὸν καιρὸν, ὃν καὶ εἰς μοῦζα, πρωϊμώτερον δέ. μετὰ δὲ κανὴ τῆς ἐπὶ πλεῖον ὑποχωρούσης, ἄλλος ἐκδέχεται βαθύτατος κόλπος ἐπὶ πολὺ παρεκτείνων, ὁ λεγόμενος σαχαλίτης. καὶ χώρα λιβανωτοφόρος. ὀρεινὴ δὲ καὶ δύσβατος, ἀέρα παχὺν ἔχουσα καὶ ὀμιχλώδη, κατὰ τῶν δένδρων φερόμενον τὸν λίβανον. ἔστιν δὲ τὰ δένδρα τὰ λιβανοφόρα, οὐ μεγάλα λίαν οὐδὲ ὑψηλά. φέρει δὲ ἐπὶ τοῦ φλοιοῦ πηγνύμενον τὸν λίβανον, ὥς τινα καὶ τῶν παρ' ἡμῖν ἐν αἰγύπτῳ δένδρων δακρύει τὸ κόμμι. μεταχειρίζεται δὲ ὁ λίβανος, ὑπὸ δούλων βασιλικῶν, καὶ τῶν ὑπὸ τιμωρίαν πεμπομένων. ἐπίνοσοι δὲ δεινῶς, οἱ τόποι. καὶ τοῖς μὲν παραπλέουσι, λοιμικοί. τοῖς δὲ ἐργαζομένοις, πάντοτε θανατώδεις. ἔτι δὲ καὶ διὰ τὴν ἔνδειαν τῆς τροφῆς, εὐχερῶς ἀπολλύμενοι. τούτου δ' ἐστὶν ἀκρωτήριον τοῦ κόσμου μέγιστον, ἀποβλέπον εἰς ἀνατολὴν, ὁ καλούμενος σύαγρος. ἐφ' οὗ, φρούριόν ἐστι τῆς χώρας, καὶ λιμὴν, καὶ ἀποθήκη τοῦ συναγομένου λιβάνου. καὶ κατὰ τοῦτον ἐν τῷ πελάγει, νῆσος, ἀνὰ μέσον τούτου, καὶ τοῦ πέραν ἀκρωτηρίου τῶν ἀρωμάτων, τῷ συάγρῳ συνεγγίζουσα μᾶλλον, ἡ διοσκουρίδου καλουμένη. μεγίστη μὲν, ἔρημος δὲ καὶ κάθυγρος. ἔχουσα ποταμοὺς ἐν αὐτῇ, καὶ κροκοδείλους, καὶ ἐχίδνας πλείστας, καὶ σαύρας ὑπερμεγέθεις· ὡς τὸ κρέας τῶν σαύρων ἐσθίουσι. τὸ δὲ λίπος τήκουσι, καὶ ἀντ' ἐλαίου χρῶνται. καρπὸν δὲ οὔτε ἄμπελον οὔτε σιτικὸν, ἡ νῆσος φέρει. οἱ δὲ ἐνοικοῦντες αὐτὴν ὀλίγοι, κατὰ μίαν πλευρὰν τῆς νήσου τῆς πρὸς ἀπαρκτίαν οἰκοῦσι, καθὸ μέρος ἀποβλέπει τὴν ἤπειρον. εἰσὶν δὲ ἐπίξενοι καὶ ἐπίμικτοι, ἀράβων τε καὶ ἰνδῶν, καί τινα μὲν ἑλλήνων τῶν πρὸς ἐργασίαν ἐκπλεόντων. φέρει δὲ ἡ νῆσος χελώνην, τήν τε ἀληθινὴν καὶ χερσαίαν καὶ τὴν λευκήν. πλείστην δὲ διάφορον, καὶ τοῖς ὀστράκοις μείζοσιν. τήν τε ὀρεινὴν, ὑπερμεγέθη, καὶ παχύτατον ὄστρακον ἔχουσαν. οὗ τὰ παρὰ τὴν κοιλίαν μέρη μὲν τὰ ἐγχρήζον-

d τα, το

Sachalites sin.
Thurifera reg.
Syagros pr. orbis maxim.
Dioscuridae insula
ἀληθινὴν ἢ χερσαίαν ἢ τὴν λευκὴν χελώνην
ἐγχρήζοντα

τα, τομὴν οὐκ ἀποδέχεται, καὶ πυῤῥότερα ὄντα. ὁλοτελῶς δὲ τὰ εἰς γλωσσόκομα καὶ πινακίδια καὶ μαγίδια ἐγχρίζοντα, καὶ τοιαύτην τινὰ χρείαν κατατέμνεται. γίνεται δὲ ἐν αὐτῇ καὶ κιννάβαρι, τὸ λεγόμενον ἰνδικὸν, ἀπὸ τῶν δένδρων ὡς δάκρυ συναγόμενον. ὑπόκειται μὲν οὖν ὥσπερ ἡ ἀζανία, χαριβαὴλ, καὶ τῷ μαφαρείτῃ τυράννῳ, καὶ ἡ νῆσος αὐτῷ τῷ βασιλεῖ τῆς λιβανωτοφόρου. συνεχρήσαντο δὲ αὐτῇ καὶ ἀπὸ μούζα τινὲς, καὶ τῶν ἐκπλεόντων διὰ λιμυρικῆς καὶ βαρυγάζων, ὅσοι κατὰ τύχην εἰς αὐτὰς ὑπεβάλλοντο, ὀρύζαν τε καὶ σῖτον καὶ ὀθόνην ἰνδικὸν ἀντικαταλλασσόμενοι, καὶ σώματα θηλυκὰ διὰ σπάνιν ἐκεῖ προχωροῦντα, χελώνην ἀντεφορτίζοντο πλείστην. νῦν δὲ, ὑπὸ τῶν βασιλέων ἡ νῆσος ἐκμεμίσθωται, καὶ παραφυλάσσεται. μετὰ δὲ τὸν σύαγρον, κόλπος ἐστὶν συναφὴς, ὧδε βαθὸς ἐνδύνων εἰς τὴν ἤπειρον ὄμανα. σταδίων ἔχων ἑξακοσίων, τὸ διαπέραμα. καὶ μετ' αὐτὸν ὑψηλὰ ὄρη πετρώδη καὶ ἀπόκοπα ἀνθρώπων ἐν σπηλαίοις κατοικούντων, ὧδε σταδίων ἄλλους πεντακοσίους. καὶ μετ' αὐτοὺς, ὅρμος ἀποδεδειγμένος τοῦ σαχαλίτου λιβάνου πρὸς ἐμβολὴν, μόσχα λιμὴν λεγόμενος. εἰς ὃν ἀπὸ κανὴ, συνήθως πλοῖα πέμπεταί τινα. καὶ παραπλέοντα ἀπὸ λιμυρικῆς ἢ βαρυγάζων, ὀψινοῖς καιροῖς παραχειμάσαντα, παρὰ τῶν βασιλικῶν πρὸς ὀθόνιον καὶ σῖτον καὶ ἔλαιον, λίβανον ἀντιφορτίζουσιν. παρ' ὅλον δὲ τὸν σαχαλίτην χώματι κειμένῳ καὶ ἀφυλάκτῳ, δυνάμει θεῶν τινι, τὸν τόπον τοῦτον τηρούντων. οὔτε γὰρ λάθρα, οὔτε φανερῶς, χωρὶς βασιλικῆς δόσεως εἰς πλοῖον ἐμβληθῆναι δύναται. κᾶν χόνδρον τις ἄρῃ, οὐ δύναται πλεῦσαι τὸ πλοῖον ἀπὸ δαίμονος. δίχα λιμένος, ἐπὶ ἄλλους σταδίους ὡς χιλίους πεντακοσίους, ἕως ἀσίχωνος ἄχρι τῆς γῆς παρατείνει. καὶ κατὰ τὸ ἀπολῆγον αὐτοῦ μέρος, ἑπτὰ νῆσοι πρόκεινται ἤδη τὸ ἑξῆς, αἱ ζηνοβίου λεγόμεναι. μεθ' ἃς ἄλλη παράκειται χώρα βαρβάρων, οὐκ ἔτι τῆς αὐτῆς βασιλείας, ἀλλ' ἤδη τῆς περσίδος. ἣν ἀφ' ὕψους παραπλέοντι ὡς σταδίους δισχιλίους ἀπὸ τῶν ζηνοβίου, συν-

αντᾷ

ἐγχρίζοντα
Cinnabari indicum ab arboribus ut lacryma coactum
Charibael
Mapharitis
Limyrice
Omana Sinus
Moscha portus
Asichó
Zenobij insulae



αντᾷ νῆσος σαραπίδος λεγομένη, ἀπὸ σταδίων τῆς γῆς ὡσεὶ ἑκατὸν εἴκοσι. ταύτης τὸ μὲν πλάτος ἐστὶν, ὡσεὶ σταδίων διακοσίων. οἰκεῖται δὲ κώμαις τρισὶν, καὶ ἀνθρώποις ἱεροῖς ἰχθυοφάγων. γλώσσῃ δὲ ἀραβικῇ χρῶνται, καὶ περιζώμασι φύλλων κουκίνων. ἔχει δὲ ἡ νῆσος, χελώνην ἱκανὴν καὶ διάφορον. ἐξαρτίζουσι δὲ εἰς αὐτὴν συνήθως οἱ ἀπὸ κανῆς, σκάφας καὶ ἐφόλκια. περικολπίζοντι δὲ τὴν ἐχομένην ἤπειρον, εἰς αὐτὴν τὴν ἄρκτον ἤδη περὶ τὴν εἰσβολὴν τῆς περσικῆς θαλάσσης, κεῖνται νῆσοι πλεόμεναι. καλαίου λεγόμεναι νῆσοι. σχεδὸν ὧδε σταδίους δισχιλίους, παρεσταμέναι τῇ χώρᾳ. πονηροὶ δὲ οἱ κατοικοῦντες αὐτὴν ἄνθρωποι, καὶ ἡμέρας οὐ πολύ τι βλέποντες. περὶ δὲ τὴν ἐσχάτην κεφαλὴν τῶν παπίου νήσων, καὶ τὸ λεγόμενον καλὸν ὄρος, ἐκδέχεται μετ' οὐ πολὺ τὸ στόμα τῆς περσικῆς. καὶ πλεῖσται κολυμβήσεις εἰσὶν τοῦ πινικίου κόγχου. τούτου δὲ τοῦ στόματος ἐκ τῶν εὐωνύμων, ἐστὶν ὄρη μέγιστα λεγόμενα σαβώ. ἐκ δὲ τῶν δεξιῶν, ἄντικρυς ἀφορώμενον ἄλλο στρογγύλον ὑψηλόν, τὸ σεμιράμεως λεγόμενον, καὶ μέσος αὐτὸς ὁ διάπλους τοῦ στόματος, ὡς σταδίους ἑξακοσίους. δι' οὗ μέγιστος καὶ πλατύτατος εἰς τοὺς ἐσωτάτους τόπους, ὁ περσικὸς κόλπος ἀναχεῖται. καθ' ὃν ἐν τοῖς ἐσχάτοις αὐτοῦ μέρεσιν, ἐμπορεῖον ἐστὶν νόμιμον, λεγόμενον ἡ ἀπολόγου κειμένη καταπασίνου χώρα, κατὰ ποταμὸν εὐφράτην. παραπλεύσαντι δὲ ὑπὲρ τὸ στόμα τοῦ κόλπου, μετὰ δρόμους ἕξ, ἕτερον ἐμπορεῖόν ἐστιν τῆς περσίδος, ἡ λεγομένη ὄμμανα. ἐξαρτίζεται δὲ εἰς αὐτὴν συνήθως. ἀπὸ μὲν βαρυγάζων εἰς ἀμφότερα ταῦτα τῆς περσίδος ἐμπορεῖα, πλοῖα μεγάλα, χαλκοῦ καὶ ξύλων σαγαλίνων, καὶ δοκῶν καὶ κεράτων καὶ φαλάγγων, σασαμίνων καὶ ἐβενίνων. εἰς δὲ τὴν ὄμμανα, καὶ ἀπὸ κανὴ λίβανος. καὶ ἀπὸ ὀμάνων εἰς τὴν ἀραβίαν, ἐντόπια ῥαπτὰ πλοιάρια τὰ λεγόμενα μαδάρατε. εἰσφέρεται δὲ ἀπὸ ἑκατέρων τῶν ἐμπορείων, εἴς τε βαρύγαζαν καὶ εἰς ἀραβίαν, πινικὸν πολὺ μὲν, χεῖρον δὲ τοῦ ἰνδικοῦ, καὶ πορφύρα, καὶ ἱματισμὸς ἐντόπιος, καὶ οἶνος, καὶ φοῖνιξ πολὺς, καὶ χρυσὸς, καὶ



σώμα

Sarapidis insula
περιζώμασι
Persici sinus
Calaeu insulae
Papiae insulae
Calos mons
πινικίχχου
Sabo mons
Semiramidis mons
Catapasini regio
Ommana
Sagalino
μαδάραθε
Os sinus persici
Apologo

Sagalino
πινικόν

σώματα. μετὰ δὲ τὴν ὀμανιτικὴν χώραν ὁμοίως, ἡ παρ᾽ ὁδὸν
παράκειται βασιλείας ἑτέρας καὶ κόλπος τῶν τεραβδῶν λε-
γόμενος. ὃ κατὰ μέσον εἰς τὸν κόλπον παρανατείνει. καὶ παρ᾽
αὐτὸν, ποταμὸς ἐστὶν ἔχων εἰσαγωγὴν πλοίοις. καὶ μικρὸν ἐπὶ τοῦ
στόματος ἐμπορεῖον, ὡραία λεγόμενον. καὶ κατ᾽ αὐτὸν, μεσόγειος
πόλις, ἔχουσα ὁδὸν ἡμερῶν ἑπτὰ ἀπὸ θαλάσσης. ἐν ᾗ καὶ βασι-
λεία ἡ λεγομένη. φέρει δὲ ἡ χώρα σῖτον πολὺν, καὶ οἶνον, καὶ ὄρυ-
ζαν καὶ φοίνικα. περὶ δὲ τὴν ἤπειρον οὐδὲν ἕτερον, ἡ βδέλλα.
μετὰ δὲ ταύτην τὴν χώραν, ἤδη τῆς ἠπείρου διὰ τὸ βάθος τῶν
κόλπων ἐκ τῆς ἀνατολῆς ὑπερκερώσης, ἐκδέχεται παραθαλάσ-
σια μέρη τῆς σκυθίας. παρ᾽ αὐτὸν κείμενα τὸν βορέαν ταπεινὰ
λίαν. ἐξ ὧν ποταμὸς σίνθος, μέγιστος τῶν κατὰ τὴν ἐρυθρὰν θά-
λασσαν ποταμῶν. καὶ πλεῖστον ὕδωρ εἰς θάλασσαν ἐκβάλλων,
ὥστε ἄχει πολλοῦ καὶ πρὶν ἢ συμβάλῃ τῇ χώρᾳ, εἰς τὸ πέλα-
γος ἀπαντᾶν ἀπ᾽ αὐτοῦ λευκὸν ὕδωρ. σημεῖον δὲ, ἤδη τῆς περὶ
αὐτὴν χώραν ἐπιβολῆς, τοῖς ἐκ πελάγους ἐρχομένοις, οἱ προσα-
παντῶντες ὄφεις ἐκ τοῦ βάθους. τῶν γὰρ ἐπάνω καὶ περὶ τὴν
περσίδα τόπων σημεῖον ἐστὶν αἱ λεγόμεναι γράαι. ἑπτὰ δὲ οὗ-
τος ὁ ποταμὸς ἔχει στόματα. λεπτὰ δὲ ταῦτα, καὶ τεναγώδη.
καὶ τὰ μὲν ἄλλα, διάπλουν οὐκ ἔχει. μόνον δὲ τὸ μέσον, ἐφ᾽ οὗ
καὶ τὸ παραθαλάσσιον ἐμπορεῖον ἐστὶν βαρβαρικόν. πρόκειται
δὲ αὐτοῦ, νησίον μικρόν. καὶ κατὰ νώτου μεσόγειος, ἡ μητρόπο-
λις αὐτῆς τῆς σκυθίας μινναγάρ. βασιλεύεται δὲ ὑπὸ πάρθων,
συνεχῶς ἀλλήλους ἐκδιωκόντων. τὰ μὲν οὖν πλοῖα, κατὰ τὴν
βαρβαρικὴν διορμίζονται. τὰ δὲ φορτία πάντα, εἰς τὴν μητρό-
πολιν ἀναφέρεται διὰ τοῦ ποταμοῦ τῷ βασιλεῖ. προχωρεῖ δὲ εἰς
τὸ ἐμπορεῖον, ἱματισμὸς ἁπλοῦς ἱκανὸς, καὶ νόθος, οὐ πολύς. πο-
λύμιτα, καὶ χρυσόλιθον, καὶ κοράλλιον, καὶ στύραξ, καὶ λίβανος,
καὶ ὑαλᾶ σκεύη, καὶ ἀργυρώματα, καὶ χρῆμα. οἶνος δὲ, οὐ πολύς.
ἀντιφορτίζεται δὲ, κόστος, βδέλλα, λύκιον, νάρδος, καὶ καλλεα-
νὸς λίθος, καὶ σάπφειρος, καὶ σηρικὰ δέρματα, καὶ ὀθόνιον, καὶ
νῆμα

Terabdō sinus
Horæa emporiū
Scythia
Sinthus fl.
Grææ
Minnagar metropolis
Polympa merx
βδέλλα
Lyciū
Nardus
Calleanus lapis
Sapphirus



νῆμα σηρικὸν, καὶ ἰνδικὸν μέλαν. ἄγονται δὲ καὶ αὐτοὶ οἱ πλέον-
τες μετὰ τῶν ἰνδικῶν, περὶ τὸν ἰούλιον μῆνα. ὅς ἐστιν ἐπιφί. δυ-
σεπίβολος μὲν, ἐπιφορώτατος δὲ ἐκείνων καὶ συντομώτερος
ὁ πλοῦς. μετὰ δὲ τὸν σίνθον ποταμὸν, ἕτερός ἐστιν κόλπος ἀθεώ-
ρητος παρὰ τὸν βορέαν. ὀνομάζεται δὲ εἰρινόν. ἐπιλέγεται δὲ ὃ
μὲν μικρὸν, ὃ δὲ μέγα. πελάγη δὲ ἐστὶν ἀμφότερα τεναγώδη,
καὶ δίνας ἐλαφρὰς ἔχοντα καὶ συνεχεῖς, καὶ μακρὰς ἀπὸ τῆς γῆς.
ὡς πολλάκις τῆς ἠπείρου μηδὲ βλεπομένης, ἐποκέλλειν τὰ πλοῖα.
ἐνδότερω δὲ περιληφθέντα, καὶ ἀπολλύμενα. τούτου δὲ ὑπέρκει-
ται τοῦ κόλπου, ἀκρωτήριον ἐπικαμπὲς ἀπὸ τοῦ ὅρμου, μετὰ τὴν ἀ-
νατολὴν καὶ τὸν νότον, ὡς εἰς τὴν δύσιν, ἐμπεριλαμβάνων αὐ-
τὸν τὸν κόλπον, λεγόμενος βαράκης, νήσους ἑπτὰ ἐμπεριειλημ-
μένος. ὃ περὶ μὲν τὰς ἀρχὰς οἱ περιπεσόντες, ὀλίγον ὀπίσω καὶ
εἰς τὸ πέλαγος ἀναδραμόντες, ἐκφεύγουσιν. οἱ δὲ εἰς αὐτὴν κα-
τακλεισθέντες τὴν τοῦ βαράκου κοιλίαν, ἀπόλλυνται. τό, τε γὰρ
κῦμα, μέγα καὶ βαρὺ λίαν. ἡ δὲ θάλασσα, ταραχώδης, καὶ θολε-
ρὰ, καὶ δίνας ἔχουσα, καὶ ῥοώδεις εἰλίγγους. ὁ δὲ βυθὸς, ἐν τισὶ μὲν
ἀπόκοπος, ἐν τισὶν δὲ πετρώδης καὶ ἀπόξυρος, ὥστε τέμνε-
σθαι τὰς παρακειμένας ἀγκύρας, ἀντέχειν ἀποκοπτομένας. ἃς δὲ
καὶ συντριβομένας ἐν τῷ βυθῷ. σημεῖον δ᾽ αὐτοῖς τοῖς ἀπὸ πε-
λάγους ἐρχομένοις, οἱ προσαπαντῶντες ὄφεις ὑπερμεγέθεις καὶ
μέλανες. ἐν γὰρ τοῖς μετὰ ταῦτα τόποις, καὶ τοῖς περὶ βαρύγα-
ζαν, μικρότεροι καὶ τῷ χρώματι χλωροὶ καὶ χρυσίζοντες ὑπαν-
τῶσι. μετὰ δὲ τὸν βαράκην, εὐθύς ἐστιν ὁ βαρυγαζῶν κόλπος.
καὶ ἡ πρὸς τῆς ἀραβικῆς χώρας τῆς μαμβάρου βασιλείας ἀρχὴ,
καὶ τῆς ὅλης ἰνδικῆς οὖσα. ταύτης, τὰ μὲν μεσόγεια τῆς σκυθί-
ας, συνορίζοντα ἰβηρία. καλεῖται δὲ τὰ παραθαλάσσια, συρα-
στρήνη. πολύφορος δὲ ἡ χώρα, σίτου, καὶ ὀρύζης, καὶ ἐλαίου σησα-
μίνου, καὶ βουτύρου, καὶ καρπάσου, καὶ τῶν ἐξ αὐτῆς ἰνδικῶν ὀ-
θονίων τῶν χυδαίων. βουκόλια δὲ ἐν αὐτῇ πλεῖστα, καὶ ἄνδρες
ὑπερμεγέθεις τῷ σώματι, καὶ μέλανες τῇ χροιᾷ. μητρόπολις δὲ

Irinō sinus
Baraces
Barygazō sinus
Iberia
Syrastrene

τῆς χώρας, μινναγάρα. ἀφ' ἧς καὶ πλεῖστον ὀθόνιον, εἰς Βαρύγαζαν κατάγεται. σώζεται δὲ ἔτι καὶ νῦν τῆς ἀλεξάνδρου στρατιᾶς σημεῖα, περὶ τοὺς τόπους, ἱερά τε ἀρχαῖα, καὶ θεμέλιοι παρεμβολῶν, καὶ φρέατα μέγιστα. ὁ δὲ παράπλους ταύτης τῆς χώρας ἀπὸ τοῦ Βαρβαρικοῦ, μέχρι τοῦ κατὰ ἄστα καὶ τραπέραν Βαρυγάζων ἀκρωτηρίου τῆς λεγομένης παπικῆς. ἔστιν δὲ σταδίων τρισχιλίων. μεθ' ἣν, ἕτερός ἐστι κόλπος ἔσω κυματώδης, εἰς αὐτὸν φέρων πρὸς βορέαν. οὗ κατὰ μὲν τὸ στόμα, νῆσός ἐστιν ἡ λεγομένη Βαιώνης. ἐν δὲ τοῖς ἐσωτάτοις τόποις, μέγιστος ποταμὸς, ὁ λεγόμενος μάϊς. τοῦτον τὸν κόλπον, τὸ πέλαγος ὡς σταδίων τριακοσίων οἱ πλέοντες εἰς Βαρύγαζαν διαπερῶνται, ἐξ εὐωνύμου ἀκροφανῆ καταλιπόντες τὴν νῆσον, καὶ εἰς αὐτὴν ἀνατολὴν ἐπ' αὐτὸ τὸ στόμα τοῦ ποταμοῦ Βαρυγάζων. λέγεται δὲ αὐτὸς ὁ ποταμὸς, λαμναῖος. ὅ, τε κόλπος αὐτὸς ὁ κατὰ Βαρύγαζαν στενὸς ὢν, τοῖς ἐκ πελάγους ἐρχομένοις ἐστὶν δυσεπίβολος. ἢ γὰρ εἰς τὰ δεξιά, ἢ εἰς τὰ εὐώνυμα παραπίπτουσιν. ἥ τε ἐπιβολή, κρεῖσσον ἐστὶν τῆς ἑτέρας. ἀλλ' ἐκ μὲν τῶν δεξιῶν κατ' αὐτὸ τὸ στόμα τοῦ κόλπου, παράκειται ταινία τραχεῖα καὶ διάσπιλος, ἡρώνη λεγομένη, κατὰ καμμονὶ κώμην. ἐκ δὲ τῶν εὐωνύμων ἀντιγόνατι ταύτης, τὸ πρὸ ἀστακάμπρων ἀκρωτήριον, ἡ παπικὴ λεγομένη δύσορμος οὖσα, διά τε τὸν ῥοῦν τὸν περὶ αὐτὴν, καὶ διὰ τὸ ἀποκόπτειν τὰς ἀγκύρας, τραχὺν ὄντα καὶ πετρώδη τὸν βυθόν. κἂν κατ' αὐτὸν δέ τις ἐπιβάλῃ τὸν κόλπον, αὐτὸ τὸ στόμα τοῦ κατὰ Βαρύγαζαν ποταμοῦ δυσεύρετόν ἐστιν. διὰ τὸ τὴν χώραν ταπεινὴν εἶναι, καὶ μηδὲν ἐγγύτερον ἐνεχύρως θεωρεῖσθαι. κἂν εὑρεθῇ δυσείσβολός ἐστιν, διὰ τὰ περὶ αὐτὸν τενάγη τοῦ ποταμοῦ. τούτου χάριν περὶ αὐτὸν τὸν εἴσπλουν βασιλικοὶ ἁλιεῖς ἐντόπιοι, πληρώμασιν μακρῶν πλοίων ἃ λέγεται τράππαγα καὶ κότυμβα, πρὸς ἀπάντησιν ἐξέρχονται μέχρι τῆς συραστρήνης, ἀφ' ὧν ὁδηγεῖται τὰ πλοῖα μέχρι Βαρυγάζων. κλίνουσιν γὰρ εὐθὺς ἀπὸ τοῦ στόματος τοῦ κόλπου διὰ τὰ τενάγη, τοῖς πληρώμασιν. καὶ ῥυμουλκοῦσιν

αὐτὰ

Minnagara
Alexader magnus
Asta
Katasta [?]
Trapera
Papiae
Baeones insula
Mais fl.
Lamnaeus fl.
Herone
Cammoni
Astacampro. prom.
Asta
Campro promo.
Papice
Τράπαγα
κότυμβα
Syrastrine
ῥυμουλκοῦσιν. Remulco trahũt

παρεμβολῶν
ἐπιβολή



αὐτὰ, σταθμοῖς ἤδη τεταγμένοις, ἀρχομένης μὲν τῆς πλήμμης αἴροντες, ἱσταμένης δὲ διορμίζοντες, κατά τινας ὅρμους καὶ κυθρίνους. οἱ δὲ κυθρῖνοι, τόποι εἰσὶν τοῦ ποταμοῦ βαθύτεροι, μέχρι Βαρυγάζων. ἀπέχει γὰρ ἀπὸ τοῦ στόματος ἄνω παρὰ ποταμὸν κειμένη, ὡς σταδίων τριακοσίων. πᾶσα μὲν ἡ ἰνδικὴ χώρα, ποταμοὺς ἔχει πλείστους. ἀμπώτεις τε καὶ πλήμας μεγίστας, συναπτομένας ὑπὸ τὴν ἀνατολὴν καὶ τὴν πανσέληνον, ἄχρι τριῶν ἡμερῶν, καὶ τοῖς μεταξὺ καταστήμασιν τῆς σελήνης ἐλασσουμένας. πολὺ δὲ μᾶλλον, ἡ κατὰ Βαρυγάζων, ὥστε αἰφνίδιον τόν τε βυθὸν ὁρᾶσθαι, καί τινα μέρη τῆς ἠπείρου. ποτὲ δὲ ξηρά, τὰ πρὸ μικροῦ πλοϊζόμενα. τούς τε ποταμοὺς, ὑπὸ τὴν εἰσβολὴν τῆς πλήμμης τοῦ πελάγους ὅλου συνωθουμένου, σφοδρότερον ἄνω φέρεσθαι τοῦ κατὰ φύσιν ῥεύματος ἐπὶ πλείστους σταδίους. διὸ καὶ κινδυνώδεις εἰσὶν αἱ τῶν πλοίων προσαγωγαὶ καὶ ἐξαγωγαί, τοῖς ἀπείροις καὶ πρώτως εἰσάγουσιν εἰς τὸ ἐμπορεῖον. γινομένης γὰρ ὁρμῆς ἤδη περὶ τὴν πλήμην, οὐδὲ παρακειμένης αἱ κατέχουσιν ἄγκυραι. διὸ καὶ τὰ προληφθέντα πλοῖα τῇ ἰνδίᾳ, πλαγιασθέντα ὑπὸ τῆς ὀξύτητος τοῦ ῥοός, ἐποκέλλει τοῖς τενάγεσι καὶ ἀνακλᾶται. τὰ δὲ μικρότερα, καὶ περιτρέπεται. τινὰ δὲ καὶ περὶ τὰς διώρυγας ἀποκεκλικότα διὰ τὸ περὶ τὴν ἄμπωτιν, ὅτ' ἂν μὴ διερισθῇ, τῆς πλήμμης αἰφνίδιον ἀπελθούσης, ὑπὸ τῆς πρώτης κεφαλῆς τοῦ ῥοὸς ἐμπίμπλαται. τοσαῦται γὰρ περὶ τὴν εἰσβολὴν τῆς θαλάσσης γίνονται βίαι κατὰ τὰς συμμηνίας, ὑπὸ τὴν νυκτερινὴν μάλιστα πλήμην, ὥστε ἀρχομένης ἤδη τῆς εἰσαγωγῆς ὅτ' ἂν ἠρεμῇ τὸ πέλαγος ὑπὸ αὐτοῦ φέρεσθαι τοῖς ἀπὸ τοῦ στόματος, παραπλήσιον βοῆς στρατοπέδου μακρόθεν ἀκουομένης. καὶ μετ' ὀλίγον, αὐτὴν ἐπιτρέχειν τοῖς τενάγεσι ῥοίζῳ τὴν θάλασσαν. ἐπίκειται γὰρ κατὰ τὰ τῇ Βαρυγάζῃ μεσόγεια, πλείονα ἔθνη, ἥ τε τῶν ἀρατρίων, καὶ ῥαχούσων, καὶ ταυθαράγων, καὶ τῆς προκλίδος. ἐν οἷς, ἡ Βουκέφαλος ἀλεξάνδρεια. καὶ τούτων

ἐπά

πλήμμης
Cythrini
ἀμπώτεις
πλήμας
προσαγωγαί
ἐξαγωγαί
Aratrij
Rhacusi
Tantharagi
Proclis
Alexandria bucephalos

ἐπὶ ἄνω μαχιμώτατον ἔθνος, Βακτριανῶν, ὑπὸ βασιλέα οὖσαν ἴδιον τόπον. καὶ ἀλέξανδρος ὁρμηθεὶς ἀπὸ τῶν μερῶν τούτων, ἄχρι τοῦ γάγγου διῆλθε καταλιπὼν τήν τε λιμυρικὴν, καὶ τὰ νότια τῆς ἰνδικῆς. ἀφ' οὗ μέχρι νῦν ἐν Βαρυγάζοις, παλαιαὶ προχωροῦσιν δραχμαὶ, γράμμασιν ἑλληνικοῖς ἐγκεχαραγμέναι, ἐπίσημα τῶν μετὰ ἀλέξανδρον βεβασιλευκότων ἀπολλοδότου καὶ μενάνδρου. ἔστι δὲ αὐτῆς καὶ ἐξ ἀνατολῆς πόλις, λεγομένη ὀζήνη, ἐν ᾗ καὶ τὰ βασίλεια πρότερον ἦν. ἀφ' ἧς πάντα τὰ πρὸς εὐθηνίαν τῆς χώρας, εἰς Βαρύγαζαν καταφέρεται, καὶ τὰ πρὸς ἐμπορίαν τὴν ἡμετέραν, ὀνυχίνη λιθία, καὶ μουρρίνη, καὶ σινδόνες ἰνδικαὶ, καὶ μολόχιναι, καὶ ἱκανὸν χυδαῖον ὀθόνιον. κατάγεται δὲ δι' αὐτῆς καὶ ἀπὸ τῶν ἄνω τόπων, ἡ διὰ προκλαίδος καταφερομένη νάρδος, ἡ καττυβουρίνη, καὶ ἡ πατροπαπίγη, καὶ ἡ καβαλίτη, καὶ ἡ διὰ τῆς παρακειμένης σκυθίας. ὅ τε κόστος, καὶ ἡ βδέλλα. προχωρεῖ δὲ εἰς τὸ ἐμπόριον, οἶνος προηγουμένως ἰταλικὸς, καὶ λαοδικηνὸς, καὶ ἀραβικὸς, καὶ χαλκὸς, καὶ κασσίτερος, καὶ μόλυβος, κοράλλιον, καὶ χρυσόλιθον. ἱματισμὸς ἁπλοῦς, καὶ νόθος παντοῖος. πολύμιτοι ζῶναι πηχυαῖαι, στύραξ, μελίλωτον, ὕελος ἀργὴ, σανδαράκη, στῖμι, δηνάριον χρυσοῦν καὶ ἀργυροῦν, ἔχον ἀλλαγὴν καὶ ἐπικέρδειάν τινα, πρὸς τὸ ἐντόπιον νόμισμα. μύρον οὐ βαρύτιμον, οὐ δὲ πολύ. τῷ δὲ βασιλεῖ κατ' ἐκείνους τοὺς καιροὺς εἰσφερόμενα, βαρύτιμα ἀργυρώματα, καὶ μουσικὰ, καὶ παρθένοι εὐειδεῖς, πρὸς παλλακίαν, καὶ διάφορος οἶνος, καὶ ἱματισμὸς ἁπλοῦς, πολυτελὴς, καὶ μύρον ἔξοχον. φέρεται δὲ ἀπὸ τῶν τόπων, νάρδος, κόστος, βδέλλα, ἐλέφας, ὀνυχίνη λιθία, καὶ σμύρνα, καὶ λύκιον, καὶ ὀθόνιον παντοῖον, καὶ σηρικὸν, καὶ μολόχινον, καὶ νῆμα, καὶ πέπερι μακρὸν, καὶ τὰ ἀπὸ τῶν ἐμπορίων φερόμενα. ἀποπλέουσιν δὲ κατὰ καιρὸν οἱ ἀπὸ τῆς αἰγύπτου εἰς τὸ ἐμπόριον ἀναγόμενοι, περὶ τὸν ἰούλιον μῆνα, ὅ ἐστιν ἐπιφί. μετὰ δὲ Βαρύγαζαν, εὐθέως, ἡ συναφὴς ἤπειρος ἐκ τοῦ βορέου, εἰς τὸν νότον παρεκτείνει. διὸ καὶ δαχιναβάδης καλεῖται.

Bactriani
Limyrice
Apollodot
Menader
Ozene
Ἀθηνια
Murrhinus lapis
Onyx lapis
Molochinae sind.
Nardus
Cattyburine
Patropapige
Cabalite
ὕελος ἀργή
στῆμι
Dachinabades regio



καλεῖται ἡ χώρα. δάχανος γὰρ καλεῖται ὁ νότος, τῇ αὐτῶν γλώσσῃ. ταύτης, ἡ μὲν ὑπερκειμένη πρὸς ἀνατολὰς μεσόγειος, ἐμπεριέχει χώρας τε πολλὰς, καὶ ἐρήμους, καὶ ὄρη μεγάλα, καὶ θηρίων γένη παντοίων. παρδάλεις τε καὶ τίγρεις, καὶ ἐλέφαντας, καὶ δράκοντας ὑπερμεγέθεις, καὶ κροκόττας, καὶ κυνοκεφάλων πλεῖστα γένη. ἔθνη τε πλεῖστα καὶ πολυάνθρωπα, τὰ μέχρι τοῦ συνέγγυς. τῶν δὲ ἐν αὐτῇ τῇ δαχιναβάδει, δύο ἐστὶ τὰ διασημότατα ἐμπόρια ὑποφαινόμενα ἀπὸ Βαρυγάζων. ἔχοντα ὁδὸν ἡμερῶν εἴκοσι πρὸς νότον. ἀπὸ ταύτης ὡς ἡμερῶν δέκα, πρὸς ἀνατολὴν ἑτέρα πόλις ταγάρα μεγίστη. κατάγεται δὲ ἐξ αὐτῶν πορείαις ἁμαξῶν καὶ ἀνοδίαις μεγίσταις, εἰς τὴν Βαρύγαζαν. ἀπὸ μὲν πλιθάνων, ὀνυχίνη λιθία πλείστη. ἀπὸ δὲ ταγάρων, ὀθόνιον πολὺ χυδαῖον, καὶ σινδόνων παντοῖα, καὶ μολόχινα, καί τινα ἄλλα τοπικῶς ἐκεῖ προχωροῦντα φορτία, τῶν παραθαλασσίων μερῶν. ὁ δ' ὅλος παράπλους, μέχρι τῆς λιμυρικῆς, ἐστὶν σταδίων ἑπτακισχιλίων. πλεῖστοι δὲ, εἰς αἰγιαλόν. τοπικὰ δὲ ἐμπόρια κατὰ τὸ ἑξῆς κείμενα, ἀκαβαροὺς, ὕππαρα, καλλίενα πόλις, ἡ ἐπὶ τῶν σαραγάνου τοῦ πρεσβυτέρου χρόνων ἐμπόριον ἔνθεσμον γενόμενον. μετὰ γὰρ τὸ κατασχεῖν αὐτὸν σανδάνην, ἐκωλύθη ἐπὶ πολύ. καὶ γὰρ τὰ ἐκ τύχης, εἰς τούτους τοὺς τόπους εἰσβάλλοντα πλοῖα ἑλληνικὰ, μετὰ φυλακῆς εἰς Βαρύγαζαν εἰσάγεται. μετὰ δὲ καλλίεναν, ἄλλα ἐμπόρια τοπικά, σήμυλλα, καὶ μανδαγόρα, καὶ παλαιπάτμαι, καὶ μελιζειγάρα, καὶ Βυζαντίων τοπαρόν, καὶ τύραννος Βόας. εἶτα, σησεκρειέναι λεγόμεναι νῆσοι, καὶ ἡ τῶν αἰγιδίων, καὶ ἡ τῶν καινειτῶν, κατὰ τὴν λεγομένην χερσόνησον. καθ' οὓς τόπους, εἰσὶν πειραταί. καὶ μετὰ ταύτην, λευκὴ νῆσος. εἶτα, ναούρα, καὶ τύνδις, τὰ πρῶτα ἐμπόρια τῆς λιμυρικῆς. καὶ μετὰ ταύτας, μουζιρὶς, καὶ νελκύνδα, αἱ νῦν πράσσουσαι. βασιλείας ἐστὶν, ἡ μὲν τύνδις κηπροβότου, κώμη παραθαλάσσιος ἔνσημος. ἡ δὲ μούζιρις, βασιλείας μὲν τῆς αὐτῆς, ἀκμάζουσα δὲ τοῖς ἀπὸ τῆς ἀριακῆς εἰς αὐτὴν ἐρχομένοις πλοίοις καὶ



Crocottae
Cynocephali
Tagara
Plithana
Acabarus
Upara
Calliena .V.
Semylla
Mandagora
Palaepatmae
Melizigara
Byzantio
Sesecrienae insu.
Aegidio
Caenito } ins
Leuce ins.
Naura
Tyndis
Muziris
Nelcinda

τοῖς ἑλληνικοῖς. κεῖται δὲ, παρὰ ποταμόν. ἀπέχουσα ἀπὸ μὲν
τυνδέως διὰ τοῦ ποταμοῦ καὶ διὰ θαλάσσης, σταδίους πεντακο-
σίους. ἀπὸ δὲ τοῦ κατ' αὐτὴν, εἴκοσι. ἡ δὲ νελκύνδα, σταδίους μὲν
ἀπὸ μουζιρέως ἀπέχει, σχεδὸν πεντακοσίους ὁμοίως. διά τε

Mundiris

ποταμοῦ, καὶ πεζῇ, καὶ διὰ θαλάσσης. βασιλείας δέ ἐστιν ἑτέ-
ρας, τῆς πανδίονος. κεῖται δὲ καὶ αὐτὴ παρὰ ποταμὸν, ὡσεὶ ἀπὸ
σταδίων ἑκατὸν εἴκοσι τῆς θαλάσσης. ἑτέρα δὲ κατ' αὐτὸ τὸ στόμα
τοῦ ποταμοῦ, πρόκειται κώμη βαραρὴ, εἰς ἣν ἀπὸ νελκύνδων ἐπὶ

Barare

τῆς ἀναγωγῆς προκαταβαίνουσι τὰ πλοῖα. ἐπὶ σάλῳ διορμίζε-
ται, πρὸς ἀνάληψιν τῶν φορτίων. διὰ δὲ τὸν ποταμὸν, ἕρματα
καὶ διάπλους ἔχει ἐλαφρούς. αὐτοὶ δὲ οἱ βασιλεῖς ἀμφοτέρων
τῶν ἐμπορίων, ἐν τῇ μεσογαίῳ κατοικοῦσιν. καὶ περὶ τούσδε τοὺς
τόπους, τοῖς ἐκ πελάγους σημείοις ἐπὶ βολῆς εἰσιν, οἱ προαπαν-
τῶντες ὄφεις. μέλανες μὲν καὶ αὐτοὶ τὴν χρόαν, βραχύτεροι δὲ
καὶ δρακοντοειδεῖς τὴν κεφαλὴν. καὶ τοῖς ὄμμασιν, αἱματώ-
δεις. πλεῖ δὲ εἰς τὰ ἐμπορία ταῦτα μεστὰ πλοῖα, διὰ τὸν ὄγκον
καὶ τὸ πλῆθος τοῦ πιπέρεως καὶ τοῦ μαλαβάθρου. προχωρεῖ δὲ
εἰς αὐτὴν προηγουμένως δὲ, χρήματα πλεῖστα, χρυσόλιθα, ἱματισ-
μὸς ἁπλοῦς οὐ πολὺς, πολύμιτα, στίμι, κοράλλιον, τέλος ἀργη-
χαλκὸς, κασσίτερος, μόλιβος. οἶνος δὲ οὐ πολύς. σῶζει δὲ τοσοῦ-
τον, ὅσον ἐν βαρυγάζοις. σανδαράκη, ἀρσενικόν. σῖτος δὲ, ὅσος
ἀρκέσει τοῖς περὶ τὸ ναυκλήριον, διὰ τὸ μὴ τοὺς ἐμπόρους αὐτῷ
χρῆσθαι. φέρεται δὲ πέπερι, μονογενῶς ἐν ἑνὶ τόπῳ, τούτων τῶν ἐμ-
πορίων γεννώμενον, πολύ. λεγομένη κοτταναρική. φέρεται δὲ καὶ

Cottanarice

μαργαρίτης ἱκανὸς καὶ διάφορος, καὶ ἐλέφας, καὶ ὀθόνια σηρι-
κά, καὶ νάρδος ἡ γαπανική, καὶ μαλάβαθρον ἐκ τῶν ἔσω τό-
πων, εἰς αὐτὴν, καὶ λιθία διαφανὴς παντοία, καὶ ἀδάμας, καὶ
ὑάκινθος, καὶ χελώνη, ἥ τε χρυσονησιωτική, καὶ ἡ περὶ τὰς νή-

Nardus gapanica

σους θηρευομένη, τὰς προκειμένας αὐτῆς τῆς λιμυρικῆς. πλέουσι
δὲ εἰς αὐτὴν, οἱ κατὰ καιρὸν ἀναγόμενοι ἀπὸ αἰγύπτου, περὶ τὸν
ἰούλιον μῆνα, ὅ ἐστιν ἐπιφί. τὸν δὲ ὅλον τὸν εἰρημένον περί-
πλουν

χρυσονησιωτική χελώνη

// ὕελος ἀργή



πλουν ἀπὸ κανῆς, καὶ τῆς εὐδαίμονος ἀραβίας, οἱ μὲν μικροτέ-
ροις πλοίοις περικολπίζοντες, ἔπλεον. πρῶτος δὲ ἵππαλος

Hippalus

κυβερνήτης, κατανοήσας τὴν θέσιν τῶν ἐμπορίων, καὶ τὸ σχῆμα
τῆς θαλάσσης, τὸν διὰ πελάγους ἐξεῦρε πλοῦν. ἀφ' οὗ καὶ τοπι-
κῶς ἐκ τοῦ ὠκεανοῦ φυσώντων τῶν κατὰ καιρὸν τῶν παρ' ἡμῖν ἐτη-
σίων, ἐν τῷ ἰνδικῷ πελάγει λιβόνοτος φαίνεται. προσονομάζε-
ται δὲ ἀπὸ τῆς προσηγορίας, τοῦ πρώτως ἐξευρηκότος τὸν διά-
πλουν. ἀφ' οὗ μέχρι καὶ νῦν, τινὲς μὲν, εὐθὺς ἀπὸ κανή, τινὲς δὲ
ἀπὸ τῶν ἀρωμάτων ἀφιέντες, οἱ μὲν εἰς λιμυρικὴν πλέοντες, ἐπὶ
πλεῖον τραχηλίζοντες· οἱ δὲ, εἰς βαρύγαζαν· οἱ δὲ εἰς σκυθίαν, οὐ
πλεῖον ἢ τρεῖς ἡμέρας ἀντέχουσι. καὶ τὸ λοιπὸν παρεπιφόρον
πρὸς ἴδιον δρόμον, ἐκ τῆς χώρας ὑψηλοὶ διὰ τῆς ἔξωθεν γῆς, παρα-
πλέουσι τοὺς προειρημένους κόλπους. ἀπὸ ἐλαβακαρὴ τὸ λεγό-

Elabacare

μενον πυῤῥὸν ὄρος, ἄλλη παρήκει χώρα τι      κης ἡ

Pyrrhos mons

παραλία λεγομένη, πρὸς αὐτὸν τὸν νότον. ἐν ᾗ καὶ κολύμβησίς

Paradia

ἐστιν ὑπὸ τὸν βασιλέα πανδίονα, πινικοῦ. καὶ πόλις, ἡ λεγομέ-
νη κόλχοι. πρῶτος τόπος, βαλίτα καλούμενος. ὅρμον καλὸν

Colchi. V.

Balita

ἔχων, καὶ κώμην παραθαλάσσιον. ἀπὸ δὲ ταύτης, ἐστὶν ἕτερος τό-
πος ὁ κομὰρ λεγόμενος. ἐν ᾧ τόπῳ βελάειον ἐστὶ, καὶ λιμήν.

Comar

Βελάει)

εἰς ὃν οἱ βουλόμενοι τὸν μέλλοντα αὐτοῖς χρόνον ἱεροὶ γενέσθαι,
χῆροι μένουσιν αὐτοῦ, ἐκεῖ ἐρχόμενοι ἀπολούονται. τὸ δ' αὐτὸ, καὶ
γυναῖκες. ἱστορεῖται γὰρ τὴν θεὸν ἐκεῖ ἐπὶ μῆνας, κατά τινα χρό-
νον ἐκεῖ ἀπολελοῦσθαι. ἀπὸ δὲ τοῦ κομαρεὶ ἐκτείνουσα χώρα μέχρι
κόλχων, ἐν ᾗ κολύμβησις τοῦ πινικοῦ ἐστιν. ἀπὸ δὲ κατακρισίμων
κατεργάζεται. πρὸς τὸν νότον, ὑπὸ τὸν βασιλέα πανδίονά ἐστιν.
μετὰ δὲ κόλχους, ἐκδέχεται πρότερος αἰγιαλὸς ἐν κόλπῳ κεί-
μενος, ἔχων χώραν μεσόγειον λεγόμενον ἀργάλου. ἐν ἑνὶ τόπῳ

Argali regio

περονεῖται παρ' αὐτὴν τῆς ἠπιοδώρου συλλεγόμενον πινικόν. φέ-
ρονται γὰρ ἐξ αὐτῆς σινδόνες, ἐβαργαρείτιδες λεγόμεναι. τῶν δὲ
καὶ τούτων ἐμπορίων τε καὶ ὅρμων, εἰς οὓς οἵ τε ἀπὸ τῆς λιμυρικῆς
καὶ ἀπὸ ἄρκτου πλέοντες κατάγονται, ἐπισημότερα καὶ κατὰ τὸ

ἑξῆς κείμενα ἐστὶν ἐμπόρια, καμάρα, καὶ ποδούκη, καὶ σωπάτμα. ἐν οἷς τοπικὰ μέν ἐστι πλοῖα, μέχρι λιμυρικῆς παραλεγόμενα τὴν γῆν. ἕτερα δ' ἐκ μονοξύλων πλοίων μεγίστων, ἀφ' ἧς ἐζυγωμένων, λεγόμενα σάγγαρα. τὰ δὲ εἰς τὴν χρυσῆν καὶ εἰς τὸν γάγγην διαίροντα, κολανδιόφωντα τὰ μέγιστα. προχωρεῖ δὲ εἰς τοὺς τόπους τούτους, πάντα τὰ εἰς τὴν λιμυρικὴν ἐργαζόμενα, καὶ σχεδὸν εἰς αὐτοὺς καταντᾷ. τὸ δὲ χρῆμα τὸ ἀπ' αἰγύπτου φερόμενον τῷ παντὶ χρόνῳ, κατὰ πλεῖστα γένη πάντων τῶν ἀπὸ λιμυρικῆς φερομένων, διὰ ταύτης τῆς παραλίας ἐπιχορηγουμένων. περὶ δὲ τῶν μετ' αὐτὴν χωρῶν ἤδη πρὸς ἀνατολὴν τοῦ πλοὸς ἀπονεύοντος, εἰς πέλαγος ἔκκειται πρὸς αὐτὴν τὴν δύσιν, νῆσος λεγομένη πάλαι σιμουνδου. παρὰ δὲ τοῖς ἀρχαίοις αὐτῶν ταπροβάνη. ταύτης τὰ μὲν πρὸς βορέαν, ἐστὶν ἥμερα, καὶ διαπλεῖται τοῖς εἰς τὸν πλιονακισῖνει. καὶ σχεδὸν εἰς τὸ κατ' αὐτῆς ἀντιπαρακείμενον ἀζανίας παρήκει. γίνεται δὲ ἐν αὐτῇ πινικόν, καὶ λιθία διαφανής, καὶ σινδόνες, καὶ χελῶναι. περὶ δὲ τούτους τοὺς τόπους, πολὺ τῆς μεσογείου παρήκουσα, μασαλία παράκειται χώρα. γίνονται ἐν αὐτῇ σινδόνες πλεῖσται. ἀπὸ δὲ ταύτης, εἰς αὐτὴν τὴν ἀνατολὴν διαπεράσαντι τὸν παρακείμενον κόλπον, ἡ δησαρήνη χώρα. φέρουσα ἐλέφαντα, τὸν λεγόμενον βωσαρή, καὶ μετ' αὐτήν, εἰς τὸν βορέαν ἤδη πλέοντος τοῦ πλοός, βάρβαρα πολλὰ ἔθνη, ἐν οἷς οἱ κιῤῥάδαι, γένος ἀνθρώπων, ἐκτεθλιμμένων τὴν ῥῖνα, ἀγρίων. καὶ βαργυσων, ἕτερον ἔθνος. καὶ τὸ τῶν ἱππιοπροσώπων, μακροπροσώπων, λεγόμενον ἀνθρωποφάγων εἶναι. μετὰ δὲ ταῦτα, εἰς τὴν ἀνατολὴν καὶ τὸν ὠκεανὸν ἐν δεξιοῖς ἐχόντων, εὐώνυμα δὲ τὰ λοιπὰ μέρη ἔξωθεν παραπλεόντων, ὁ γάγγης ἀπαντᾷ, καὶ ἡ περὶ αὐτὸν ἐσχάτη τῆς ἀνατολῆς ἤπειρος ἡ χρυσῆ. ποταμὸς δέ ἐστιν περὶ αὐτόν, ὁ γάγγης λεγόμενος καὶ αὐτὸς μέγιστος τῶν κατὰ τὴν ἰνδικήν. ἀπόβασίν τε καὶ ἀνάβασιν, τὴν αὐτὴν ἔχων τῷ νείλῳ. καθ' ὃν καὶ ἐμπόριόν ἐστιν ὁμώνυμον τῷ ποταμῷ, ὁ γάγγης. δι' οὗ φέρεται, τό τε μαλάβαθρον, καὶ ἡ γαγ-

γική

Camara
Poduce
Sopatma
Simundu
Taprobane } Ins.
Masalia
Desarene regio
Cirrhadæ
Bargysæ
Hippioprosopi
Macroprosopi
Ganges fl. descensum & ascensum eundē cū nilo hēs
Ganges emporiū



ℒ · 1 · arenæ aureæ

γική νάρδος, καὶ πινικόν, καὶ σινδόνες αἱ διαφορώταται, αἱ γαγγιτικαὶ λεγόμεναι. λέγεται δέ, καὶ χρυσωρύχια περὶ τοὺς τόπους εἶναι, νόμισμά τε χρυσοῦ, ὁ λεγόμενος κάλτις. κατ' αὐτὸν δὲ τὸν ποταμόν, νῆσός ἐστιν ὠκεάνιος, ἐσχάτη τῶν πρὸς ἀνατολὴν μερῶν τῆς οἰκουμένης, ὑπ' αὐτὸν ἀνέχοντα τὸν ἥλιον καλουμένη. χρυσῆν χελώνην ἔχουσα, πάντων τῶν κατὰ τὴν ἐρυθρὰν τόπων, ἀρίστην. μετὰ δὲ ταύτην τὴν χώραν, ὑπ' αὐτὸν ἤδη τὸν βορέαν, ἔξωθεν εἴς τινα τόπον ἀπολιγούσης τῆς θαλάσσης, παράκειται ἐν αὐτῇ πόλις μεσόγειος μεγίστη, λεγομένη θῖνα. ἀφ' ἧς, τό τε ἔριον, καὶ τὸ νῆμα, καὶ τὸ ὀθόνιον τὸ σηρικόν, εἰς τὸν βαρύγαζαν διὰ βάκτρων πεζῇ φέρεται. καὶ εἰς τὴν λιμυρικὴν πάλιν, διὰ τοῦ γάγγου ποταμοῦ. εἰς δὲ τὴν θῖνα ταύτην, οὐκ ἔστιν εὐχερῶς ἀπελθεῖν. σπανίως γὰρ ἀπ' αὐτῆς τινες οὐ πολλοὶ ἔρχονται. κεῖται δὲ ὁ τόπος, ὑπ' αὐτὴν τὴν μικρὰν ἄρκτον. λέγεται δὲ συνορίζειν, τοῖς ἀπεστραμμένοις μέρεσιν τοῦ πόντου, καὶ τῆς κασπίας θαλάσσης. καθ' ἣν ἡ παρακειμένη λίμνη μαιῶτις, εἰς τὸν ὠκεανὸν συναναστομοῦσα. κατ' ἔτος δὲ παραγίνεται ἐπὶ τὴν συνορίαν τῆς θινός, ἔθνος τι. τῷ μὲν σώματι, κολοβοὶ καὶ σφοδροί. πλατυπρόσωποι ἐν μοί, εἰς τέλος τε αὐτοὺς λέγεσθαι σισάτας. παρομοιοῦσιν ἡμέραις, παραγίνονται σὺν γυναιξὶν καὶ τέκνοις. βαστάζοντες φορτία μεγάλα ταρπόνας, ἀμπελίνων παραπλήσια. εἶτ' ἐνδιαμένουσιν ἐπί τινα τόπον τῆς συνορίας αὐτῶν, καὶ τῶν ἀπὸ τῆς θινός. καὶ ἑορτάζουσιν ἐπί τινας ἡμέρας, ὑποστρώσαντες ἑαυτοῖς τὰς ταρπόνας, καὶ ἀπαίρουσιν εἰς τὰ ἴδια εἰς τοὺς ἐσωτέρους τόπους. οἱ ταῦτα δοκοῦντες, καὶ τότε παραγίνονται ἐπὶ τοὺς τόπους, καὶ συλλέγουσιν τὰ ἐκείνων ὑποστρώματα. καὶ ἐξινιάσαντες καλάμους τοὺς λεγομένους πέτρους ἐπὶ λεπτόν, ἐπιδιπλώσαντες τὰ φύλλα καὶ σφαιροειδῆ ποιοῦντες, διαίρουσιν ταῖς ἀπὸ τῶν καλάμων ἴναις. γίνεται δὲ γένη τρία. ἐκ μὲν τοῦ μείζονος φύλλου, τὸ ἁδρόσφορον μαλάβαθρον λεγόμενον. καὶ τοῦ ὑποδεεστέρου, μεσόσφορον. ἐκ δὲ τοῦ με-



Gangicæ nardus puto legendū gangiticæ
Χρυσοχρύσια
Calpis numisma
Thina · V ·
συναναστομοῦσα
Mæotis pal. oceanū ingreditur
Sesatæ
ταρπόνας
ἀμπελίνων
πέτρους καλάμῳ

Malabathrū quomodo fiat

κροτόρου, τὸ μικρόσφορον. ἔνθεν, τὰ τρία μέρη τοῦ μαλαβάθρου γίνεται. καὶ τότε φέρεται εἰς τὴν ἰνδικὴν, ὑπὸ τῶν κατεργαζομένων αὐτά. τὰ δὲ μετὰ τοὺς τόπους τούτους, διά τε ὑπερβολὰς χειμώνων, καὶ πάγους μεγίστους δυσβάτων τε τόπων, εἴτε καὶ θείᾳ τινὶ δυνάμει θεῶν, ἀνερευνητά ἐστιν.

# ΑΝΝΩΝΟΣ ΚΑΡΧΗΔΟΝΙΩΝ ΒΑΣΙΛΕΩΣ ΠΕΡΙΠΛΟΥΣ, ΤΩΝ

## ὑπὲρ τὰς ἡρακλέους στήλας λιβυκῶν τῆς γῆς μερῶν, ὃν καὶ ἀνέθηκεν ἐν τῷ τοῦ κρόνου τεμένει, δηλοῦντα τάδε.

ΕΔΟΞΕΝ καρχηδονίοις, ἄννωνα πλεῖν ἔξω στηλῶν ἡρακλείων, καὶ πόλεις κτίζειν λιβυφοινίκων. καὶ ἔπλευσεν, πεντηκοντόρους ἑξήκοντα ἄγων, καὶ πλῆθος ἀνδρῶν καὶ γυναικῶν, εἰς ἀριθμὸν μυριάδων τριῶν, καὶ σῖτα, καὶ τὴν ἄλλην παρασκευήν. ὡς δ' ἀναχθέντες, τὰς στήλας παρημείψαμεν, καὶ ἔξω πλοῦν δυοῖν ἡμερῶν ἐπλεύσαμεν, ἐκτίσαμεν πρώτην πόλιν, ἥν τινα ὠνομάσαμεν θυμιατήριον. πεδίον δ' αὐτῇ μέγα ὑπῆν. κἄπειτα πρὸς ἑσπέραν ἀναχθέντες, ἐπὶ σολόεντα λιβυκὸν ἀκρωτήριον, λάσιον δένδρεσι συνήλθομεν. ἔνθα ποσειδῶνος ἱερὸν ἱδρυσάμενοι πάλιν ἐπέβημεν πρὸς ἥλιον ἀνίσχοντα ἡμέρας ἥμισυ. ἄχρι ἐκομίσθημεν εἰς λίμνην οὐ πόρρω τῆς θαλάττης κειμένην, καλάμου μεστὴν πολλοῦ καὶ μεγάλου. ἐνῆσαν δὲ καὶ ἐλέφαντες, καὶ τἄλλα θηρία νεμόμενα πάμπολλα. τήν τε λίμνην παραλλάξαντες ὅσον ἡμέρας

Libyphoenices

Thymiaterium. V.

Solois promont.



ἡμέρας πλοῦν, κατῳκίσαμεν πόλεις πρὸς τῇ θαλάττῃ καλουμένας, καρικόν τε τεῖχος, καὶ γύττην, καὶ ἄκραν, καὶ μέλιτταν, καὶ ἄραμβυν. κἀκεῖθεν δ' ἀναχθέντες, ἤλθομεν ἐπὶ μέγαν ποταμὸν λίξον, ἀπὸ τῆς λιβύης ῥέοντα. παρὰ δ' αὐτὸν, νομάδες ἄνθρωποι λιξῖται, βοσκήματ' ἔνεμον, παρ' οἷς ἐμείναμεν ἄχρι τινὸς, φίλοι γενόμενοι. τούτων δὲ καθ' ὕπερθεν, αἰθίοπες ᾤκουν ἄξενοι, γῆν νεμόμενοι θηριώδη διειλημμένην ὄρεσι μεγάλοις, ἐξ ὧν ῥεῖν φασὶ τὸν λίξον. περὶ δὲ τὰ ὄρη, κατοικεῖν ἀνθρώπους ἀλλοιομόρφους τρωγλοδύτας. οὓς ταχυτέρους ἵππων ἐν δρόμοις ἔφραζον οἱ λιξῖται. λαβόντες δὲ παρ' αὐτῶν ἑρμηνέας, παρεπλέομεν τὴν ἐρήμην πρὸς μεσημβρίαν, δύο ἡμέρας. ἐκεῖθεν δὲ πάλιν πρὸς ἥλιον ἀνίσχοντα, ἡμέρας δρόμον. ἔνθα εὕρομεν ἐν μυχῷ τινος κόλπου, νῆσον μικρὰν, κύκλον ἔχουσαν, σταδίων πέντε. ἣν κατῳκίσαμεν, κέρνην ὀνομάσαντες. ἐτεκμαιρόμεθα δ' αὐτὴν ἐκ τοῦ περίπλου, κατ' εὐθὺ κεῖσθαι καρχηδόνος. ἐῴκει γὰρ ὁ πλοῦς, ἔκ τε καρχηδόνος ἐπὶ στήλας, κἀκεῖθεν ἐπὶ κέρνην. τοὐντεῦθεν εἰς λίμνην ἀφικόμεθα, διά τινος ποταμοῦ μεγάλου διαπλεύσαντες, χρέτης. εἶχεν δὲ νήσους ἡ λίμνη, τρεῖς, μείζους τῆς κέρνης. ἀφ' ὧν ἡμερήσιον πλοῦν κατανύσαντες, εἰς τὸν μυχὸν τῆς λίμνης ἤλθομεν. ὑπὲρ ἣν ὄρη μέγιστα ὑπερέτεινεν, μεστὰ ἀνθρώπων ἀγρίων, δέρματα θήρεια ἐνημμένων. οἳ πέτροις βάλλοντες, ἀπήραξαν ἡμᾶς, κωλύοντες ἐκβῆναι. ἐκεῖθεν πλέοντες, εἰς ἕτερον ἤλθομεν ποταμὸν μέγαν καὶ πλατὺν, γέμοντα κροκοδείλων καὶ ἵππων ποταμίων. ὅθεν δὴ πάλιν ἀποστρέψαντες, εἰς κέρνην ἐπανήλθομεν. ἐκεῖθεν δὲ, ἐπὶ μεσημβρίας ἐπλεύσαμεν δώδεκα ἡμέρας, τὴν γῆν παραλεγόμενοι. ἣν πᾶσαν κατῴκουν αἰθίοπες, φεύγοντες ἡμᾶς καὶ οὐχ ὑπομένοντες. ἀσύνετα δ' ἐφθέγγοντο, καὶ τοῖς μεθ' ἡμῶν λιξίταις. τῇ δ' οὖν τελευταίᾳ ἡμέρᾳ, προσωρμίσθημεν ὄρεσι μεγάλοις δασέσιν. ἦν δὲ τὰ τῶν δένδρων ξύλα, εὐώδη τε καὶ ποικίλα. περιπλεύσαντες δὲ ταῦτα ἡμέρας δύο, γινόμεθα ἐν θαλάττης χάσματι ἀμετρήτῳ. ἧς ἐπὶ θάτερα

ἀπήραξαν

Caric mur — Gypte — Acra — Melitta — Arabe: Urb

Lixus. fl.

Troglodytae

Lixitae pastorales

Cerne insula e regione carthaginis

Chrete. fl.

θάτερα πρὸς τῇ γῇ, πεδίον ἦν. ὅθεν νυκτὸς ἀφεωρῶμεν, πῦρ ἀναφερόμενον πανταχόθεν κατ' ἀποστάσεις. τὸ μὲν πλέον, τὸ δ' ἔλαττον. ὑδρευσάμενοι δ' ἐκεῖθεν, ἐπλέομεν εἰς τοὔμπροσθεν ἡμέρας πέντε παρὰ γῆν. ἄχρι ἤλθομεν εἰς μέγαν κόλπον, ὅν ἔφασαν οἱ ἑρμηνέες καλεῖσθαι, ἑσπέρου κέρας. ἐν δὲ τούτῳ, νῆσος ἦν μεγάλη, καὶ ἐν τῇ νήσῳ, λίμνη θαλασσώδης. ἐν δὲ ταύτῃ νῆσος ἑτέρα. εἰς ἣν ἀποβάντες, ἡμέρας μὲν, οὐδὲν ἀφεωρῶμεν, ὅτι μὴ ὕλην. νυκτὸς δὲ, πυρά τε πολλὰ καιόμενα, καὶ φωνὴν αὐλῶν ἠκούομεν, κυμβάλων τε καὶ τυμπάνων πάταγον, καὶ κραυγὴν μυρίαν. φόβος οὖν ἔλαβεν ἡμᾶς. καὶ οἱ μάντεις ἐκέλευον, ἐκλείπειν τὴν νῆσον. ταχὺ δ' ἐκπλεύσαντες, παρημειβόμεθα χώραν διάπυρον θυμιαμάτων. μεστοὶ δ' ἀπ' αὐτῆς πυρώδεις ῥύακες, ἐνέβαλλον εἰς τὴν θάλατταν. ἡ γῆ δ' ὑπὸ θέρμης, ἄβατος ἦν. ταχὺ οὖν κἀκεῖθεν φοβηθέντες ἀπεπλεύσαμεν. τέτταρας δ' ἡμέρας φερόμενοι, νυκτὸς τὴν γῆν ἀφεωρῶμεν, φλογὸς μεστήν. ἐν μέσῳ δ' ἦν ἠλίβατόν τι πῦρ, τῶν ἄλλων μεῖζον, ἁπτόμενον ὡς ἐδόκει τῶν ἄστρων. τοῦτο δ' ἡμέρας, ὄρος ἐφαίνετο μέγιστον, θεῶν ὄχημα καλούμενον. τριταῖοι δ' ἐκεῖθεν, πυρώδεις ῥύακας παραπλεύσαντες, ἀφικόμεθα εἰς κόλπον, νότου κέρας λεγόμενον. ἐν δὲ τῷ μυχῷ, νῆσος ἦν, ἐοικυῖα τῇ πρώτῃ, λίμνην ἔχουσα. καὶ ἐν ταύτῃ, νῆσος ἦν ἑτέρα, μεστὴ ἀνθρώπων ἀγρίων. πολὺ δὲ πλείους ἦσαν γυναῖκες, δασεῖαι τοῖς σώμασιν. ἃς οἱ ἑρμηνέες, ἐκάλουν γορίλλας. διώκοντες δὲ, ἄνδρας μὲν, συλλαβεῖν οὐκ ἠδυνήθημεν. ἀλλὰ πάντες μὲν ἐξέφυγον, κρημνοβάται ὄντες, καὶ τοῖς πετρίοις ἀμυνόμενοι. γυναῖκας δὲ τρεῖς. αἳ δάκνουσαί τε καὶ σπαράττουσαι τοὺς ἄγοντας, οὐκ ἤθελον ἕπεσθαι. ἀποκτείναντες μέντοι αὐτὰς, ἐξεδείραμεν, καὶ τὰς δορὰς ἐκομίσαμεν εἰς καρχηδόνα. οὐ γὰρ ἔτι ἐπλεύσαμεν προσωτέρω, τῶν σιτίων ἡμᾶς ἐπιλιπόντων.

Hesperu ceras

Theo ochema

Notu ceras



# ΠΛΟΥΤΑΡΧΟΥ ΠΕΡΙ ΠΟΤΑΜΩΝ ΚΑΙ ΟΡΩΝ ΕΠΩΝΥΜΙΑΣ

## καὶ τῶν ἐν αὐτοῖς εὑρισκομένων.

ΥΔΑΣΠΗΣ. Χρυσίππη διὰ μῆνιν ἀφροδίτης εἰς ἐπιθυμίαν ἐμπεσοῦσα τοῦ γεννήσαντος ὑδάσπου, καὶ μὴ στέγουσα τοὺς παρὰ φύσιν ἔρωτας, νυκτὸς βαθείας τῷ προειρημένῳ συνῆλθεν, τῆς τροφοῦ συνελθούσης. οὐκ εὐτυχήσας δὲ περὶ τῶν συμβεβηκότων ὁ βασιλεὺς, τὴν μὲν ἐνεδρεύσασαν αὐτὸν γραῦν, ζῶσαν κατέχωσεν. τὴν δὲ θυγατέρα σταυρώσας, διὰ λύπης ὑπερβολὴν, ἔρριψεν ἑαυτὸν εἰς ποταμὸν ἰνδὸν, ὃς ἀπ' αὐτοῦ ὑδάσπης μετωνομάσθη. ἔστιν δὲ τῆς ἰνδίας, νεανικῶς καταφερόμενος, εἰς τὴν σαρωνιτικὴν σύρτιν. γεννᾶται δὲ ἐν αὐτῷ λίθος, λυχνὶς καλούμενος. ἐλαιώδης δὲ ἐστὶ τῇ χρόᾳ, καὶ ζεστὸς πάνυ. σελήνης δὲ αὐξομένης εὑρίσκεται, πρὸς μελῳδίαν αὐλῶν. χρῶνται δὲ οἱ ἐν ἐξοχῇ τυγχάνοντες αὐτῷ. εὑρίσκεται δὲ αὐτοῦ παρὰ τὰς καλουμένας πύλας βοτάνη, παρόμοιος ἡλιοτροπίῳ. ταύτην λειοτριβοῦντες, τῷ χυλῷ τοῖς καύμασιν ἀλείφονται. καὶ φέρουσιν ἀκινδύνως, τῆς περιεστοτέρας θερμασίας τὴν ἀναθυμίασιν. οἱ δὲ ἐγχώριοι, τὰς ἀσεβῶς ἀναστρεφομένας παρθένους σταυροῖς προσηλώσαντες, εἰς αὐτὸν βάλλουσιν, τῇ σφῶν διαλέκτῳ, τὸν ἀφροδίτης ὕμνον ᾄδοντες. κατορύσσουσι δὲ κατ' ἐνιαυτὸν γραῦν κατά-

Chrysippe

Hydaspes

νεανικῶς

Saxonytica syrtis

Lychnis lapi

Pylæ

κειτον, παρὰ τὸν ὀνομαζόμενον λόφον θηρόγονον. ἅμα γὰρ τὴν πρεσβύτιν, ἑρπετῶν πλῆθος ἐκ τῆς ἀκρωρείας ἐξέρχεται, καὶ τὰ περιϊπτάμενα τῶν ἀλόγων ζώων κατεσθίει. καθὼς ἱστορεῖ χρύσερμος, ἐν γ' ἰνδικῶν. μέμνηται δὲ τούτων ἀκριβέστερον ἀρχέλαος, ἐν ιγ' περὶ ποταμῶν. ὑπόκειται δὲ αὐτῷ ὄρος, ἐλέφας καλούμενον, διὰ αἰτίαν τοιαύτην. ἀλεξάνδρου τοῦ μακεδόνος μετὰ τὰ στρατεύματος εἰς ἰνδίαν ἐλθόντος, καὶ τῶν ἐγχωρίων κρίσιν ἐχόντων ἀντιπολεμεῖν αὐτῷ, πώρου τοῦ βασιλέως τῶν τόπων ἐλέφας αἰφνιδίως οἰστροπλὴξ γενόμενος, ἦλθε τὸν ἡλίου λόφον ἀνέβη. καὶ ἀνθρωπίνῃ φωνῇ χρησάμενος, εἶπεν. δέσποτα βασιλεῦ, τὸ γένος ἀπὸ γηγασίου κατάγων, μηδὲν ἐξ ἐναντίας ἀλεξάνδρου ποιήσῃς. διὸς γάρ ἐστι γηγάσιος. καὶ τελέσας τὸν λόγον, ἔθανεν. ἀκούσας δὲ ταῦτα ὁ πῶρος, ψοφοδεὴς τοῦ ἀλεξάνδρου γόνασι προσέπεσεν, εἰρήνην αἰτούμενος. τυχὼν δὲ ὧν ἤθελεν, τὸ ὄρος ἐλέφαντα μετωνόμασεν. καθὼς ἱστορεῖ δέρκυλλος, ἐν γ' περὶ ὀρῶν.

ΙΣΜΗΝΟΣ ποταμός ἐστι τῆς βοιωτίας, κατὰ πόλιν θήβας. ἐκαλεῖτο δὲ τὸ πρότερον, κάδμου πούς, ἀπὸ αἰτίας τοιαύτης. κάδμος τὸν κρηνοφύλακα δράκοντα τοξεύσας, καὶ εὑρὼν ὥσπερ πεφαρμακευμένον φόβου τὸ ὕδωρ περιήρχετο τὴν χώραν ζητῶν πηγήν. γενόμενος δὲ κατὰ τὸ κωρύκιον ἄντρον, κατὰ πρόνοιαν ἀθηνᾶς, τὸν δεξιὸν πόδα βαθύτερον εἰς πηλὸν ἤρεισεν. ποταμοῦ δὲ ἀναδοθέντος ἐκ τοῦ τόπου, ὁ ἥρως βουθυτήσας, κάδμου πόδα προσηγόρευσεν αὐτόν. μετὰ δὲ τινα χρόνον, ἰσμηνὸς ἀμφίονος καὶ νιόβης παῖς, ὑπὸ ἀπόλλωνος τοξευθεὶς καὶ ἀλγηδόνι συνεχόμενος, ἑαυτὸν ἔβαλεν εἰς τὸν προειρημένον ποταμόν. ὃς ἀπὸ αὐτοῦ ἰσμηνὸς ὠνομάσθη. καθὼς ἱστορεῖ, σώστρατος ἐν β' περὶ ποταμῶν. παράκειται δὲ αὐτῷ, κιθαιρὼν ὄρος. ὀνομαζόμενον δὲ πρότερον ἀστέριον, δι' αἰτίαν τοιαύτην. βοιωτὸς ὁ ποσειδῶνος, ἐκ δυοῖν γυναικῶν τῶν ἐπισήμων, θέλοντος γῆμαι τὴν ὠφελιμωτέραν, καὶ ἐν ταῖς ἀκρωρείαις λόφου τινὸς ἀνωνύμου νυκτὸς περιμένοντος ἀμφοτέρας, αἰ-

φνίδιος

Therogonos collis
Chryserm[us]
Archela[us]
Elephas mons
Historia
Dercyll[us]
Ismen[us] fl.
Cadm[us]
Corycaeu[m] antru[m]
Ismen[us] f.
Amphio[n]
Niobe
Sostrat[us]
Cithero[n] uocatus prius Asterio[n]
Boeoth[us] f. Neptuni



φνίδιος ἐξ οὐρανοῦ κατενεχθεὶς ἀστὴρ, ἔπεσεν τοῖς εὐρυθεμίστης ὤμοις καὶ ἀφανὴς ἐγένετο. βοιωτὸς δὲ τὸ σημαινόμενον νοήσας, τὴν μὲν κόρην, ἔγημεν. τὸ δὲ ὄρος, ὠνόμασεν ἀστέριον, ἀπὸ τοῦ συγκυρήματος. ὕστερον δὲ ἐκλήθη κιθαιρὼν, διὰ αἰτίαν τοιαύτην. τισιφόνη μία τῶν ἐρινύων, εἰς ἐπιθυμίαν ἐμπεσοῦσα παιδὸς εὐπρεποῦς κιθαιρῶνος τοὔνομα, καὶ μὴ στέγουσα τὴν ἐπίτασιν τῶν ἐρώτων, λόγους αὐτῷ περὶ συνόδου ἀπέστειλεν. ὁ δὲ τὸ καταπληκτικὸν τῆς προειρημένης φοβηθεὶς, οὐδὲ ἀποκρίσεως αὐτὴν ἠξίωσεν. ἡ δὲ ἀποτυχοῦσα τῆς προαιρέσεως, ἐκ τῶν πλοκάμων ἕνα τῶν δρακόντων ἀπέσπασεν, καὶ ἐπὶ τὸν ὑπερήφανον ἔβαλεν. ὁ δὲ ὄφις τοῖς κόλποις περισφίγξας αὐτὸν, ἀνεῖλεν, ἀστερίου ποιμαίνοντος ἐν ταῖς ἀκρωρείαις. κατὰ δὲ πρόνοιαν θεῶν, τὸ ὄρος ἀπὸ αὐτοῦ μετωνομάσθη κιθαιρὼν, καθὼς ἱστορεῖ λέων ὁ βυζάντιος ἐν τοῖς βοιωτιακοῖς. ἑρμησιάναξ δὲ ὁ κύπριος, ἱστορίας μέμνηται τοιαύτης. ἑλικὼν καὶ κιθαιρὼν ἀδελφοὶ τυγχάνοντες, διαφόρους ἔσχον τῶν τρόπων τὰς διαθέσεις. ὁ μὲν γὰρ ἑλικὼν, πρᾳότερος ὑπάρχων καὶ προσηνὴς, συμπαθῶς γηροβοσκεῖ τοὺς γονεῖς. ὁ δὲ κιθαιρὼν πλεονέκτης τυγχάνων, καὶ θέλων εἰς ἑαυτὸν μεταστῆσαι τὴν οὐσίαν, πρῶτον μὲν, ἐφόνευσεν τὸν γεννήσαντα. τὸν δὲ ἀδελφὸν, ἐξ ἐνέδρας κατακρημνίζων, καὶ αὐτὸς συγκατηνέχθη. κατὰ δὲ θεῶν πρόνοιαν, εἰς ὁμώνυμα ὄρη μεταμορφωθέντες ἐγένοντο· κιθαιρὼν μὲν διὰ τὴν ἀσέβειαν, ἐρινύων μῦθος· ἑλικὼν δὲ διὰ φιλοστοργίαν, μουσῶν ἐνδιαίτημα.

ΕΒΡΟΣ ποταμός ἐστι τῆς θρᾴκης, προσηγορίαν εἰληχὼς, ἀπὸ τῆς συστροφῆς τῆς καταφορᾶς τοῦ ὕδατος. κάσανδρος δὲ ὁ βασιλεὺς τῶν τόπων, γήμας κροτωνίκην, ἐγέννησεν ἐξ αὐτῆς υἱὸν ἕβρον. ἀποταξάμενος δὲ τῇ συμβιώσει τῆς προτέρας γυναικὸς, ἐπέγημε τῷ τέκνῳ δαμασίππην τὴν ἄτρακος. ἥτις εἰς ἐπιθυμίαν ἐμπεσοῦσα τοῦ προγόνου, λόγους αὐτῷ περὶ συνόδου ἀπέστειλεν. ὁ δ' ὡς ἐρινὺν φυγὼν τὴν μητρυιὰν, προσηυκαίρει γυναικίαις. ἀποτυχοῦσα δὲ τῆς προαιρέσεως ἡ ἀσελγὴς,



προσηυκαίρει γυναικίοις

Eurythemista
Cithero[n] und[e]
Leo byzantius
Hermesianax cyprius
Helico[n] Cithero[n] fratres
Ebrus und[e] dictus
Casander
Crotonice
Ebrus
Damasippe
Atrax

κατεψεύσατο τοῦ σώφρονος, ὡς βιάσασθαι αὐτὴν θελήσαντος. Κάσσανδρος δὲ τῷ ζήλῳ συμπεριενεχθεὶς, μεθ' ὁρμῆς ἐπὶ τὴν ὕλην ἦλθε. καὶ σπασάμενος τὸ ξίφος, ἐδίωκε τὸν υἱὸν, ὡς ἐπίβουλον τῶν πατρῴων γάμων. ὁ δὲ υἱὸς περικατάληπτος γενόμενος, ἑαυτὸν ἔρριψεν εἰς ποταμὸν ῥόμβον. ὃς ἀπ' αὐτοῦ ἕβρος μετωνομάσθη, καθὼς ἱστορεῖ τιμόθεος ἐν ια περὶ ποταμῶν. ὄρος δὲ αὐτῷ παράκειται, παγγαῖον. τὴν προσηγορίαν ἔχον, διὰ αἰτίαν τοιαύτην. ὁ παγγαῖος ἄρεως καὶ κριτοβούλης παῖς, τῇ θυγατρὶ κατ' ἄγνοιαν συγγενόμενος, καὶ ἀθυμίᾳ συνεχθεὶς, ἔδραμεν εἰς καρμάνιον ὄρος. καὶ διὰ λύπης ὑπερβολὴν σπασάμενος τὸ ξίφος, ἑαυτὸν ἀνεῖλεν. κατὰ δὲ πρόνοιαν θεῶν, ὁ τόπος μετωνομάσθη παγγαῖος. γεννᾶται δὲ ἐν αὐτῷ τῷ προειρημένῳ ποταμῷ βοτάνη, παρόμοιος ὀριγάνῳ. ἧς τὰ ἄκρα δρεψάμενοι θρᾷκες, ἐπιτιθέασιν πυρὶ μετὰ τὸν κόρον τῆς δημητριακῆς τροφῆς. καὶ τὴν ἀναφερομένην ἀναθυμίασιν δεχόμενοι ταῖς ἀναπνοιαῖς, καροῦνται, καὶ εἰς βαθὺν ὕπνον καταφέρονται. γεννᾶται δὲ καὶ ἐν τῷ παγγαίῳ ὄρει βοτάνη, κιθάρα καλουμένη, διὰ ταύτην τὴν αἰτίαν. διασπαράξασαι τὸν ὀρφέα, τὰ μέλη τοῦ προειρημένου εἰς ποταμὸν ἔβαλον ἕβρον. καὶ ἡ μὲν κεφαλὴ τοῦ θνητοῦ κατὰ πρόνοιαν θεῶν, εἰς δράκοντα μετέβαλεν τὴν μορφὴν τοῦ σώματος. ἡ δὲ λύρα καταστηρίχθη, κατὰ προαίρεσιν ἀπόλλωνος. ἐκ δὲ τοῦ ῥεύσαντος αἵματος, ἀνεφάνη βοτάνη, κιθάρα καλουμένη. τῶν δὲ διονυσίων τελουμένων, αὕτη κιθάρας ἀναδίδωσιν ἦχον. οἱ δὲ ἐγχώριοι, νεβρίδας περιβεβλημένοι καὶ θύρσους, ὕμνον ᾄδουσιν. κρατοῦντες καὶ τότε φρονήσει ὅταν δῆγμα τὴν φρενῶν. καθὼς ἱστορεῖ κλειτώνυμος ἐν τῷ γ τῶν τραγικῶν.

ΓΑΓΓΗΣ ποταμός ἐστι τῆς ἰνδίας, τὴν προσηγορίαν λαβὼν διὰ αἰτίαν τοιαύτην. ἰνδῷ τις καλαυρία νύμφη, ἐγέννησεν υἱὸν κάλλει περίβλεπτον, τοὔνομα γάγγην. οὗτος καρηβαρήσας, τῇ μητρὶ κατ' ἄγνοιαν συνεγένετο τῇ διοπιθούσῃ. ὁ δὲ μεθ' ἡμέρας παρὰ τῆς τροφοῦ μαθὼν τὴν ἀλήθειαν, διὰ λύπης ὑπερβολὴν,

Rhobus prius dicebatur q post ebr(us)
Timothe
Pangeū mōs unde
Pāge(us)
Critobu(le)
Carmaniū m.
Cithara herba
Orphe(us)
Orphei caput in draconem uersū
Chtony m(?)
Ganges fl.
Calauria nympha
Diopithusa



ἑαυτὸν ἔρριψεν εἰς ποταμὸν χλιαρὸν καλούμενον, ὃς ἀπ' αὐτοῦ γάγγης μετωνομάσθη. γεννᾶται δὲ παρ' αὐτῷ βοτάνη, παραπλησία βουγλώσσῳ. ἣν ἀεὶ τρίβοντες, τὸν χυλὸν αὐτῆς τηροῦσιν. καὶ νυκτὸς βαθείας, τοὺς φωλεοὺς τῶν τίγρεων περιρραίνουσιν. αἱ δὲ διὰ τὴν δύναμιν τῆς ἐκχυθείσης πρασίας, προχωρῆσαι μὴ δυνάμεναι, θνήσκουσιν, καθὼς ἱστορεῖ καλλισθένης ἐν γ τῶν κυνηγετικῶν. παράκειται δὲ αὐτῷ ὄρος, ἀνατολὴ καλούμενον, διὰ αἰτίαν τοιαύτην. ἀναξιβίαν νύμφην, ἥλιος θεασάμενος χωρίοις προσευκαιροῦσαν, εἰς ἐπιθυμίαν αὐτῆς ἐνέπεσεν. καὶ μὴ στέγων τὸν ἔρωτα, ἀπεδίωξε τὴν προειρημένην βιάσασθαι βουλόμενος. ἡ δὲ περικατάληπτος γενομένη, κατέφυγεν ἐπὶ τὸ τῆς ὀρθίας ἀρτέμιδος τέμενος. ὅπερ ἦν ἐν ὄρει κορυφῇ καλουμένῳ, καὶ ἀφανὴς ἐγένετο. κατόπιν δὲ ἀκολουθήσας ὁ θεὸς, καὶ μηδαμοῦ τὴν ἀγαπωμένην εὑρὼν, διὰ λύπης ὑπερβολὴν ἐκεῖθεν ἀνέτειλεν. οἱ δὲ ἐγχώριοι τὴν ἀκρώρειαν, ἀνατολὴν μετωνόμασαν ἀπὸ τοῦ συγκυρήματος, καθὼς ἱστορεῖ καμάρων ἐν δεκάτῳ ἰνδικῶν.

ΦΑΣΙΣ ποταμός ἐστι τῆς σκυθίας, παραρέων πόλιν. ἐκαλεῖτο δὲ τὸ πρότερον ἀρκτοῦρος, τὴν προσηγορίαν εἰληφὼς, διὰ τὴν χωροθεσίαν τῶν κατεψυγμένων τόπων. μετωνομάσθη δὲ, διὰ αἰτίαν τοιαύτην. φᾶσις ἡλίου καὶ ὠκυρόης τῆς ὠκεανοῦ παῖς, τὴν μητέρα μοιχευομένην ἐπαυτοφώρῳ καταλαβὼν, ἀνεῖλεν. κατὰ δὲ ἐπιφάνειαν ἐριννύων οἰστροπλὴξ γενόμενος, ἑαυτὸν ἔρριψεν εἰς τὸν ἀρκτοῦρον. ἀπ' αὐτοῦ δὲ φᾶσιν μετωνομασμένον. γεννᾶται δ' ἐν τῷ ποταμῷ ῥάβδος ὀνομαζομένη λευκόφυλλος. εὑρίσκεται δὲ τοῖς μυστηρίοις τῆς ἑκάτης περὶ τὸν ὄρθρον, πρὸς παιανισμὸν ἔνθεον, αὐτοῦ περὶ τὴν ἀρχὴν τοῦ ἔαρος. ἣν οἱ ζηλότυποι τῶν ἀνδρῶν δρεπόμενοι, ῥίπτουσι περὶ τὸν παρθένιον θάλαμον, καὶ ἀνόθευτον τηροῦσιν τὸν γάμον. ἐάν τις προπετέστερον ἀναστραφῇ τῶν ἀσεβεστέρων διὰ μέθην, καὶ εἰς τὸν τόπον εἰσέλθῃ, τῶν σωφρονούντων ἀφαρπάζεται λογισμῶν. καὶ εὐθὺς ὁμολογεῖ πᾶσιν ὅσα παρανόμως ἢ ἔπραξεν ἢ μέλλει πράττειν. οἱ δὲ πα-

 ρατυγ-

Chliarus fl postea gāge(s)
Callisthenes
Anatole M
Anaxibia
Orthia diana
Coryphe m
Camaro
Phasis fl. ante arctu(rus)
Phasis
Ocyroe
Leucophyll(us) uirga

προσευκαιροῦσαν χωρίοις

ρατυγχάνοντος συλλαμβάνοντες, ῥίπτουσιν ἐμβεβυρσωμένον εἰς τὸ καλούμενον στόμιον τῶν ἀσεβῶν. ἔστι δὲ στρογγυλοειδὲς, φρέατι παραπλήσιον. ἐκδίδωσι δὲ τὸ βληθὲν μετὰ λ΄ ἡμέρας, εἰς τὴν μαιῶτιν λίμνην, σκωλήκων γέμον. γῦπες δὲ ἀφνιδίως ἐπιφανέντες ἀόρατοι, τὸ μὲν κείμενον διαρπάζουσιν, ὡς ἱστορεῖ κτήσιππος ἐν β΄ σκυθικῶν. παράκειται δὲ, τὸ καυκάσιον ὄρος. ἐκαλεῖτο δὲ τὸ πρότερον βορέου κοίτη, δι᾽ αἰτίαν τοιαύτην. βορέας δι᾽ ἐρωτικὴν ἐπιθυμίαν, χλῶριν ἁρπάσας τὴν ἀρκτούρου θυγατέρα, κατήνεγκεν εἰς τινα λόφον νιφάντην καλούμενον. καὶ ἐγέννησεν ἐκ τῆς προειρημένης υἱὸν ὕρπακα, τὸν διαδεξάμενον ἡνιόχου τὴν βασιλείαν. μετωνομάσθη δὲ τὸ ὄρος, κοίτη βορέου. προσηγορεύθη δὲ καύκασος, διὰ περίστασιν τοιαύτην. μετὰ τὴν γιγαντομαχίαν, κρόνος ἐκκλίνων τὰς διὸς ἀπειλὰς, ἔφυγεν εἰς τὴν ἀκρώρειαν βορέου κοίτης. καὶ εἰς κροκόδειλον μεταμορφωθεὶς, ἕνα τῶν ἐγχωρίων ποιμένα καύκασον ἀναπαύων, καὶ κατανοήσας αὐτοῦ τὴν διάθεσιν τῶν σπλάγχνων, εἶπεν οὐ μακρὰν εἶναι τοὺς πολεμίους. ὁ δὲ ζεὺς ἐπιφανεὶς, τὸν μὲν πατέρα δήσας πλεκτῷ ἐρίῳ, κατεταρτάρωσεν. τὸ δ᾽ ὄρος εἰς τιμὴν τοῦ ποιμένος καύκασον μετωνομάσας, προσέδησεν αὐτῷ τὸν προμηθέα. καὶ ἠνάγκασεν αὐτὸν ὑπὸ σπλαγχνοφάγου ἀετοῦ βασανίζεσθαι, ὅτι παρῳνόμησεν εἰς τὰ σπλάγχνα, ὡς ἱστορεῖ κλεάνθης ἐν γ΄ θεομαχίας γεγραφώς. γεννᾶται δ᾽ ἐν αὐτῷ βοτάνη, προμήθειος καλουμένη. ἣν μήδεια συλλέγουσα καὶ λειοτριβοῦσα, πρὸς ἀντιπάθειαν τοῦ πατρὸς ἐχρήσατο, καθὼς ἱστορεῖ ὁ αὐτός.

ΑΡΑΡ ποταμός ἐστι τῆς κελτικῆς, τὴν προσηγορίαν εἰληφὼς, παρὰ τὸ ἡρμόσθαι τῷ ῥοδανῷ. καταφέρεται γὰρ εἰς τοῦτον, κατὰ τὴν χώραν τῶν ἀλλοβρόγων. ἐκαλεῖτο δὲ πρότερον βρίγουλος. μετωνομάσθη δὲ, δι᾽ αἰτίαν τοιαύτην. ἄραρ, κυνηγεσίας χάριν εἰς ὕλην προχωρήσας, καὶ εὑρὼν τὸν ἀδελφὸν κελτίβηρον ὑπὸ θηρίων ἀνηλωμένον, διὰ λύπης ὑπερβολὴν ἑαυτὸν καιρίως πλήξας, ἔβαλεν εἰς τὸν ποταμὸν βρίγουλον, ὃς ἀπ᾽ αὐτοῦ μετωνο-

μάσθη

Ctesipp⁹ · Caucasus mōs · Boree Lecti · Ide · Chloris · Nyphātē · Hyrpax · Saturnus in cro codilū uersus · Caucasus · Promethei poena · Prome then · Promethe os herba · Cleāthes · Arar unde dictus · Brigulos · Ide · Arar · Celtiber⁹ · fratres



μάσθη ἄραρ. γεννᾶται δὲ ἐν αὐτῷ μέγας ἰχθὺς, σκολόπιδος προσαγορευόμενος ὑπὸ τῶν ἐγχωρίων. οὗτος αὐξανομένης τῆς σελήνης, λευκός ἐστιν. μειουμένης δὲ, μέλας γίνεται παντελῶς. ὑπεραυξήσας δὲ, ἀναιρεῖται ὑπὸ τῶν ἰδίων ἀκανθῶν. εὑρίσκεται δ᾽ ἐν αὐτῷ λίθος ἐν τῇ κεφαλῇ χόνδρῳ παρόμοιος. ὃς κάλλιστα ποιεῖ, πρὸς τεταρταίους νόσους, τοῖς ἀριστεροῖς μέρεσιν τοῦ σώματος προσδεδεμένος, τῆς σελήνης μειουμένης. καθὼς ἱστορεῖ καλλισθένης ὁ συβαρίτης ἐν ιγ΄ γαλατικῶν, παρ᾽ οὗ τὴν ὑπόθεσιν εἴληφεν τιμαγένης ὁ σύρος. παράκειται δὲ αὐτῷ ὄρος, λούγδουνος καλούμενον. μετωνομάσθη δὲ δι᾽ αἰτίαν τοιαύτην. μώμορος καὶ ἀτεπόμαρος, ὑπὸ σεσηρονέως τῆς ἀρχῆς ἐκβληθέντες, εἰς τοῦτον κατὰ προσταγὴν τὸν λόφον πόλιν κτίσαι θέλοντες. τῶν δὲ θεμελίων ὀρυσσομένων, ἀφνιδίως κόρακες ἐπιφανέντες καὶ διαπτερυξάμενοι, τὰ πέριξ ἐπλήρωσαν τὰ δένδρα. μώμορος δὲ οἰωνοσκοπίας ἔμπειρος ὑπάρχων, τὴν πόλιν λούγδουνον προσηγόρευσεν. λοῦγον γὰρ τῇ σφῶν διαλέκτῳ, τὸν κόρακα καλοῦσιν. δοῦνον δὲ, τὸν ἐξέχοντα. καθὼς ἱστορεῖ κλειτοφῶν ἐν ιγ΄ κτίσεων.

ΠΑΚΤΩΛΟΣ ποταμός ἐστι τῆς λυδίας κατὰ πόλιν σάρδεις. ἐκαλεῖτο δὲ πρότερον, χρυσορόας. χίος ὁ ἀπόλλωνος καὶ ἀπαθίππης παῖς, τὴν μηχανικὴν τέχνην ἀσκήσας, καὶ σπάνει βίου συνεχόμενος, νυκτὸς βαθείας τοὺς θησαυροὺς κροίσου τοῦ βασιλέως ἀνέῳξεν. καὶ τὸν χρυσὸν ἐκκομίζων, διεδίδου τοῖς οἰκείοις. καταληφθεὶς δὲ ὑπὸ τῶν φρουρῶν, καὶ κατάληπτος γενόμενος, ἑαυτὸν ἔρριψεν εἰς ποταμὸν, ὃς ἀπ᾽ αὐτοῦ χρυσορόας μετωνομάσθη. πακτωλὸς δὲ μετεκλήθη, διὰ τήνδε τὴν περίστασιν. πακτωλὸς ὁ αἰόλου καὶ λευκοθέης παῖς, ἐν τοῖς ἀφροδίτης μυστηρίοις δημοδίκην τὴν ἀδελφὴν κατ᾽ ἄγνοιαν βιασάμενος, καὶ περὶ τῶν συμβεβηκότων κατηχηθεὶς, διὰ λύπης ὑπερβολὴν ἑαυτὸν ἔρριψεν εἰς ποταμὸν χρυσορόαν, ὃς ἀπ᾽ αὐτοῦ πακτωλὸς προσηγορεύθη. γεννᾶται δ᾽ ἐν αὐτῷ ψῆγμα διαρέου χρυσίου, καταφερόμενον εἰς τὸν εὐδαίμονα κόλπον. γεννᾶται

δ᾽ ἐν

Scolopidus piscis · Callisthenes · Timagens Syr⁹ · Lugdunus mons · Momor⁹ · Atepomar⁹ · Seseroneus · Lugdolus unde · Clitophō · Pactol⁹ · Chrysoroas · Chrysoroas · Apathippe · Pactolus · Aeolus · Leucothea · Demodice · Rametū a ridarei

κάλλιστα ποιεῖ

δ' ἐν αὐτῷ καὶ λίθος, ἀρουραφύλαξ καλούμενος. ἔστι δὲ ἀργύρῳ παρόμοιος. εὑρίσκεται δὲ δυσχερῶς, τῷ καταφερομένῳ ψήγματι συναναμιγνύμενος. ἔχει δὲ δύναμιν τοιαύτην. οἱ ἐν δυνάμει τυγχάνοντες τῶν Λυδῶν, συναγοράζουσιν αὐτὸν, καὶ πρὸ τῆς εἰσόδου τῶν θησαυρῶν τιθέασιν, καὶ διαφυλάττουσιν ἀκινδύνως τὸν διατιθέμενον χρυσόν. ὁπότε γὰρ ἄνω φῶρες ἐπέλθωσιν, σάλπιγγος ἦχον ἀναδίδωσιν ὁ λίθος. οἱ δὲ ὡς ὑπὸ δορυφόρων διωκόμενοι, κατὰ κρημνῶν φέρονται. καὶ καλεῖται ὁ τόπος τῶν βιαιοθανατησάντων, Πακτωλοῦ φρουρά. γεννᾶται δὲ βοτάνη πορφυράνθεμος, καλουμένη χρυσόπολις. πρὸς αὐτὴν γὰρ αἱ ἀστυγείτονες πόλεις, τὸν ἀκέραιον χρυσὸν δοκιμάζουσιν. ἅμα γὰρ αὐτὸν χωνευθῆναι, ἅπτουσι τὴν βοτάνην. καὶ ἐὰν μὲν ἀνόθευτον τὸ χρυσίον ᾖ, τὰ φύλλα χρυσοῦνται, καὶ διατηρεῖ τῆς ὕλης τὴν οὐσίαν. ἐὰν δὲ ἐφθαρμένον ὑπάρχῃ, τὴν ἠλλαγμένην ὑγρασίαν ἀποπτύει, καθὼς ἱστορεῖ Χρύσερμος ἐν γ΄ περὶ ποταμῶν. παράκειται δὲ αὐτῷ ὄρος, Τμῶλος, παντοδαπῶν θηρίων πλήρης. ἐκαλεῖτο δὲ πρότερον, Καρμανώρειον, ἀπὸ Καρμάνορος τοῦ Διονύσου καὶ Ἀλεξιροίας παιδὸς, ὃς κυνηγετῶν ἀπέθανεν, ὑπὸ κάπρου πληγείς. ὕστερον δὲ μετωνομάσθη Τμῶλος, διὰ τοιαύτην αἰτίαν. Τμῶλος Ἄρεως καὶ Θεογόνης υἱὸς βασιλεὺς Λυδίας ἐν Καρμανορίῳ κυνηγετῶν ὄρει, καὶ θεασάμενος Ἀρρίππην παρθένον τῇ Ἀρτέμιδι συναναστρεφομένην, εἰς ἐπιθυμίαν αὐτῆς ἔπεσεν. καὶ πλεονεκτούμενος ὑπὸ τοῦ ἔρωτος, ἐπεδίωκεν αὐτὴν βιάσασθαι βουλόμενος. ἡ δὲ περικατάληπτος γινομένη, ἀπέφυγεν εἰς τὸν ναὸν τῆς Ἀρτέμιδος. καταφρονήσας δὲ τῆς δεισιδαιμονίας ὁ τύραννος, ἐν τῷ τεμένει τὴν κόρην ἔφθειρεν. ἡ δὲ ἀθυμίᾳ συσχεθεῖσα, βρόχῳ τὸν βίον παρέτειψεν. ἀναξιοπαθήσασα δὲ ἐπὶ τοῖς πραχθεῖσιν ἡ θεός, οἰστροπλῆγα τῷ προειρημένῳ ταῦρον ἐπέσκηψεν. ὑφ' οὗ ῥιφεὶς εἰς ὕψος, καὶ εἰς σκόλοπας κατενεχθεὶς, μετὰ βασάνων ἔθανεν. Θεοκλύμενος δὲ ὁ τοῦ προειρημένου παῖς, τὸν γεννήσαντα θάψας, τὸ ὄρος ἀπ' αὐτοῦ μετωνόμασεν. γεννᾶται δὲ ἐν αὐτῷ

λίθος

Aurarphylax lapis
Pactoli custodia locus
Chrysopole herba
Chryser mus
Tmolus mons
Carmanorio
Carmo
Alexiroe
Tmolus
Theogone
Arrhipe
Theoclymenus



λίθος, κισήρει παρόμοιος καὶ σπανίως εὑρίσκεται. τετράκις γὰρ τῆς ἡμέρας, ἀλλάσσει τὴν χρόαν. βλέπεται δὲ ὑπὸ παρθένων, τῶν μὴ τῷ χρόνῳ φρονήσεως ἐχουσῶν. αἱ δὲ ὥραν ἔχουσαι γάμου, ἐὰν ὁρῶσιν αὐτὸν, οὐδὲν ἀδικοῦνται παρὰ τῶν ὑβρίζειν θελόντων, καθὼς ἱστορεῖ Κλειτοφῶν.

ΛΥΚΟΡΜΑΣ ποταμός ἐστι τῆς Αἰτωλίας. μετωνομάσθη δὲ Εὔηνος, δι' αἰτίαν τοιαύτην. Ἴδας ὁ Ἀφαρέως παῖς, δι' ἐρωτικὴν ἐπιθυμίαν Μάρπησσαν ἁρπάσας, ἀπήνεγκεν εἰς Πλευρῶνα. κατηχηθεὶς δὲ περὶ τῶν συμβεβηκότων ὁ Εὔηνος, ἐπεδίωκεν τὸν ἐπίβουλον τῆς ἰδίας θυγατρός. γενόμενος δὲ κατὰ Λυκόρμαν, καὶ τῆς συλλήψεως ἀπελπίσας, ἑαυτὸν εἰς ποταμὸν ἔβαλεν. ὃς ἀπ' αὐτοῦ Εὔηνος μετωνομάσθη. γεννᾶται δ' ἐν αὐτῷ βοτάνη ἡ λόγχη παρόμοιος, ποιοῦσα πρὸς ἀμβλυωπίας ἄριστα. παράκειται δὲ αὐτῷ ὄρος Μύηνον καλούμενον, ἀπὸ Μυήνου τοῦ Τελέστορος καὶ Ἀλφεσιβοίας παιδός. οὗτος γὰρ ὑπὸ τῆς μητρυιᾶς φιλούμενος καὶ μὴ θέλων μιαίνειν τὴν κοίτην τοῦ γεννήσαντος, εἰς Ἀλφεῖον ὄρος ἀνεχώρησεν. Τελέστωρ δὲ ὁ ζηλωτὴς τῆς γυναικὸς, συσχηματισθεὶς τὴν ἐρημίαν μετὰ τῶν δορυφόρων κατὰ τοῦ τέκνου ληψόμενος ἐδίωκεν. Μύηνος δὲ φθάσας τοῦ πατρὸς τὰς ἀπειλὰς, κατεκρήμνισεν ἑαυτόν. τὸ δ' ὄρος κατὰ πρόνοιαν θεῶν, ἀπ' αὐτοῦ Μύηνον μετωνομάσθη. γεννᾶται δ' ἐν αὐτῷ λευκοΐου ἄνθος, ὃ μητρυιᾶς ὀνομασθείσης, μαραίνεται καθὼς ἱστορεῖ Δερκύλλος ἐν γ΄ περὶ ὀρῶν.

ΜΑΙΑΝΔΡΟΣ ποταμός τῆς Ἀσίας, ἐκαλεῖτο δὲ πρότερον, Ἀναβαίνων. μόνος γὰρ ἐκ πάντων τῶν ποταμῶν, ἀπὸ τῶν ἰδίων ἀρχόμενος πηγῶν, εἰς ἑαυτὸν παλινδρομεῖ. προσηγορεύθη δὲ Μαίανδρος, ἀπὸ Μαιάνδρου τοῦ Κερκάφου καὶ Ἀναξιβίας παιδός. ὃς πρὸς Πεσινουντίους πόλεμον ἔχων, ηὔξατο τῇ μητρὶ τῶν θεῶν, ἐὰν ἐγκρατὴς γένηται τῆς νίκης, θύσειν τὸν πρῶτον αὐτῷ συγχαρέντα ταῖς ἀνδραγαθίαις, τρόπαια φέρων. ὑποστρέψαντι δὲ τῷ προειρημένῳ, πρῶτος συνεχάρη συναντήσας ὁ παῖς Ἀρχέλαος, μετὰ τῆς μητρὸς καὶ τῆς ἀδελφῆς. ὁ δὲ τῆς



κατηχηθείς
συσχηματισθείς τὴν ἐρημίαν

Clitophō
Lycormas
Euenus
Idas
Aphareus
Marpessa
Euenus
Myenus
Myenus
Telestor
Alphesiboea
Alphios m
Dercyllus
Leucoio lapis herba
Mæāder fl
Anabænō
Mæāder
Cercaph
Anaxibia
Archela

προειρημένης Λακεδαιμονίας ἀναμνησθείς, κατ' ἀνάγκην, βωμοῖς κατήγαγεν τοὺς προσήκοντας. ἀθυμήσας δ' ἐπὶ τοῖς πραχθεῖσιν, ἔρριψεν ἑαυτὸν εἰς ποταμὸν ἀναβαίνοντα, ὃς ἀπ' αὐτοῦ Μαίανδρος προσηγορεύθη, καθὼς ἱστορεῖ Τιμόλαος ἐν α΄ Φρυγιακῶν. μέμνηται δὲ τούτων, καὶ Ἀγαθοκλῆς ὁ Σάμιος ἐν τῇ περὶ Πεσσινουντίων πολιτείᾳ. Δημόστρατος δὲ ὁ Ἀπαμεὺς, ἱστορίας μέμνηται τοιαύτης. Μαίανδρος ἀκμὴν στρατηγὸς χειροτονηθεὶς ἐξ ἐναντίας Πεσσινουντίων, καὶ παρ' ἐλπίδας τῆς νίκης ἐγκρατὴς γενόμενος, τὰ ἀναθέματα τῆς μητρὸς τῶν θεῶν, δέδωκε τοῖς στρατιώταις. κατὰ δὲ πρόνοιαν τῆς θεᾶς, τῶν σωφρονούντων λογισμῶν ἀφνιδίως ἀπαλλοτριωθεὶς, προσαπέκτεινεν τὴν γυναῖκα καὶ τὸν υἱόν. ὀλίγον δὲ σωφρονήσας, καὶ εἰς μετάνοιαν ἐπὶ τοῖς πραχθεῖσιν χωρήσας, ἑαυτὸν ἔβαλεν εἰς ποταμὸν, ὃς ἀπ' αὐτοῦ Μαίανδρος προσωνομάσθη. γεννᾶται δ' ἐν αὐτῷ λίθος, κατ' ἀντίφρασιν σώφρων καλούμενος. ὃν ἐὰν βάλῃς τινὸς εἰς κόλπον, ἐμμανὴς γίνεται, καὶ φονεύει τινὰ τῶν συγγενῶν. ἐξιλασάμενος δὲ τὴν μητέρα τῶν θεῶν, ἀπαλλάσσεται τοῦ πάθους. καθὼς ἱστορεῖ Δημάρατος ἐν γ΄ περὶ ποταμῶν. μέμνηται δὲ τούτων καὶ Ἀρχέλαος ἐν α΄ περὶ λίθων. παράκειται δ' αὐτῷ ὄρος, Σίπυλον τὴν προσηγορίαν ἔχον, ἀπὸ Σιπύλου τοῦ Ἀγήνορος καὶ Διοξίππης παιδός. οὗτος γὰρ μητροκτονήσας κατ' ἄγνοιαν, καὶ ὑπὸ Ἐρινύων οἰστρηλατηθεὶς, εἰς τὸ Κεραύνιον ὄρος ἦλθεν. καὶ διὰ λύπης ὑπερβολὴν, βρόχῳ τὸν βίον περιέγραψεν. τὸ δ' ὄρος κατὰ πρόνοιαν θεῶν, ἀπ' αὐτοῦ Σίπυλον ὠνομάσθη. γεννᾶται δ' ἐν αὐτῷ λίθος, παρόμοιος κυλίνδρῳ, ὃν οἱ εὐσεβεῖς υἱοὶ ὅταν εὕρωσιν ἐν τῷ τεμένει τῆς μητρὸς τῶν θεῶν, τιθέασιν, καὶ οὐδέποτε χάριν ἀσεβείας ἁμαρτοῦσιν. ἀλλὰ φιλοπάτορες ὑπάρχουσιν, καὶ πρὸς τοὺς προσήκοντας συμπαθοῦσιν. ὡς ἱστορεῖ Ἀγαθαρχίδης ὁ Σάμιος ἐν δ΄ περὶ λίθων. μέμνηται δὲ τούτων ἀκριβέστερον Δημάρατος ἐν δ΄ Φρυγίας. ΜΑΡΣΥΑΣ ποταμός ἐστι τῆς Φρυγίας, κατὰ πόλιν Κελαίνας κείμενος. προσηγορεύετο δὲ πρότερον

Timolaus
Agathocles
Demostratus
Sophro lapis
Demaratus
Archelaus
Sipylum mons
Sipylus
Agenor
Dioxippe
Marsyas
Celenae
Agatharchides samius
Demaretus



πηγὴ Μίδα, δι' αἰτίαν τοιαύτην. Μίδας βασιλεὺς Φρυγῶν, ἐρχόμενος τὰ ἐρημότερα τῆς χώρας, καὶ ἀνυδρίᾳ συνεχόμενος, ἥψατο τῆς γῆς, καὶ χρυσῆν ἀνέδωκεν πηγὴν, τοῦ ὕδατος χρυσοῦ γενομένου. καὶ ὑπόδιψος ὢν, καὶ τῶν ὑποτεταγμένων θλιβομένων, ἀνεκαλέσατο τὸν Διόνυσον. γενόμενος δ' ἐπήκοος ὁ θεὸς, δαψιλὲς ὕδωρ ἀνέτειλεν. κορεσθέντων δὲ τῶν Φρυγῶν, Μίδας τὸν ἐκ τῆς κρήνης καταρρέοντα ποταμὸν, Μίδα πηγὴν ἐκάλεσεν. μετωνομάσθη δὲ Μαρσύας, διὰ τοιαύτην αἰτίαν. νικηθέντος ὑπὸ Ἀπόλλωνος Μαρσύου καὶ ἐκδαρέντος, ἐκ τοῦ ῥεύσαντος αἵματος, ἐγεννήθησαν σάτυροί τε, καὶ ποταμὸς ὁμώνυμος Μαρσύας καλούμενος. καθὼς ἱστορεῖ Ἀλέξανδρος Κορνήλιος ἐν γ΄ Φρυγιακῶν. Εὐημερίδας δὲ ὁ Κνίδιος ἱστορίας μέμνηται τοιαύτης. ὁ ἀσκὸς Μαρσύου τῷ χρόνῳ διαπνευσθεὶς καὶ κατενεχθεὶς, ἔπεσεν ἀπὸ τῆς γῆς, εἰς τὴν Μίδα κρήνην. καὶ κατ' ὀλίγον καταφερόμενος, ἁλιεῖ τινι προσηνέχθη. κατὰ δὲ χρησμοῦ προσταγὴν Πεισίστρατος ὁ Λακεδαιμόνιος, παρὰ λείψανα τοῦ σατύρου πόλιν ἀπὸ τοῦ συγκυρήματος κτίσας, Νωρικὸν αὐτὴν προσηγόρευσεν. νωρικὸν δὲ οἱ Φρύγες τῇ σφῶν διαλέκτῳ τὸν ἀσκὸν καλοῦσιν. γεννᾶται δὲ ἐν τῷ ποταμῷ τούτῳ βοτάνη, αὐλὸς ὀνομαζομένη. ἣν ἐὰν πρὸς ἄνεμον σείσῃ τις, μουσικὴν ἔχει μελῳδίαν. καθὼς ἱστορεῖ Δέρκυλλος ἐν α΄ Σατυρικῶν. παράκειται δὲ αὐτῷ ὄρος, Βερεκύνθιον καλούμενον. τὴν προσηγορίαν ἔχον, ἀπὸ Βερεκύνθου τοῦ πρώτου ἱερέως γενομένου τῆς μητρὸς τῶν θεῶν. γεννᾶται δὲ ἐν αὐτῷ λίθος, καλούμενος μάχαιρα. ἔστι γὰρ σιδήρου παραπλήσιον. ὃν ἐὰν εὕρῃ τις, τῶν μυστηρίων ἐπιτελουμένων τῆς θεᾶς, ἐμμανὴς γίνεται. καθ' ὡς ἱστορεῖ Ἀγαθαρχίδης ἐν τοῖς Φρυγιακοῖς. ΣΤΡΥΜΩΝ ποταμός ἐστι τῆς Θρᾴκης, παρὰ πόλιν Ἠδωνίδα. προσηγορεύετο δὲ πρότερον Παλαιστῖνος, ἀπὸ Παλαιστίνου τοῦ Ποσειδῶνος. οὗτος γὰρ πρὸς τοὺς ἀστυγείτονας ἔχων πόλεμον, καὶ εἰς ἀσθένειαν ἐμπεσὼν, τὸν υἱὸν Ἁλιάκμονα στρατηγὸν ἔπεμψεν. ὁ δὲ προπετέστερον μαχόμενος, ἀνῃρέθη. περὶ δὲ τῶν συμ-



Fons midae
Marsyas f.
Midas
Marsyas f. unde dictus
Alexander cornelius
Euemerides
Noricu[m] V.
Pisistratus
Aulos herb[a]
Dercyllus
Berecythius mons
Berecythus
Machaera lapis
Agatharchides
Palaestinus
Haliacmo[n]
Strymo[n] f.
Hedonis V.
Palaestinus

τῶν συμβεβηκότων ἀκούσας παλαιστῖνος, καὶ λαθὼν τοὺς δορυφόρους, διὰ λύπης ὑπερβολὴν, ἑαυτὸν ἔρριψεν εἰς ποταμὸν κόνοζον. ὃς ἀπ' αὐτοῦ, παλαιστῖνος ὠνομάσθη. στρυμὼν δὲ ἄρεως παῖς καὶ ἑλίκης, ἀκούσας περὶ τῆς ῥήσου τελευτῆς, καὶ ἀθυμίᾳ συσχεθεὶς, ἑαυτὸν ἔρριψεν εἰς ποταμὸν παλαιστῖνον. ὃς ἀπ' αὐτοῦ στρυμὼν μετωνομάσθη. γεννᾶται δ' ἐν αὐτῷ λίθος, παυσίλυπος καλούμενος. ὃν ἐὰν εὕρῃ τίς πενθῶν, παύεται παραχρῆμα τῆς κατεχούσης αὐτὸν συμφορᾶς. καθὼς ἱστορεῖ ἰάσων βυζάντιος, ἐν τοῖς τραγικοῖς. παράκειται δ' αὐτῷ ὄρη, ῥοδόπη καὶ αἶμος. οὗτοι ἀδελφοὶ τυγχάνοντες, καὶ εἰς ἐπιθυμίαν ἀλλήλων ἐμπεσόντες, ὁ μὲν αὐτὴν ἥραν προσηγόρευσεν, ἡ δὲ τὸν ἀγαπώμενον δία, μισοπονήρως. οἱ δ' ἀτιμούμενοι θεοὶ τὴν πρᾶξιν βαρέως ἐνεγκόντες, εἰς ὁμώνυμα ὄρη μετέβαλον ἀμφοτέρους. γεννῶνται δ' ἐν αὐτοῖς λίθοι φιλάδελφοι λεγόμενοι. κορακοὶ τὴν χρόαν, ἀνθρωπόμορφοι. οὗτοι τεθέντων χωρὶς ἀλλήλων, καὶ ὀνομασθέντων, διαλύονται παραχρῆμα καὶ ἰδίας. καθὼς ἱστορεῖ θράσυλλος μενδήσιος ἐν γ΄ περὶ λίθων. μέμνηται δὲ τούτων ἀκριβέστερον, ἐν τοῖς τραγικοῖς.

ΣΑΓΑΡΙΣ ποταμός ἐστι τῆς φρυγίας. προσηγορεύετο δὲ πρότερον ξηροβάτης, ἀπὸ τοιούτου συγκυρήματος. τῷ γὰρ θερινῷ καταστήματι, ξηρὸς ὁρᾶται πολλάκις. ἐκλήθη δὲ σάγαρις, δι' αἰτίαν τοιαύτην. σάγαρις μυγδόνιος ὁ ἀλεξιρόης, πλεῖστα μυστήρια τῆς μητρὸς τῶν θεῶν ἐξουθενίζων, τοὺς ἱερεῖς καὶ γάλλους αὐτῆς ὕβριζεν. ἡ δὲ μισοπονήρως ἐνεγκοῦσα τὴν πρᾶξιν, τῷ προειρημένῳ μανίαν ἐνέσκηψεν. ὁ δὲ τῶν φρονίμων λογισμῶν ἐκστὰς, ἑαυτὸν ἔβαλεν εἰς ποταμὸν ξηροβάτην, ὃς ἀπ' αὐτοῦ σάγαρις μετωνομάσθη. γεννᾶται δ' ἐν αὐτῷ λίθος, αὐτόγλυφος καλούμενος. εὑρίσκεται γὰρ, τετυπωμένην ἔχων τὴν μητέρα τῶν θεῶν. τοῦτον τὸν λίθον ἐὰν εὕρῃ τίς σπανίως εὑρισκόμενον, ἀποτεμνομένων, οὐ ξενίζεται. ἀλλ' ἐμψύχως φέρει, τῆς παρὰ φύσιν πράξεως τὴν ὄψιν. καθὼς ἱστορεῖ ἀρετάζης ἐν τοῖς φρυγιακοῖς. παράκειται δὲ αὐτῷ ὄρος, βαλληναῖον καλούμενον.

ὅπερ

Conozus fl.
Palestinus Idé
Strymó
Strymo
Helice
Rhesus
Pausilyp lapis
Iaso byzátius
Rhodope
Aemus
Thrasy
Philadelphi lapides
Sagaris fl.
Xerabaté
Galli sacerdoté
Sagaris Mydonis
Alexiroe
Autoglyph lapis
Aretazes
Balleneū M.



ὅπερ ἐστὶ μεθερμηνευόμενον, βασιλικόν. τὴν προσηγορίαν ἔχον ἀπὸ βαλληναίου τοῦ γανυμήδους καὶ μηδησιγίστης παιδός. οὗτος γὰρ τὸν γεννήσαντα θεασάμενος ἀρπαζόμενον, τοῖς ἐγχωρίοις καὶ βαλληναίου ἑορτὴν κατέδειξεν μέχρι νῦν καλουμένην. γεννᾶται δ' ἐν αὐτῷ λίθος, καλούμενος ἀστήρ. οὗτος εἴωθεν νυκτὸς βαθείας, πυρὸς δίκην λάμπειν, τοῦ φθινοπώρου τὴν ἀρχὴν λαμβάνοντος. προσαγορεύεται δὲ τῇ διαλέκτῳ τῶν ἐγχωρίων βαλλὴν, ὅπερ μεθερμηνευόμενόν ἐστι βασιλεύς. καθὼς ἱστορεῖ ἑρμησιάναξ κύπριος ἐν β΄ φρυγιακῶν.

ΣΚΑΜΑΝΔΡΟΣ ποταμός ἐστι τῆς τρωάδος. ἐκαλεῖτο δὲ πρότερον, ξάνθος. μετωνομάσθη δὲ, δι' αἰτίαν τοιαύτην. σκάμανδρος, κορύβαντος καὶ δημοδίκης παῖς, τῶν τῆς ῥέας μυστηρίων τελουμένων αἰφνιδίως θεασάμενος, ἐμμανὴς ἐγένετο. καὶ μεθ' ὁρμῆς ἐπὶ ξάνθον τὸν ποταμὸν ἐνεχθεὶς, ἑαυτὸν εἰς τοῦτον ἔβαλεν, ὃς ἀπ' αὐτοῦ σκάμανδρος μετωνομάσθη. γεννᾶται δ' ἐν αὐτῷ βοτάνη, σεῖστρος καλουμένη, παραπλήσιος ἐρεβίνθῳ. κόκκους δὲ ἔχει, σειομένους, ὅθεν τὴν προσηγορίαν ἔλαβεν. ταύτην οἱ κατέχοντες, οὔτε φαντασίαν, οὔτε θεὸν ὀφθέντα φοβοῦνται. καθὼς ἱστορεῖ δημόστρατος ἐν β΄ περὶ ποταμῶν. παράκειται δ' αὐτῷ ὄρος, ἴδη, τὸ πρότερον δὲ ἐκαλεῖτο γάργαρον, ὅπου διὸς καὶ μητρὸς θεῶν βωμοὶ τυγχάνουσιν. ἴδη δὲ μετωνομάσθη, δι' αἰτίαν τοιαύτην. αἰγέσθιος ὁ γεννηθεὶς ἐκ τοῦ διοσφόρου, κόρης ἴδης ἐρασθεὶς, συνῆλθεν τῇ προειρημένῃ, καὶ ἐγέννησεν ἐξ αὐτῆς τοὺς εἰρημένους ἰδαίους δακτύλους. γενομένης δ' αὐτῆς ἄφρονος ἐν τῷ τῆς ῥέας ἀδύτῳ, αἰγέσθιος εἰς τιμὴν τῆς προειρημένης, τὸ ὄρος ἴδην μετωνόμασεν. γεννᾶται δ' ἐν αὐτῷ λίθος κρύφιος, ὃς μόνος, τοῖς μυστηρίοις τῶν θεῶν φαίνεται. καθὼς ἱστορεῖ ἡράκλειτος σικυώνιος ἐν β΄ περὶ λίθων.

ΤΑΝΑΙΣ ποταμός ἐστι τῆς σκυθίας. ἐκαλεῖτο δὲ πρότερον ἀμαζόνιος, διὰ τὸ τὰς ἀμαζόνας λούεσθαι ἐν αὐτῷ. μετωνομάσθη δὲ, δι' αἰτίαν τοιαύτην. τάναϊς βηρώσσου καὶ λυσίππης

g 3 μιᾶς

Ballenaeus
Ganymedes
Medesigiste
Aster lapis
Hermesianax
Scamáder
Xanthus
Scamader
Corybas
Demodice
Sistros herba
Demostratus
Ida M.
Idé Gargaro
Aegesthius
Diosphorus
Ida
Idei dactyli
Heraclitus
Cryphius lapis
Tanais
Berossus
Lysippe Tanais
Amazonius
fl.

μιᾶς τῶν ἀμαζόνων παῖς, σωφρονέστατος ὑπάρχων, τὸ γυναικεῖον γένος ἐμίσει, μόνον ἄρη σεβόμενος. ἐν ἀτιμίᾳ δὲ εἶχεν καὶ τὸ γαμεῖν. ἡ δὲ ἀφροδίτη ἐπιθυμίαν αὐτῷ τῆς μητρὸς ἐνέσκηψεν. ὁ δὲ κατ' ἀρχὰς μὲν, ἀντεμάχετο τῷ πάθει. νικώμενος δὲ ὑπὸ τῆς ἀνάγκης τῶν οἴστρων, καὶ εὐσεβὴς διαμεῖναι βουλόμενος, ἑαυτὸν ἔρριψεν εἰς τὸν ἀμαζόνιον ποταμὸν, ὃς ἀπ' αὐτοῦ τάναϊς μετωνομάσθη. γεννᾶται δὲ ἐν αὐτῷ φυτὸν, ἁλίνδα καλούμενον. παρόμοια δὲ ἔχει τὰ φύλλα, κράμβης. τοῦτο λειοτριβοῦντες οἱ τὴν χώραν κατοικοῦντες, ἀλείφονται τῷ ξύλῳ, καὶ θερμαινόμενοι, τὸ ψῦχος εὐρώστως καρτεροῦσιν. καλοῦσι δὲ τῇ σφῶν διαλέκτῳ, βηρώσσου ἔλαιον. γεννᾶται δ' ἐν αὐτῷ καὶ λίθος κρυστάλλῳ παραπλήσιος, ὢν ἀνθρωπόμιμος, ἐστεμμένος. ὅταν δὲ ἀποθάνῃ βασιλεὺς, ἀρχαιρεσίας παρὰ τὸν ποταμὸν τελοῦσιν. καὶ ὃς ἂν εὑρεθῇ τὸν λίθον ἐκεῖνον ἔχων, παραχρῆμα βασιλεὺς γίνεται, καὶ τὰ σκῆπτρα παραλαμβάνει τοῦ τελευτήσαντος. καθὼς ἱστορεῖ κτησιφῶν ἐν γ περὶ φυτῶν. μέμνηται δὲ τούτων καὶ ἀριστόβουλος ἐν α περὶ λίθων. παράκειται δὲ αὐτῷ ὄρος, τῇ διαλέκτῳ τῶν ἐνοικούντων προσαγορευόμενον βριξάβα, ὅπερ μεθερμηνευόμενον κριοῦ μέτωπον. ὠνομάσθη δὲ, διὰ τοιαύτην αἰτίαν. φρίξος ἀποβαλὼν παρὰ τὸν εὔξεινον πόντον ἕλλην τὴν ἀδελφὴν, καὶ διὰ τὰ δίκαια τῆς φύσεως συγκεχυμένος, ἐν ταῖς ἀκρωρείαις λόφου τινὸς κατέλυσεν. βαρβάρων δέ τινων θεασαμένων αὐτὸν, καὶ μεθ' ὅπλων ἀναβαινόντων, ὁ χρυσόμαλλος κριὸς προκύψας καὶ ἰδὼν τὸ πλῆθος τῶν ἐπερχομένων, ἀνθρωπίνῃ φωνῇ χρησάμενος, διεγείρει τὸν φρίξον ἀναπαυόμενον. καὶ ἀναλαβὼν τὸν προειρημένον, μέχρι κόλχων εἰσήνεγκεν. ὁ δὲ λόφος ἀπὸ τοῦ συγκυρήματος, κριοῦ μέτωπον προσηγορεύθη. γεννᾶται δ' ἐν αὐτῷ βοτάνη τῇ διαλέκτῳ τῶν βαρβάρων, φρίξα καλουμένη. ὅπερ μεθερμηνευόμενόν ἐστι, μισοπόνηρος. πηγάνῳ δέ ἐστι παρόμοιος. ἣν οἱ πρόγονοι κρατοῦντες, οὐδὲν ὑπὸ μητρυιῶν ἀδικοῦνται. μάλιστα δὲ φύεται, παρὰ βορέου προσαγορευόμενον ἄντρον. συλλεγομένη δ' ἐστὶν

Halinda arbor
Berossi oleú
Ctesiphó
Aristobulus
Brixabas
Criu metopó
Phrix9
Helle
Phrixa herba
Boreæ antrú



ἐστὶν ψυχροτέρα χιόνος. ὅταν δέ τινι ἐκ μητρυιᾶς ἐπιβουλὴ γένηται, φλόγας ἀναδίδωσιν. καὶ τοῦτο σύσσημον ἔχοντες, οἱ φοβούμενοι τὰς προγεγαμημένας, ἐκκλίνουσιν τῶν προκειμένων φόβων τὰς ἀνάγκας. καθὼς ἱστορεῖ ἀγάθων ὁ σάμιος ἐν β σκυθικῶν.

ΘΕΡΜΩΔΩΝ ποταμός ἐστι σκυθίας, τὴν προσηγορίαν εἰληφὼς, ἀπὸ τοῦ συγκυρήματος. ἐκαλεῖτο δὲ πρότερον, κρύσταλλος. ἐκεῖνος γὰρ καὶ θέρει πήσσεται, τῆς τοποθεσίας τὴν ἰδέαν διαγούσης. μετωνομάσθη δὲ διὰ αἰτίαν τοιαύτην.

Thermodó fl
Crystallus

*

ΝΕΙΛΟΣ ποταμός ἐστι τῆς αἰγύπτου, παρὰ πόλιν ἀλεξάνδρειαν. ἐκαλεῖτο δὲ τὸ πρότερον μέλας, ἀπὸ μέλανος τοῦ ποσειδῶνος. ὕστερον δὲ αἴγυπτος ἐπεκλήθη, διὰ αἰτίαν τοιαύτην. αἴγυπτος ἡφαίστου καὶ λευκίππης παῖς, βασιλεὺς ὑπῆρχεν τῶν τόπων. δι' ἐμφύλιον δὲ πόλεμον μὴ ἀναβαίνοντος τοῦ νείλου, καὶ λιμῷ συνεχομένων τῶν ἐγχωρίων ἔχρησεν ὁ πύθιος τὴν εὐφορίαν, ἐὰν ὁ βασιλεὺς ἀποτρόπαιον θεοῖς, τὴν θυγατέρα θύσῃ. θλιβόμενος δὲ ὑπὸ τῶν κακῶν ὁ τύραννος, τοῖς βωμοῖς ἀγανίππην προσήγαγεν. τῆς δὲ διασπασθείσης, ὁ αἴγυπτος δι' ὑπερβολὴν τῆς λύπης, ἑαυτὸν ἔρριψεν εἰς ποταμὸν μέλανα. ὃς ἀπ' αὐτοῦ αἴγυπτος μετωνομάσθη. προσηγορεύθη δὲ νεῖλος, διὰ αἰτίαν τοιαύτην. γαρμαθώνη τῶν κατ' αἴγυπτον βασίλισσα τόπων, ἀποβαλοῦσα τὸν υἱὸν αὐτῆς χρυσοχόαν ἀκμῇ ἔφηβον, μετὰ τῶν οἰκετῶν ἐθρήνει συμπαθῶς τὸν προειρημένον. ἴσιδος δὲ ἀφνιδίως ἐπιφανείσης, τὴν λύπην πρὸς καιρὸν ὑπερέθετο. καὶ προσποιητὴν χαρὰν σκεψαμένη, τὴν θεὸν ὑπεδέξατο φιλανθρώπως. ἡ δὲ τὴν διάθεσιν τούτων ἀμείψασθαι βουλομένη τῆς εὐσεβείας, ὄσιριν παρεκέλευσεν, ὅπως ἀγάγῃ τὸν υἱὸν αὐτῆς ἐκ τῶν

κατὰ

Nilus fl
Melas
Aegypt9
Melas
Aegypt9
Leucippe
Agamippe
Garmathone
Chrysocoas

κατὰ χθονίων τόπων. τούτου δὲ ταῖς δεήσεσι τῆς γυναικὸς συμπε-
εισενεχθέντος, κέρβερος ὃν ἔνιοι καλοῦσι φοβερόν, ὑλάκτησεν.
νεῖλος δὲ τῆς γαρμαθώνης ἀνήρ, ἀφνιδίως ἔνθεος γενόμενος,
ἑαυτὸν ἔρριψεν εἰς ποταμὸν καλούμενον αἴγυπτον, ὃς ἀπ᾽ αὐτοῦ
νεῖλος μετωνομάσθη. γεννᾶται δ᾽ ἐν αὐτῷ λίθος κυάμῳ παρό-
μοιος. ὃν ἂν κύνες ἴδωσιν, οὐχ ὑλακτοῦσιν. ποιεῖ δὲ πρὸς τοὺς δαι-
μονιζομένους. ἅμα γὰρ προστεθῆναι ταῖς ῥισίν, ἀποτρέχει τὸ δαι-
μόνιον. γεννῶνται δὲ καὶ ἄλλοι λίθοι κόλλωτες καλούμενοι. τού-
τους κατὰ τὴν ἀσέβειαν τοῦ νείλου, συλλέγουσαι χελιδόνες, κα-
τασκευάζουσι τὸ προσαγορευόμενον χελιδόνιον τεῖχος. ὅπερ
ἐπέχει τοῦ ὕδατος τὸν ῥοῖζον, καὶ οὐκ ἐᾷ κατακλυσμῷ φθείρε-
σθαι τὴν χώραν. καθὼς ἱστορεῖ θράσυλλος ἐν τοῖς αἰγυπτιακοῖς.
παράκειται δὲ αὐτῷ ὄρος, ἄργιλλον καλούμενον ἀπὸ αἰτίας τοι-
αύτης. ζεὺς δι᾽ ἐρωτικὴν ἐπιθυμίαν, ἐκ λύκτου πόλεως κρητικῆς,
ἄργην νύμφην ἁρπάσας, ἀπήνεγκεν εἰς ὄρος τῆς αἰγύπτου ἄρ-
γιλλον καλούμενον. καὶ ἐγέννησεν ἐξ αὐτῆς υἱόν, καλούμενον διό-
νυσον. ὃς ἀκμάσας, εἰς τιμὴν τῆς μητρός, τὸν λόφον ἄργιλλον με-
τωνόμασεν. στρατολογήσας δὲ πᾶνας καὶ σατύρους, ἰδίοις σκή-
πτροις ἰνδοὺς ὑπέταξεν. νικήσας δὲ καὶ ἰβηρίαν, πᾶνα κατέλι-
πεν ἐπιμελητὴν τῶν τόπων. ὃς τὴν χώραν ἀπ᾽ αὐτοῦ, πανίαν με-
τωνόμασεν. ἣν οἱ μεταγενέστεροι παραγώγως, σπανίαν προσηγό-
ρευσαν. καθὼς ἱστορεῖ σωσθένης ἐν ιγ᾽ ἰβηρικῶν.

ΕΥΡΩΤΑΣ. ἵμερος ταϋγέτης νύμφης καὶ λακεδαί-
μονος παῖς, διὰ μῆνιν ἀφροδίτης κατ᾽ ἄγνοιαν ἐν παννυχίδι τὴν
ἀδελφὴν κλεοδίκην βιασάμενος, ἔφθειρεν. τῇ δὲ ἐπιούσῃ τῶν ἡ-
μερῶν, κατηχηθεὶς περὶ τῶν συμβεβηκότων καὶ ἀθυμήσας, διὰ λύ-
πης ὑπερβολήν, ἔρριψεν ἑαυτὸν εἰς ποταμὸν μαραθῶνα. ὃς ἀπ᾽
αὐτοῦ, ἵμερος μετωνομάσθη. ὕστερον δὲ εὐρώτας ἐκλήθη, δι᾽ αἰτί-
αν τοιαύτην. λακεδαιμονίων πρὸς ἀθηναίους πόλεμον ἐχόντων,
καὶ τὴν πανσέληνον περιμενόντων, εὐρώτας ὁ τῶν προειρημένων
στρατηγὸς καταφρονήσας πάσης δεισιδαιμονίας, συνέβαλε τῇ

παρα-

Cerberus / Phoberos → Idé
Δαιμονιζόμενοι
Collotes lapides
Statius / Et ripa coerceat undas cecropio stagnata luto
Thrasyllus
Chelidonius murus
Argilli Mons
Lyctos cretae V.
Arge
Hispania unde
Dionysius
Bacchus hispaniam subegit
Sosthenes
Marathó
Himer
Eurotas fl.
Himer
Taygete
Lacedaemó
Cleodice
Eurotas
Hispania → Unde
Spania
Statij locus



παρατάξει, καίπερ ὑπὸ ἀστραπῶν τε καὶ κεραυνῶν κωλυόμε-
νος. ἀποβαλὼν δὲ τὸ στράτευμα καὶ λύπῃ σχεθείς, ἑαυτὸν ἔρρι-
ψεν εἰς τὸν ποταμὸν τὸν ἵμερον, ὃς ἀπ᾽ αὐτοῦ εὐρώτας μετωνομά-
σθη. γεννᾶται δ᾽ ἐν αὐτῷ λίθος, περικεφαλαίᾳ παρόμοιος, θρα-
σύδειλος προσαγορευόμενος. ἅμα γὰρ σάλπιγγος ἀκούει, ἐπὶ
τὴν ὄχθην προχωρεῖ. τῶν δ᾽ ἀθηναίων ὀνομασθέντων, καὶ εἰς τὸν
βυθὸν ἅλλεται. κεῖνται δὲ πολλοὶ καθιερωθέντες ἐν τῷ ναῷ τῆς
χαλκιοίκου ἀθηνᾶς. καθὼς ἱστορεῖ νικάνωρ ὁ σάμιος ἐν β᾽ περὶ
ποταμῶν. παράκειται δὲ αὐτῷ ὄρος, ταΰγετον προσονομαζόμε-
νον. τὴν προσηγορίαν εἰληφός, ἀπὸ ταϋγέτης τῆς νύμφης. ἣν ὁ
ζεὺς βιασάμενος, ἔφθειρεν. ἡ δὲ λύπῃ συσχεθεῖσα, βρόχῳ τὸν
βίον παρέγραψεν, ἐν ἀκρωρείαις ὄρους ἀμυκλαίου. ὅπερ ἀπ᾽ αὐ-
τῆς ταΰγετον προσωνομάσθη. γεννᾶται δ᾽ ἐν αὐτῷ βοτάνη, κα-
λουμένη χαρίσιον, ἣν γυναῖκες ἔαρος ἀρχομένου τοῖς τραχήλοις
περιάπτουσι, καὶ ὑπὸ τῶν ἀνδρῶν συμπαθέστερον ἀγαπῶν-
ται. καθὼς ἱστορεῖ κλεάνθης ἐν α᾽ περὶ ὀρῶν. μέμνηται δὲ τούτων
ἀκριβέστερον, σωσθένης ὁ κνίδιος, παρ᾽ οὗ τὴν ὑπόθεσιν εἴληφεν
ἑρμογένης.

ΙΝΑΧΟΣ ποταμός ἐστι τῆς ἀργείας χώρας.
ἐκαλεῖτο δὲ τὸ πρότερον καρμάνωρ. ἁλιάκμων δὲ τῷ γένει τιρύν-
θιος, ἐν τῷ κοκκυγίῳ ποιμαίνων ὄρει, τὸν κατ᾽ ἄγνοιαν τῇ ῥέᾳ συγγι-
νόμενον, τὸν δία θεασάμενος, ἐμμανὴς ἐγένετο, καὶ μεθ᾽ ὁρμῆς
ἐνεχθείς, ἔβαλεν ἑαυτὸν εἰς ποταμὸν καρμάνορα, ὃς ἀπ᾽ αὐτοῦ ἁ-
λιάκμων μετωνομάσθη. προσηγορεύθη δὲ ἴναχος, δι᾽ αἰτίαν τοι-
αύτην. ἴναχος ὠκεανοῦ παῖς, φθαρείσης τῆς θυγατρὸς αὐτοῦ
ἰοῦς ὑπὸ διός, τὸν θεὸν βλασφήμοις λοιδορίαις ἐπέπληττεν, κα-
τόπιν ἀκολουθῶν. ὁ δὲ ἀναξιοπαθήσας, ἔπεμψεν αὐτῷ τισιφό-
νην μίαν τῶν ἐριννύων. ἀφ᾽ ἧς ἐξοιστρηλατούμενος, ἔβαλεν ἑαυτὸν
εἰς ποταμὸν ἁλιάκμωνα, ὃς ἀπ᾽ αὐτοῦ ἴναχος μετωνομάσθη. γεν-
νᾶται δ᾽ ἐν αὐτῷ βοτάνη, κύουρα καλουμένη, πηγάνῳ προσό-
μοιος. ἣν αἱ γυναῖκες, ὅταν ἀκινδύνως ἐκτρῶσαι θελήσωσιν,
ἐν οἴνῳ βεβρεγμένην τοῖς ὀμφαλοῖς ἐπιτιθέασιν. εὑρίσκεται δ᾽

h ἐν αὐ-

Thrasydelus lapis
Chalcioecus minerua
Nicanor
Taygete
Taygetu unde Amyclea
Cleathes
charisio herba
Sosthenes
Hermogenes
Inach? Carmanor
Halacmó
Inach Io
Coccygium mons
Halacmú H.
Cyura herba

ἐν αὐτῷ καὶ λίθος, βηρύλλῳ παρόμοιος. ὃν ἐὰν κρατήσωσιν οἱ ψευδομαρτυρεῖν ἐθέλοντες, μέλας γίνεται. κεῖνται δὲ πολλοὶ ἐν τῷ τεμένει τῆς προσυμναίας ἥρας, καθὼς ἱστορεῖ τιμόθεος ἐν τοῖς ἀργολικοῖς. μέμνηται δὲ τούτων, καὶ ἀγάθων ὁ σάμιος ἐν β΄ περὶ ποταμῶν. ἀγαθοκλῆς δὲ μιλήσιος ἐν τοῖς περὶ ποταμῶν, φησὶ τὸν ἴναχον διὰ πανουργίαν ὑπὸ τοῦ διὸς κεραυνωθέντα, ξηρὸν γενέσθαι. παράκεινται δ' αὐτῷ ὄρη, μυκῆναι τε, καὶ ἀπαίσαντος, καὶ κοκκύγιον, καὶ ἀθήναιον. τὰς προσηγορίας εἰληφότα διὰ τοιαύτην αἰτίαν. τὸ μὲν ἀπαίσαντον, ἐκαλεῖτο πρότερον σεληναῖον. ἥρα γὰρ παρ' ἡρακλέους δίκας βουλομένη λαβεῖν, συνεργὸν παρέλαβεν τὴν σελήνην. ἡ δὲ ἐπῳδαῖς χρησαμένη μαγοις, ἀφροῦ κίστην ἐπλήρωσεν. ἐξ ἧς γεννηθέντα λέοντα μέγιστον, ἶρις ταῖς ἰδίαις ζώναις περισφίγξασα, κατήνεγκεν εἰς ὄρος ὀφέλτιον. ὁ δὲ ποιμένα τινὰ τῶν ἐγχωρίων ἀπαίσαντον σπαράξας, ἀνεῖλεν. κατὰ δὲ θεῶν πρόνοιαν ὁ τόπος, ἀπαίσαντος ἀπ' αὐτοῦ μετωνομάσθη. καθὼς ἱστορεῖ δημόδοκος ἐν α΄ ἡρακλείας. γεννᾶται δ' ἐν αὐτῷ βοτάνη, σελήνη καλουμένη. τὸν δὲ καταφερόμενον ἀπ' αὐτῆς ἀφρόν, περὶ τὴν ἀρχὴν τοῦ θέρους οἱ ποιμένες αἴροντες, ἀλείφουσι τοὺς πόδας, καὶ οὐδὲν ὑπὸ τῶν ἑρπετῶν ἀδικοῦνται. μυκῆναι δὲ ἐκαλοῦντο τὸ πρότερον ἄργιον, ἀπὸ ἄργου τοῦ πανόπτου. μετωνομάσθη δὲ μυκῆναι, δι' αἰτίαν τοιαύτην. περσέως μέδουσαν ἀποκτείναντος, σθενὼ καὶ εὐρυάλη ὡς τῆς προειρημένης ἀδελφαὶ τῆς πεφονευμένης, τὸν ἐπίβουλον ἐπεδίωκον. γενόμεναι δὲ κατ' ἄκρον τὸν λόφον, καὶ ἀπελπίσασαι τῆς συλλήψεως, διὰ τὴν συμπάθειαν μυκηθμὸν ἀνέδωκαν. οἱ δ' ἐγχώριοι τὴν ἀκρώρειαν ἀπὸ τοῦ συγκυρήματος, μυκήνας μετωνόμασαν. καθὼς ἱστορεῖ κτησίας ἐφέσιος ἐν α΄ περσηΐδος. χρύσερμος δὲ ὁ κορίνθιος ἐν α΄ πελοποννησιακῶν, ἱστορίας μέμνηται τοιαύτης. περσέως φερομένου μετεώρου, καὶ κατὰ τὸν λόφον γενομένου ἄκρον, ἐξέπεσεν αὐτοῦ τῆς λαβῆς τοῦ ξίφους ὁ μύκης. γοργοφόνος δὲ ὁ βασιλεὺς ἐπιδαυρίων, ἐκπεσὼν τῆς ἀρχῆς, ἔλα-

βεν

Prosymnæa iuno — Timothe(us) — Mycenæ — Agatho — Agathocl(es) — Apæsantus — Coccygio — Athenæu — Apæsanto — Selenæu — Mõs — Opheltio mõs — Apæsant(us) — Selene herba — Demodocus — Mycenæ Argiõ — Arg(us) — Perse(us) — Ctesias — Chrysermus — Gorgophon(us)

Argus panopte



βεν χρησμὸν ἐμπεριελθεῖν τὰς ἀργολικὰς πόλεις. καὶ ὅπου ἐὰν εὕρῃ ξίφους μύκητα, ἐκεῖ κτίσαι πόλιν. γενόμενος δὲ κατὰ τὸ ἄργιον ὄρος, καὶ εὑρὼν τὴν ἐλεφαντίνην λαβήν, πόλιν ἔκτισεν, ἣν ἀπὸ τοῦ συγκυρήματος προσηγόρευσεν μυκήνας. γεννᾶται δ' ἐν αὐτῷ λίθος, κορύβας καλούμενος, τῇ χρόᾳ κόρακος. ὃν ἐὰν εὕρῃς καὶ ἔχῃς ἐν τῷ σώματι περικείμενον, κατ' οὐδὲν φοβῇ τὰς τερατώδεις ὄψεις. τὸ δ' ὄρος, ἀπαίσαντος τοῦ ἀκρισίου. κυνηγετῶν γὰρ κατ' ἐκεῖνον τὸν τόπον, καὶ πατήσας ἑρπετὸν δηλητήριον, ἐτελεύτησεν. ὁ δὲ βασιλεὺς τὸν υἱὸν θάψας, λόφον ἀπαίσαντον μετωνόμασεν, καλούμενον σελινούντιον. ὄρος δὲ κοκκύγιον ὠνομάσθη, δι' αἰτίαν τοιαύτην. ζεὺς ἥρας τῆς ἀδελφῆς ἐρασθείς, καὶ δυσωπούμενος τὴν ἀγαπωμένην, ἐγέννησεν ἐξ αὐτῆς ἄρρεν. τὸ γοῦν καλούμενον ὄρος λυκήϊον, ἀπὸ τοῦ συγκυρήματος, κοκκύγιον ὠνομάσθη. καθὼς ἱστορεῖ ἀγαθώνυμος ἐν περσίδι. φύεται δὲ ἐν αὐτῷ δένδρον, παλίνουρος καλούμενον. ἐφ' ᾧ ἄν τι καθίσῃ τῶν ἀλόγων ζώων, ὡς ὑπὸ ἰξοῦ κατέχεται, πάρεξ κόκκυγος. τούτου γὰρ φείδεται. καθὼς κτησιφῶν ἐν α΄ περὶ δένδρων. ἀθήναιον δὲ ὄρος ἔλαβεν τὴν προσηγορίαν, ἀπὸ ἀθηνᾶς. μετὰ γὰρ τὴν τοῦ ἰλίου πόρθησιν, διομήδης εἰς ἄργος ὑποστρέψας, εἰς τὸν κεραύνιον ἀνέβη λόφον. καὶ τέμενος ἀθηνᾶς κατασκευάσας, τὸ ὄρος ἀπὸ τῆς θεᾶς ἀθήναιον μετωνόμασεν. γεννᾶται δ' ἐν τῇ ἀκρωρείᾳ ῥίζα, παρόμοιος πηγάνῳ, ἣν ἐὰν γυνὴ φάγῃ τις κατ' ἄγνοιαν, ἐμμανὴς γίνεται. καλεῖται δὲ ἀδράστεια, καθὼς ἱστορεῖ πλησίμαχος ἐν β΄ νόστων.

ΑΛΦΕΙΟΣ ποταμός ἐστι τῆς ἀρκαδίας, κατὰ πίσαν τῆς ὀλυμπίας. ἐκαλεῖτο δὲ τὸ πρότερον στύμφηλος, ἀπὸ στυμφήλου τοῦ ἄρεως καὶ δορμοθέας παιδός. οὗτος γὰρ τὸν Φίλιππον τὸν υἱὸν ἀλκμαίωνα ἀποβαλών, καὶ ἀθυμίᾳ συσχεθείς, ἑαυτὸν ἔρριψεν εἰς ποταμὸν νύκτιμον, ὃς καὶ ἀπ' αὐτοῦ στύμφηλος μετωνομάσθη. ἀλφειὸς δὲ ἐκλήθη, δι' αἰτίαν τοιαύτην. ἀλφειὸς εἷς τῶν τοῦ γένους ἀφ' ἡλίου καταγαγόντων, ἁμιλληθεὶς κερκάφῳ τῷ ἀδελφῷ περὶ

 ἀρετῆς

μύκητα ξίφ — Mycenæ V. — Corybas lap — Apæsant(us) — Apæsantus M. — Acrisi(us) — Selinutius — Coccygiũ M — Dyceiũ — Agathonymus — Palinur(us) arbor — Ctesipho — Athenæu M — Ceraunios — Adrastea radix — Plesimach(us) — Alpheus — Stymphel(us) — Nyctim(us) — Styphel(us) — Dormothea — Alcmæo — Alphe(us) — Cercaph(us)

ἀρετῇ, ἀνεῖλεν τὸν εἰρημένον. καὶ ὑπὸ ποιμένων ἐλαυνόμενος, ἔβαλεν ἑαυτὸν εἰς ποταμὸν νύκτιμον, ὃς καὶ ἀπ' αὐτοῦ ἀλφειὸς μετωνομάσθη. γεννᾶται δ' ἐν τῷ ποταμῷ τούτῳ βοτάνη, κεγχρῖτις προσαγορευομένη, μελικήρῳ παρόμοιος, ἣν οἱ ἰατροὶ καθέψοντες, πιεῖν διδόασι τοῖς ἀπηλλοτριωμένας ἔχουσι τὰς φρένας, καὶ ἀπαλλάττουσιν αὐτοὺς τῆς μανίας, καθὼς ἱστορεῖ κτησίας ἐν α΄ περὶ ποταμῶν. παράκειται δὲ ὄρος κρόνιον καλούμενον, ἀπὸ αἰτίας τοιαύτης. μετὰ τὴν γιγαντομαχίαν κρόνος τὰς διὸς ἀπειλὰς ἐκκλίνων, εἰς ὄρος παρεγένετο κτῦρον. ὃ ἀπ' αὐτοῦ, κρόνιον μετωνόμασεν. λαθὼν δὲ πρὸς ὀλίγον καιρὸν, καὶ ἀφορμῆς δραξάμενος, διῆρεν εἰς καύκασον τῆς σκυθίας. γεννᾶται δ' ἐν τῷ ὄρει τούτῳ κύλινδρος καλούμενος λίθος, ἀπὸ τοῦ συγκυρήματος. ὁσάκις γὰρ ἂν ἀστράψῃ ζεὺς ἢ βροντήσῃ, τοσαυτάκις ἀπὸ τῆς ἀκρωρείας διὰ φόβον κυλίεται. καθὼς ἱστορεῖ δερκύλλος ἐν α΄ περὶ λίθων.

ΕΥΦΡΑΤΗΣ ποταμός ἐστι τῆς παρθίας, κατὰ βαβυλῶνα πόλιν. ἐκαλεῖτο δὲ τὸ πρότερον μῆδος, ἀπὸ μήδου τοῦ ἀρταξέρξου παιδός. οὗτος γὰρ, δι' ἐπιθυμίαν τὴν κορδίνου θυγατέρα βιασάμενος ῥοξάνην, διέφθειρεν. τῇ δ' ἐπιούσῃ τὴν ἡμέραν, ζητούμενος ὑπὸ τοῦ βασιλέως πρὸς κόλασιν, καὶ φόβῳ συσχεθεὶς, ἑαυτὸν ἔβαλεν εἰς ποταμὸν ζαράνδαν, ὃς ἀπ' αὐτοῦ μῆδος ὠνομάσθη. προσηγορεύθη δὲ εὐφράτης, δι' αἰτίαν τοιαύτην. εὐφράτης ἀρανδάκου παῖς, τὸν υἱὸν ἀξούρταν εὑρὼν μετὰ τῆς μητρὸς ἀναπαυόμενον, καὶ ὑπολαβὼν ὑπάρχειν τῶν πολιτῶν τινα, διὰ ζῆλον μισοπονηρίαν σπασάμενος τὸ ξίφος, ἐλαιμοτόμησεν αὐτόν. τῆς δ' ἀνελπίστου πράξεως γενόμενος αἴτιος, διὰ λύπης ὑπερβολὴν, ἑαυτὸν ἔβαλεν εἰς ποταμὸν μῆδον, ὃς ἀπ' αὐτοῦ εὐφράτης μετωνομάσθη. γεννᾶται δ' ἐν αὐτῷ λίθος, ἀστιγὶς καλούμενος, ὃν αἱ μαῖαι ταῖς δυστοκούσαις ἐπὶ τὰς γαστέρας ἐπιτιθέασιν, καὶ παραχρῆμα τίκτουσιν ἄτερ ἀλγηδόνος. γεννᾶται δ' ἐν αὐτῷ καὶ βοτάνη, ἄξαλλα καλουμένη, μεθερμηνευομένη θερμόν. ταύτην οἱ τεταρταΐζον-

τες

Concheritis herba · Ctesias · Cronion mons · Cturos · Cylindrus lapis · Dercyll · Euphrates Fl. · Medus · Zaranda · Medus · Artaxerxes · Cordij · Rhoxane · Euphrates · Aradac · Axurtas · Astiges lapis · Exalla herba

Τεταρταΐζοντες



τες, ὅταν ἐπὶ τοῦ στήθους θῶσιν, ἀπαλλάττονται παραχρῆμα τῆς ἐπισημασίας. καθὼς ἱστορεῖ χρύσερμος κορίνθιος ἐν ιγ΄ περὶ ποταμῶν. παράκειται δ' αὐτῷ ὄρος, δρίμυλλον καλούμενον. ἐν ᾧ γεννᾶται λίθος, σαρδώνυχι παρόμοιος. ὃν οἱ βασιλεῖς, ἐν ταῖς βασιλείαις χρῶνται. ποιεῖ δὲ ἄριστα πρὸς ἀμβλυωπίαν, εἰς ὕδωρ θερμὸν βαλλόμενος. καθὼς ἱστορεῖ νικίας ὁ μαλλώτης ἐν τοῖς περὶ λίθων.

ΚΑΪΚΟΣ ποταμὸς τῆς μυσίας. ἐκαλεῖτο δὲ τὸ πρότερον ἀστραῖος, ἀπὸ ἀστραίου τοῦ ποσειδῶνος. οὗτος γὰρ παννυχίδος ἀθηνᾶς τελουμένης, ἀλκίππην τὴν ἀδελφὴν κατὰ ἄγνοιαν βιασάμενος, ἔφθειρεν, καὶ ἀφελὼν τῆς προειρημένης τὸν δακτύλιον. τῇ δ' ἐπιούσῃ τὴν ἡμέραν, ἐπιγνοὺς τὴν σφραγῖδα τῆς ὁμαίμου, διὰ λύπης ὑπερβολὴν ἔβαλεν ἑαυτὸν εἰς ποταμὸν ἄδουρον, ὃς ἀπ' αὐτοῦ ἀστραῖος μετωνομάσθη. προσηγορεύθη δὲ κάϊκος, δι' αἰτίαν τοιαύτην. κάϊκος, ἑρμοῦ καὶ ὠκυρόης παῖς, νύμφης, τίμανδρον ἕνα τῶν εὐγενῶν φονεύσας, καὶ τοὺς προσήκοντας αὐτῷ φοβούμενος, ἑαυτὸν ἔρριψεν εἰς τὸν παυραῖον, ὃς ἀπ' αὐτοῦ κάϊκος μετωνομάσθη. γεννᾶται δ' ἐν τῷ ποταμῷ μήκων ἔχων ἀντὶ καρποῦ λίθον. ἐκ τούτων μέλανα τινα τυγχάνει, παρόμοια λύραις. ἅπερ οἱ μύσοι ῥιπτοῦσιν εἰς ἠρωτριωμένην χώραν. κἂν μὲν ἀφορία μέλλῃ γίνεσθαι, μένει ἐν τῷ τόπῳ τὸ βληθέν. ἐὰν δὲ εὐκαρπίαν σημαίνῃ, τὰ λιθάρια δίκην ἀκρίδων ἅλλεται. φύεται δὲ καὶ βοτάνη, φάρμακος καλουμένη. ἣν οἱ ἰατροὶ ταῖς αἱμορροούσαις τιθέασιν, καὶ τὴν φλέβα μεσολαβοῦσιν τὴν ἔκκρισιν. καθὼς ἱστορεῖ τιμαγόρας ἐν α΄ περὶ ποταμῶν. παράκειται δὲ αὐτῷ ὄρος τεύθρας, ἀπὸ τεύθραντος τοῦ μυσῶν βασιλέως. ὃς κυνηγεσίας χάριν εἰς θράσυλλον ὄρος ἀναβὰς, καὶ θεασάμενος ὑπερμεγέθη κάπρον, ἐδίωκεν αὐτὸν μετὰ τῶν δορυφόρων. ὁ δὲ φθάσας, κατέφυγεν ὡς ἱκέτης, εἰς τὸ τῆς ὀρθωσίας ἀρτέμιδος ἱερόν. βιαζομένων δὲ πάντων εἰς τὸν ναὸν εἰσελθεῖν, ὁ σῦς ἀνθρωπίνῃ φωνῇ χρησάμενος, ἐξάκουστον ἀνέκραγεν. φεῖσαι βασιλεῦ τοῦ θρέμματος τῆς θεᾶς. μετεωρισθεὶς δὲ τεύθρας, ἀνεῖ-



Chrysermus · Drimyllo · Nicias · Caicus · Astraeus · Adurus · Paurraeus · Astraeus · Alcippe · Caicus · Ocyroe · Timander · Lyris · λύραις · Pharmacos herba · Timagoras · Teuthras · Thrasyll · Teuthras · Orthosia diana

ποιεῖ δὲ ἄριστα

λεν τὸ ζῷον. ἄρτεμις δὲ μισοπονήρως ἐνεγκοῦσα τὴν πρᾶξιν, τὸν μὲν κάπρον ἀνεζωπύρησεν. τὸν δὲ παραίτιον τοῦ συγκυρήματος, ἀδελφὸν μετὰ μανίας ἔπεμψεν. δυσωπούμενος δὲ τὸ πάθος, ἐν ταῖς ἀκρωρείαις διέτριβεν. λυσίππη δὲ τοῦ προειρημένου μήτηρ, κατηχηθεῖσα περὶ τῶν συμβεβηκότων, εἰς τὴν ὕλην ἔδραμεν, συμπαρασπωμένη μάντιν τὸν κυραῖνον πολύϊδον. παρ' οὗ πᾶσαν πολυπραγμονήσασα τὴν ἀλήθειαν, βουθυσίαις τῆς θεᾶς ἐξιλάσατο τὴν μισοπονηρίαν. καὶ ἀπολαβοῦσα τὸν υἱὸν σωφρονοῦντα, βωμὸν ἱδρύσατο ἀρτέμιδος ὀρθωσίας. κατεσκεύασεν δὲ τὸν κάπρον χρύσεον, προτομὴν ἀνθρώπου ἠσκημένον. οὗτος μέχρι νῦν διωκόμενος ὑπὸ κυνηγῶν εἰσελθὼν εἰς τὸν ναὸν, φωνὴν ἀναδίδωσιν ἱλέσθαι. τόλυθρας δὲ παρ' ἐλπίδα τὴν ἀρχέτυπον μορφὴν ἀναλαβὼν, τὸ ὄρος μετωνόμασεν τόλυθραν τε. γεννᾶται δ' ἐν αὐτῷ λίθος, ἀντιπαθὴς καλούμενος. ὃς κάλλιστα ποιεῖ πρὸς ἀλφοὺς τοὺς λεπτοὺς, δι' οἴνου τριβόμενος. καθὼς ἱστορεῖ κτησίας κνίδιος ἐν β̄ περὶ ὀρῶν.

ΑΧΕΛΩΟΣ ποταμός ἐστι τῆς αἰτωλίας. ἐκαλεῖτο δὲ πρότερον θέστιος, δι' αἰτίαν τοιαύτην. θέστιος ἄρεως καὶ πεισιδίκης παῖς, διά τινα περίστασιν οἰκειακὴν ἀποδημήσας εἰς σικυῶνα, καὶ ἱκανὸν χρόνον διατρίψας, ὑπέστρεψεν εἰς τὸ πατρῷον ἔδαφος. εὑρὼν δὲ τὸν υἱὸν καλυδῶνα μετὰ τῆς μητρὸς ἀναπαυόμενον καὶ μοιχὸν εἶναι δόξας, κατ' ἄγνοιαν ἐγονοκτόνησεν. τῆς δὲ ἀνελπίστου πράξεως αὐτόπτης γενόμενος, ἑαυτὸν ἔρριψεν εἰς ποταμὸν ἄξενον, ὃς ἀπ' αὐτοῦ θέστιος μετωνομάσθη. προσηγορεύθη δὲ ἀχελῷος, ἀπὸ τοιαύτης αἰτίας. ἀχελῷος ὠκεανοῦ καὶ ναΐδος νύμφης παῖς, τῇ θυγατρὶ κληστοίᾳ κατὰ ἄγνοιαν συνερχόμενος, καὶ ἀθυμίᾳ συσχεθεὶς, ἑαυτὸν ἔβαλεν εἰς ποταμὸν θέστιον, ὃς ἀπ' αὐτοῦ ἀχελῷος μετωνομάσθη. γεννᾶται δὲ ἐν τῷ ποταμῷ τούτῳ βοτάνη, ζάκλον καλουμένη, παρόμοιον ἐρίῳ. ταύτην τρίψας ἂν εἰς οἶνον βάλῃς, ὕδωρ γίνεται. καὶ τὴν μὲν ὀσμὴν ἔχει, τὴν δὲ δύναμιν οὐκ ἔχει. εὑρίσκεται δὲ καὶ λίθος πελιδνὸς τῷ χρώματι, λινουργὸς καλούμενος.

ἀπὸ τοῦ

Λυσωπούμενος τὸ πάθος; Polyidus; Cyrani; Orthosia diana unde; Antipathes lapis; Ctesias; Achelo' Thestius Axenus; Thesti' Pisidice Calydo; Achelo'; Nais; Clesto ria; Zaclo herba; Linurgos lapis

κατηχηθεῖσα



ἀπὸ τοῦ συγκυρήματος. ἐὰν γὰρ βάλῃς αὐτὸν εἰς ὀθόνιον δι' ὀργῶτος γνῶσιν, τὸ σχῆμα λαμβάνει καὶ ἄργιον γίνεται. καθὼς ἱστορεῖ ἀντισθένης ἐν γ̄ μελεαγρίδος. μέμνηται δὲ τούτων ἀκριβέστερον, διοκλῆς ὁ ῥόδιος ἐν τοῖς αἰτωλικοῖς. παράκειται δὲ αὐτῷ ὄρος, καλυδὼν καλούμενον. τὴν προσηγορίαν εἰληφὸς, ἀπὸ καλυδῶνος τοῦ ἄρεως καὶ ἀστυνόμης παιδός. οὗτος γὰρ κατ' ἄγνοιαν λουομένην ἰδὼν ἄρτεμιν, τὴν μορφὴν τοῦ σώματος μετέβαλεν εἰς πέτραν. κατὰ δὲ πρόνοιαν θεῶν τὸ ὄρος καλούμενον γυρὸν, ἀπ' αὐτοῦ καλυδὼν μετωνομάσθη. γεννᾶται δ' ἐν αὐτῷ βοτάνη, ἡ μύωψ προσαγορευομένη. ἣν ἐάν τις εἰς ὕδωρ βαλὼν, νίψηται τὸ πρόσωπον, ἀποβάλλει τὴν ὅρασιν. ἄρτεμιν δὲ ἐξιλασάμενος, ἀνακτᾶται τὸ φῶς. καθὼς ἱστορεῖ δερκύλλος ἐν γ̄ αἰτωλικῶν.

ΑΡΑΞΗΣ ποταμός ἐστι τῆς ἀρμενίας, τὴν προσηγορίαν εἰληφὼς ἀπὸ ἀράξου τοῦ πύλου. οὗτος γὰρ πρὸς ἀρβήλου τὸν πάππον ὑπὲρ σκήπτρων ἁμιλλώμενος, αὐτὸν κατετόξευσεν. ποινηλατούμενος δὲ ὑπὸ ἐρινύων, ἑαυτὸν ἔρριψεν εἰς ποταμὸν βάκτρον, ὃς ἀπ' αὐτοῦ ἀράξης μετωνομάσθη. καθὼς ἱστορεῖ κτησιφῶν ἐν ᾱ περσικῶν. ἀράξης ἀρμενίων βασιλεὺς, πρὸς τοὺς πλησιοχώρους πέρσας πόλεμον ἔχων, καὶ τῆς παρατάξεως παρελκομένης, χρησμὸν ἔλαβεν, αὐτὸν ἔσεσθαι τῆς νίκης ἐγκρατῆ, ἐὰν θεοῖς ἀποτροπαίοις θύσῃ δύο τὰς εὐγενεστάτας παρθένους. ὁ δὲ διὰ φιλότεκνον εὔνοιαν, τῶν ἰδίων θυγατέρων φεισάμενος, ἑνὸς τῶν ὑποτεταγμένων κόρας περιβλέπτους, τοῖς βωμοῖς προσάγων ἀνεῖλεν. μνησάλκης δὲ ὁ τῶν φονευθεισῶν πατὴρ, βαρέως ἤνεγκεν τὴν πρᾶξιν, πρὸς καιρὸν εἴξας τὴν ὕβριν. ἀφορμῆς δὲ δραξάμενος, ἐξ ἐνέδρας τὰς τοῦ τυράννου θυγατέρας ἀπέκτεινεν. καὶ καταλιπὼν τὸ πατρῷον ἔδαφος, εἰς σκυθίαν ἔπλευσεν. ἀράξης δὲ περὶ τῶν συμβεβηκότων κατηχηθεὶς καὶ ἀθυμίᾳ συσχεθεὶς, ἑαυτὸν ἔρριψεν εἰς ποταμὸν ἅλμον, ὃς ἀπ' αὐτοῦ ἀράξης μετωνομάσθη. γεννᾶται δ' ἐν αὐτῷ βοτάνη, ἄραξα καλουμένη τῇ διαλέκτῳ τῶν ἐγχωρίων. ἥ τις μεθορμηνευομένη, λέγεται

μισο-

Antisthenes; Diocls; Gyro Calydon mons; Calydo; Astynome; Myops herb; Dercyllus; Araxes; Pylus; Arbelus; Araxes Bactr Halmu; Ctesipho; ἀποτρόπαιοι θεοί; Mnesalces; Araxa herba

κατηχηθείς

μετωπάρθενος. ἅμα γὰρ εὑρεθῆναι τὴν προειρημένην ὑπὸ παρθένων αἵματος ποιησαμένη καταφοράν, μαραίνεται. καὶ λίθος δὲ γεννᾶται, σικύωνος καλούμενος μελαγχροῦς. οὗτος ὅταν τις χρησμὸς ἀνθρωποκτόνος ἐμπέσῃ, τοῖς βωμοῖς τῶν ἀρχῆθεν προπατόρων θεῶν, ὑπὸ δυοῖν ἐπιτίθεται παρθένων. τοῦ δὲ ἱερέως αὐτοῦ τῇ μαχαίρᾳ θίγοντος, αἵματος ἔκλυσις γίνεται δαψιλής, καὶ τούτῳ τῷ χρόνῳ τὴν δεισιδαιμονίαν τελέσαντες, μετ᾽ ὀλολυγμῶν ἀναχωροῦσι, τὸν λίθον πρὸς τὸν ναὸν προσενέγκαντες. καθὼς ἱστορεῖ Δωρόθεος ὁ Χαλδαῖος ἐν β΄ περὶ λίθων. παράκειται δὲ αὐτῷ ὄρος Διόρφον καλούμενον, ἀπὸ Διόρφου τοῦ γηγενοῦς, περὶ οὗ φέρεται ἱστορία τοιαύτη. Μίθρας υἱὸν ἔχειν βουλόμενος, καὶ τὸ τῶν γυναικῶν γένος μισῶν, πέτρᾳ τινὶ προσεξέθορεν. ἔγκυος δὲ ὁ λίθος γενόμενος, μετὰ τοὺς ὡρισμένους χρόνους ἀνέδωκε νέον, τοὔνομα Διόρφον. ὃς ἀκμάσας, καὶ εἰς ἅμιλλαν ἀρετῆς τὸν Ἄρη προκαλεσάμενος, ἀνῃρέθη. οὗτος κατὰ πρόνοιαν θεῶν, εἰς ὁμώνυμον ὄρος μετεμορφώθη. γεννᾶται δ᾽ ἐν αὐτῷ δένδρον, ῥοιᾷ παραπλήσιον. καρπὸν δὲ ἄφθονον τρέφει μήλων. τὴν γεῦσιν ἔχοντα, σταφυλῇ παρόμοιον. ἐκ ταύτης τῆς ὀπώρας, πέπειρον ἐάν τις καθελὼν, ὀνομάσῃ τὸν Ἄρη, γίνεται κρατούμενος χλωρός. καθὼς ἱστορεῖ Κτησιφῶν ἐν ιγ΄ περὶ δένδρων.

ΤΙΓΡΙΣ ποταμός ἐστι τῆς Ἀρμενίας. τὸν ῥοῦν καταφέρων, εἴς τε τὸν Ἀράξην καὶ τὴν Ἀρσακίδα λίμνην. ἐκαλεῖτο δὲ τὸ πρότερον Σόλλαξ, ὅπερ μεθερμηνευόμενόν ἐστι, κατωφερής. ὠνομάσθη δὲ Τίγρις, δι᾽ αἰτίαν τοιαύτην. Διόνυσος κατὰ πρόνοιαν Ἥρας ἐμμανὴς γενόμενος, περιήρχετο γῆν τε καὶ θάλασσαν, ἀπαλλαγῆναι τοῦ πάθους θέλων. γενόμενος δὲ ἐν τοῖς κατ᾽ Ἀρμενίαν τόποις, καὶ τὸν προειρημένον ποταμὸν διελθεῖν μὴ δυνάμενος, ἐπεκαλέσατο τὸν Δία. γενόμενος δὲ ἐπήκοος ὁ θεός, ἔπεμψεν αὐτῷ τίγριν. ἐφ᾽ ἧς ἀκινδύνως προσενεχθεὶς, εἰς τιμὴν τῶν συμβεβηκότων, τὸν ποταμὸν Τίγριν μετωνόμασεν. καθὼς ἱστορεῖ Θεόφιλος ἐν α΄ περὶ λίθων. Ἑρμησιάναξ δὲ ὁ Κύπριος, ἱστορίας μέμνηται τοιαύτης. Διόνυσος ἐρασθεὶς

ἀλφεσι-



ἀλφεσιβοίας νύμφης, καὶ μήτε δώροις μήτε δεήσεσι πεῖσαι δυνάμενος, εἰς τὴν προειρημένην τίγριν μετέβαλε τὴν μορφὴν τοῦ σώματος. καὶ φόβῳ πείσας τὴν ἀγαπωμένην, ἀνέλαβεν αὐτήν. καὶ διὰ τοῦ ποταμοῦ κομίσας, ἐγέννησεν υἱὸν Μῆδον. ὃς ἀκμάσας, εἰς τιμὴν τοῦ συγκυρήματος, τὸν ποταμὸν Τίγριν μετωνόμασεν. καθὼς ἱστορεῖ Ἀριστώνυμος ἐν γ΄. γεννᾶται δ᾽ ἐν αὐτῷ λίθος, μυνδὰν καλούμενος, πάνυ λευκός. ὃν ἐὰν κατέχῃ τις, οὐδὲν ὑπὸ θηρίων ἀδικεῖται. καθὼς ἱστορεῖ Λέων ὁ Βυζάντιος ἐν γ΄ περὶ ποταμῶν. παράκειται δὲ αὐτῷ ὄρος, Γαυρὰν καλούμενον, ἀπὸ Γαυρὰν τοῦ Ῥωξάνου σατράπου. ὃς εὐσεβὴς ὢν πρὸς τοὺς θεούς, τῆς ἀμοιβαίας ἔτυχε χάριτος, μόνος ἐκ πάντων τῶν Περσῶν, τριακοσίοις ἔτεσι ζήσας, καὶ ἄτερ νόσου τινὸς τελευτήσας, ἐν ταῖς ἀκρωρείαις τοῦ Γαυράνου ταφῆς ἠξιώθη πολυτελοῦς. κατὰ δὲ πρόνοιαν θεῶν τὸ ὄρος, ἀπ᾽ αὐτοῦ Μαυσωρὸν μετωνομάσθη. γεννᾶται δ᾽ ἐν αὐτῷ βοτάνη, ἣ κριθῇ ἐστι παρόμοιος ἀγρίᾳ. ταύτην δὲ ἐγχώριοι θερμαίνοντες, ἐλαίῳ καταλειφόμενοι, οὐδέποτε νοσοῦσι, μέχρι ἀνάγκης τοῦ θανάτου. καθὼς ἱστορεῖ Σώστρατος ἐν α΄ μυθικῆς ἱστορίας ἀγωγῆς.

ΙΝΔΟΣ ποταμός ἐστι τῆς Ἰνδίας, ῥοίζῳ μεγάλῳ καταφερόμενος εἰς τὴν τῶν Ἰχθυοφάγων γῆν. ἐκαλεῖτο δὲ πρότερον Μαυσωλός, ἀπὸ Μαυσωλοῦ τοῦ Ἡλίου. μετωνομάσθη δὲ δι᾽ αἰτίαν τοιαύτην. τῶν Διονύσου μυστηρίων τελουμένων, καὶ τῶν ἐγχωρίων τῇ δεισιδαιμονίᾳ προσσυγκουρούντων, Ἰνδὸς τῶν ἐπισήμων νέος, τὴν Ὀξυάλκου τοῦ βασιλέως θυγατέρα Δαμασαλκίδαν κανηφοροῦσαν βιασάμενος, ἔφθειρεν. ζητούμενος δὲ ὑπὸ τοῦ τυράννου πρὸς κόλασιν, διὰ φόβον ἑαυτὸν ἔβαλεν εἰς ποταμὸν Μαυσωλόν. ὃς ἀπ᾽ αὐτοῦ Ἰνδὸς μετωνομάσθη. γεννᾶται δὲ ἐν αὐτῷ λίθος προσαγορευόμενος. ὃν ὅταν φορῶσιν αἱ παρθένοι, κατ᾽ οὐδένα τρόπον τοὺς φθορέας φοβοῦνται. φύεται δὲ καὶ βοτάνη, βουγλώσσῳ παρόμοιος. ποιεῖ δ᾽ ἄριστα πρὸς ἰκτερικούς, μετὰ ὕδατος χλιαροῦ διδομένη τοῖς πάσχουσι. καθὼς ἱστορεῖ



Sicyonis lapis
Dorothe
Diorpho M.
Mithras
Diorph
Ctesipho
Arsacis palu
Tigris Sollax
Theophil
Hermesianax

Alphesiboea
Medus
Aristonymus
Myndá lap
Leo byzanti
Gaura M
Satraps Rhoxani
Rhoxani ccc. annos vixit
Mausoro M
Sostratus
Indus Fl
Mausolus
Oxyalces
Damasalcis

κανηφοροῦσαν
ποιεῖ δ᾽ ἄριστα

Clito pho

Lilæo mons

Lilæus

Clitoris lapis

Aristoteles

κλειτοφῶν ὁ ῥόδιος ἐν ι ἰνδικῶν. παράκειται δ' αὐτῷ ὄρος, λιλαῖον προσαγορευόμενον, ἀπὸ λιλαίου ποιμένος. οὗτος γὰρ δεισιδαίμων ὑπάρχων, καὶ μόνος σεβόμενος τὴν σελήνην, νυκτὸς βαθείας ἐκτελεῖ τὰ μυστήρια τῆς προειρημένης. βαρέως δὲ οἱ λοιποὶ θεοὶ ἀτιμίαν φέροντες, ἔπεμψαν αὐτῷ δύο λέοντας ὑπερμεγέθεις. ὑφ' ὧν διασπαραχθεὶς, τὸν βίον ἐξέλιπεν. σελήνη δὲ τὸν εὐεργέτην μετέβαλεν εἰς ὁμώνυμον ὄρος. γεννᾶται δὲ ἐν αὐτῷ λίθος, κλειτορὶς ὀνομαζόμενος. ἔστι δὲ λίαν μελάγχρους. ὃν κόσμου χάριν οἱ ἐγχώριοι φοροῦσιν ἐν τοῖς σωταρίοις. καθὼς ἱστορεῖ ἀριστοτέλης ἐν δ περὶ ποταμῶν.

ΤΕΛΟΣ.

σωλαρίοις



# ΣΥΝ ΘΕΩι ΧΡΗΣΤΟΜΑΘΕΙΑΙ, ΕΚ ΤΩΝ ΣΤΡΑΒΩΝΟΣ ΓΕΩΓΡΑΦΙΚΩΝ ΒΙΒΛΙΟΥ Α΄

ΟΤΙ ΟΜΗΡΟΣ πρῶτος, ἐτόλμησεν γεωγραφῆσαι. ὅτι γὰρ ἡ γῆ ὑπὸ τοῦ ὠκεανοῦ περικλύζεται νήσου δίκην, αὐτὸς λέγει. νῦν μὲν,

Εἶμι γὰρ ὀψομένη πολυφόρβου πείρατα γαίης
Ὠκεανόν τε.

Νῦν δὲ, περὶ τοῦ ἀνατολικοῦ τῆς γῆς,

ἠέλιος μὲν ἔπειτα νέον προσέβαλλεν ἀρούρας,
ἐξ ἀκαλαρρείταο βαθυῤῥόου ὠκεανοῖο.

περὶ δὲ τοῦ δυτικοῦ.

ἐν δ' ἔπεσ' ὠκεανῷ λαμπρὸν φάος ἠελίοιο.

περὶ δὲ τοῦ νοτίου.

ζεὺς γὰρ ἐς ὠκεανὸν μετ' ἀμύμονας αἰθιοπῆας
χθιζὸς ἔβη. περὶ δὲ τοῦ βορείου.
οἴη δ' ἄμμορός ἐστι λοετρῶν ὠκεανοῖο.

ὠκεανὸν δὲ λέγει, τὸν ὁρίζοντα.

Primus homerus de cosmographia p(ro)dit

ΟΤΙ ἀψόῤῥοον ὅμηρος τὸν ὠκεανὸν λέγει, διὰ τὰς ἀμπώτεις καὶ πλημμυρίδας. τοιοῦτον δὲ καὶ τὸ,

τρὶς μὲν γάρ τ' ἀνίησιν ἐπ' ἤματι, τρὶς δ' ἀναροιβδεῖ.

ἀμπώτεις, πλημμυρίδες

καὶ γὰρ εἰ μὴ τρὶς ἀλλὰ δὶς, ἴσως ἢ ἡ γραφὴ ἡμάρτηται, ἢ ἡ ποιητικὴ ὑψηγορία, ἢ ἡ ἱστορία παρέπεσεν. τοιοῦτον δὲ, καὶ τὸ διὰ ἀκαλαρρέιταο. ἡ γὰρ ἄμπωτις, πραεῖα καὶ οὐκ ἀθρόα.

ΟΤΙ καὶ τὸ σκοπέλους λέγειν τὸν ὅμηρον, τότε μὲν καλυπτομένους, τότε δὲ γυμνουμένους, τὰς ἀμπώτεις καὶ πλημμυρίδας αἰνίττεται. ΟΤΙ τὰ πάθη τοῦ ὠκεανοῦ τὰ περὶ τὰς ἀμπώτεις καὶ τὰς πλημμυρίδας ὁμολογεῖ συνεχῆ καὶ μίαν εἶναι τὴν θάλασσαν. πανταχοῦ γὰρ ἡ αὐτὴ αὔξησις καὶ μείωσις τοῦ ὕδατος, ἢ οὐ πολὺ παραλλάττει, ὡς ἂν ἀπὸ μιᾶς αἰτίας γινομένη. ΟΤΙ ὅμηρος πᾶσαν τὴν καθ' ἡμᾶς παραλίαν γεωγραφεῖ λέγων, λιβύην, θήβας, αἴγυπτον, φοινίκην, κύπρον, σιδῶνα, σολύμους, κᾶρας, καὶ τὰς περὶ αὐτὰς νήσους. ἔτι δὲ φρυγίαν, καὶ ἑλλήσποντον, καὶ τρῶας, καὶ παφλαγόνας, καὶ αἰήτην, καὶ ἰάσονα, καὶ κιμμερίους, καὶ τοὺς τοῖς θρᾳξὶ πλησιοχώρους μυσούς, περὶ τὸν ἴστρον οἰκοῦντας. εἶτα, κίκονας, καὶ λαέρτιαν, καὶ τὴν ἑξῆς ἑλλάδα, μέχρι τῆς θεσπρωτίας. εἶτα, τὰ τῆς ἰταλίας ἄκρα τεμέσην, καὶ σικελούς, καὶ ἠλύσιον πεδίον. εἰ δέ τινα μεταξὺ παραλείπει, οὐ θαῦμα. τοιαύτη γὰρ ἡ γεωγραφία.

ΟΤΙ ἀναξίμανδρος ὁ θαλοῦ μαθητὴς καὶ πολίτης, πρῶτος γεωγραφικὸν πίνακα ἐξέδωκεν. ἑκαταῖος δὲ, σύγγραμμα. ΟΤΙ ἀδύνατον, ἄνευ τῆς τῶν οὐρανίων θεωρίας, γεωγραφῆσαι. καὶ γὰρ δεῖ, πρὸς μὲν τὰ μήκη τῶν πόλεων, τῶν ἐκλειπτικῶν ἡλίου καὶ σελήνης παρατηρήσεων. πρὸς δὲ τὰ πλάτη, τῆς τῶν κλιμάτων διαφορᾶς. ΟΤΙ ἡ γεωγραφία, συνῆπται ἔκ τε γεωμετρίας καὶ μετεωρολογίας.

ΟΤΙ εἰ καὶ τὰ οὐράνια ὑπὸ τόσῳ ἀφέστηκε τῶν ἐπιγείων, τοσοῦτον ὅσον οὐρανὸς ἔστ' ἀπὸ γαίης, ἀλλὰ τῇ θεωρίᾳ ἥνωται.

ΟΤΙ τοὺς παρ' ὁμήρῳ ἐρεμβοὺς, τοὺς τρωγλοδύτας δεῖ ἄραβας ἐξακούειν, παρὰ τὸ ἐν τῇ ἔρᾳ τῇ γῇ ἐμβαίνειν.

ΟΤΙ ἡ γεωγραφία, οὐ μόνον διὰ φιλοσοφίαν μεγάλα συντελεῖ, ἀλλὰ καὶ διὰ πολιτικὰς καὶ στρατηγικὰς φρονήσεις τε καὶ

πράξεις

[Marginalia: ἀκαλαρρέεταο — Crembi .i. troglodytae arabes — ἔρα .i. τῇ γῇ — ἐμβαίνειν]



πράξεις. ΟΤΙ τὸ πολλῶν ἀνθρώπων ἰδεῖν ἄστεα καὶ νόον γνῶναι, καὶ τὸ ἐπὶ τοῦ ἡρακλέους μεγάλων ἐπίστορα ἔργων εἰρημένον, τὴν ἐκ τῆς γραφικῆς ἱστορίας διαγινομένην φρόνησιν ἐμφανίζει. ΟΤΙ ἡ μὲν γεωγραφία, τῆς ὅλης οὔσα οἰκουμένης ἱστορία, περὶ τὸ ποσὸν μᾶλλον καταγίνεται, ὡς μαθηματικωτέρα. ἡ δὲ χωρογραφία τόπου τινός ἐστι. οἷον ὡς ὅμηρος λέγει.

οἳ θ' ὑρίην ἐνέμοντο καὶ αὐλίδα πετρήεσσαν,

καὶ πολύκνημον ἐτεωνόν, καὶ πολυτρήρωνα θίσβην, καὶ πολυστάφυλον ἄρνην, περὶ τὸ ποιὸν τῆς χώρας. οἷον εἰ βαθύγειος, εἰ ὀρεινή, εἰ πεδιάς, εἰ ἄξυλος, εἰ μέταλλα ἔχουσα. ΟΤΙ ἄλλος μὲν ὁ τῆς ἰνδικῆς χωρογράφος, ἀγνοῶν τὴν ἑλλάδα τυχόν. καὶ ἄλλος ὁ τῆς αἰγύπτου, ἀγνοῶν τὰ τῆς περσίδος καὶ βακτριανῆς. ΟΤΙ δεῖ γεωμετρικῆς καὶ ἀστρονομίας τῷ γεωγραφήσοντι, καὶ ὑποθέσεις λαβεῖν ἐξ αὐτῶν. οἷον ὅτι σφαιρικὸς ὁ κόσμος, καὶ ἡ τῆς γῆς ἐπιφάνεια. καὶ ἔτι περὶ τῆς ἐπὶ τὸ μέσον φορᾶς τῶν σωμάτων, καὶ ὅσα τοιαῦτα.

ΟΤΙ δεῖ τὸν στρατηγόν, μήτε τοσοῦτον ἄμοιρον εἶναι γεωγραφίας, ὥς τε λέγειν ἔν τισι τόποις,

" ὦ φίλοι. οὐ γάρ τ' ἴδμεν ὅπῃ ζόφος, οὐδ' ὅπῃ ἠώς,

καὶ τὰ τοιαῦτα. οὔτε πάλιν περὶ ἐξάρματος τοῦ πόλου καὶ συνανατολῶν καὶ συμμεσουρανήσεων, καὶ συγκαταδύσεων τῶν ἀστέρων, πολυπραγμονεῖν, καὶ τῶν ὁμοίων. ΟΤΙ καὶ τῆς σφαιρικῆς θεωρίας δεῖ ἧφθαι, τὸν γεωγραφοῦντα. οἷον κύκλων ἐν σφαίρᾳ παραλλήλων καὶ ὀρθῶν, καὶ τῶν τοιούτων.

ΟΤΙ ὥσπερ ἐπὶ κολοσσοῦ τὴν ὁλοσχέρειαν τῆς κατασκευῆς σκοποῦντες, τῶν μικρῶν καταφρονοῦμεν, οὕτως καὶ ἐπὶ γεωγραφίας. τὴν μὲν θέσιν τῆς χώρας, καὶ τὴν πρὸς τὰ οὐράνια σχέσιν, πολυπραγμονοῦμεν. εἰ δὲ πολύκνημος, ἢ ἀμιχθαλόεσσα, ἤ τι τοιοῦτον, ἐῶμεν. ΟΤΙ ἐρατοσθένης, οὔτε τῶν ἀπαιδεύτων ἦν, οὔτε τῶν γνησίως φιλοσοφούντων. διὸ καὶ βῆτα ἐκαλεῖτο, ὡς τὰ δευτερεῖα φέρειν δοκῶν, ἐπὶ πάσῃ παιδείᾳ. ὃς καὶ τὴν

 ποιητι-

[Marginalia: γεωγραφικῆς — διαγινομένην — ὑποθέσεις — ἀμιχθαλόεσσα — Eratosthenes — Eratosthenes ob mediocre doctrinā β[ῆτ]α vocatus]

ποιητικήν, οὐ φιλοσοφίαν πρώτην ἠξίου καλεῖν, ἀλλὰ μόνον ψυχαγωγίαν τινά, κακῶς λέγων. ΟΤΙ ἡ ποιητική, πηγὴ καὶ ἀρχὴ φράσεως κατεσκευασμένης, καὶ ῥητορικῆς ὑπάρχει, μετὰ τοῦ σεμνοῦ καὶ ὀγκώδους. ἀμέλει καὶ πεζὸν λόγον φαμέν, τὸν ἄνευ μέτρου ἐκ τοῦ ὕψους ταπεινωθέντα.

ΟΤΙ τοὺς μύθους αἵ τε παλαιαὶ πόλεις, καὶ οἱ νόμοι ἐδέξαντο, ὡς μορμολυκίας τινὰς πρὸς τοὺς νηπιόφρονας. οἷον κωκυτούς, ἀχέροντας, πυριφλεγέθοντας, στύγας, καὶ ἁπλῶς πᾶσαν θεολογίαν παλαιάν. ΟΤΙ τὸ ἴσκεν ψεύδεα πολλὰ λέγων ἐτύμοισιν ὁμοῖα, οὐ πάντα δηλονότι, ἀλλὰ πολλὰ καὶ μυθώδη. οὐ γὰρ ἂν ἦν ἐτύμοισιν ὁμοῖα. τοιοῦτοι δ' οἱ μῦθοι περὶ τὴν ἀλήθειαν εἰλούμενοι. ὡς ὅτε τίς χρυσὸν περιχεύεται ἀργύρῳ ἀνήρ, οὕτως καὶ οἱ μῦθοι. ΟΤΙ αἰαίην, τὴν κίρκην ὅμηρος ὀνομάζει, ἀπὸ τῆς αἰας πόλεως. καὶ τὰς συμπληγάδας ἐν Βυζαντίῳ, πλαγκτάς. καὶ τὸν πόντον τὸν εὔξεινον, κατ' ἐξοχὴν τῶν ἄλλων, τό τε ὑπονοούμενον μέγιστον εἶναι πρὸς ὠκεανόν, μυθολογεῖ. καὶ τοὺς κιμμερίους ἀπὸ τοῦ κλίματος τοῦ νεφελώδους, ὡς ἐσκοτισμένους ὅλους. καὶ τὸν σικελικὸν πορθμὸν ὑπὸ λῃστῶν κατεχόμενον, εἰς σκύλλαν, καὶ τὰ ὅμοια. ΟΤΙ περὶ σικελίας τὴν θάλασσαν, ἰχθύων τι γένος ἐστίν, οὓς καλοῦσιν γαλεώτας τε καὶ ξιφίας καὶ κύνας. ἐξ ὧν λαβὼν ὅμηρος ἔλεγεν.

δελφῖνάς τε κύνας τε καὶ εἴποθεν ἄλλο λάβῃσιν, κῆτος.

ΟΤΙ τὸ τρὶς μὲν γάρ τ' ἀνίησιν ἐπ' ἤματι τρὶς δ' ἀναροιβδεῖ, δεῖ νοεῖν, ὅτι δὶς τοῦτο γίνεται καὶ οὐ τρίς. διὸ δεῖ, ἢ μεταβολὰς αἰτιᾶσθαι, ἢ ἄγνοιαν, ἢ ποιητικὴν ἐξουσίαν.

ΟΤΙ ἡ ποιητικὴ σύγκειται, ἐξ ἱστορίας, καὶ διαθέσεως, καὶ μύθου. τῆς μὲν οὖν ἱστορίας τέλος, ἀλήθεια ἐστὶν ὡς ἐν νεῶν καταλόγῳ, οἷον πολυτρήρωνα καὶ πετρήεσσαν. τῆς δὲ διαθέσεως, ἐνέργεια τὸ τέλος. ὡς ὅταν μαχομένους εἰσάγῃ. μύθου δέ, ἡδονὴ καὶ ἔκπληξις τέλος. ΟΤΙ μυθεύει μέν, ὁ τὰς γοργόνας εἰσάγων. προσμυθεύει δέ, ὁ τὴν τοῦ ὀδυσσέως πλάνην ἐκτραγῳδῶν

Marginal notes: Eratosthenis error — Theologia antiqua & fabulae cocyti & c. ad uersus stolidos excogitata — Aeaea Circe ab urbe — Symplegades Planctae — Pontus euxinus dictus per exoché — Ex quibus composita poesis

Locus homeri insignis de charibdi



ΟΤΙ τὸ Βορέης καὶ ζέφυρος τώ τε θρῄκηθεν ἄητον, καλῶς εἴρηται. ὁ γὰρ μέλας κόλπος τῆς θρᾴκης, ἀποστρέφων πρὸς νότον, τοῖς ἐν λήμνῳ καὶ σαμοθρᾴκῃ, τὸν ζέφυρον ἐκ θρᾴκης πνέοντα παρέχει. ΟΤΙ ὁ ἀπὸ θερινῆς ἀνατολῆς, καικίας. ὁ δὲ κατὰ διάμετρον, λίψ. ὁ δ' ἀπὸ χειμερινῆς ἀνατολῆς, εὖρος. ὁ δὲ κατὰ διάμετρον ἀργέστης. οἱ δ' ἀπὸ τοῦ ἰσημερινοῦ, ἀπηλιώτης καὶ ζέφυρος. καὶ ταῦτα μὲν ἀριστοτέλης. ὁ δὲ ὅμηρος δυσαῆ μὲν ζέφυρον λέγει, τὸν ἀργέστην. λίβα δὲ πνέοντα ζέφυρον, τὸν ὑφ' ἡμῶν ζέφυρον. ἀργέστην δὲ νότον, τὸν λευκόνοτον. οὗτος γὰρ ὀλίγα τὰ νέφη ποιεῖ, τοῦ λοιποῦ νότου ὅλου ὑγροῦ πως ὄντος.

ὡς ὁπότε νέφεα ζέφυρος στυφελίζει,
ἀργέσταο νότοιο βαθείῃ λαίλαπι τύπτων.

τὸν γὰρ δυσαῆ ζέφυρον νῦν λέγει. ὃς εἴωθε διασκιδνάναι, τὰ ὑπὸ τοῦ λευκονότου συναγόμενα ἀσθενῆ ὄντα· ἐπιθέτως τοῦ νότου νῦν, ἀργέστου λεγομένου. ΟΤΙ τὴν φάρον νῆσον ὅμηρος, πελαγίαν λέγει, οὐχ οὕτως οὖσαν νῦν. ἀλλὰ τότε, θαυμασίως εἴρηκεν. αἰνίττεται γάρ, ὅτι ἡ αἴγυπτος, δῶρόν ἐστιν τοῦ νείλου, ὡς καὶ ἡρόδοτος ἔλεγεν. καὶ ὅτι πρὸ μυρίων ἐτῶν πελαγία οὖσα, νῦν διὰ τὴν πρόσχωσιν, πλησιάζει αἰγύπτῳ.

ΟΤΙ αἰθίοπας τοὺς διχθὰ δεδαίαται ἔσχατοι ἀνδρῶν, οἱ μὲν δυσομένου ὑπερίονος, οἱ δ' ἀνιόντος. κράτης μὲν ἐξηγεῖται. ὅτι ἡ μεγάλη τῆς ἰνδικῆς θάλασσα, μεσεμβολοῦσα τοὺς αἰθίοπας, ἐξ ἀνατολῶν ἄχρι δυσμάς, ποιεῖ αὐτοὺς διχὰ δεδαίεσθαι. ὁ δὲ ἀρίσταρχος, συνεχῆ τὴν αἰθιοπίαν λέγει εἶναι ἐξ ἀνατολῶν ἕως δυσμῶν. διὸ τοὺς μὲν αὐτῶν γνωρίζεσθαι, τοὺς ἄκρους. τοὺς μέσους δέ, ἀγνοεῖσθαι. εἴ τε περιῤῥύτου οὔσης τῆς πάσης λιβύης, εἴ τε ἰσθμοῦ τινος μεταξὺ τῆς τε ἀτλαντικῆς θαλάσσης καὶ τῆς ἐρυθρᾶς κειμένου, καὶ ἡμῖν ἀγνοουμένων τῶν ἐκείνῃ αἰθιόπων καὶ τοιούτων. καὶ διὰ τοῦτο, δύο αἰθιοπίαι λέγονται.

ΟΤΙ ὅμηρος, τὰ νότια μέρη τοῦ κόσμου, ἠῶ καλεῖ τε ἠέλια

κά. τὰ

Marginal notes: Melas sinus — Homeri locus — Caecias — Libs — Eurus — Argestes — Apeliotes — Zephyrus — Aristot — Pharos pelagia — Crates — Aristarchus — ἠῶ .i. meridiana uocat homerus

Quomodo Homerus uocet uentos obseruatio pulchra

κα. τὰ δὲ βόρεια, ἑσπέρια καὶ νυκτερινά. οἷον,

αὐτὴ δὲ χθαμαλὴ πανυπερτάτη εἰν ἁλὶ κεῖται,
πρὸς ζόφον. αἱ δέ τ' ἄνευθε, πρὸς ἠῶ τ' ἠέλιόν τε.

ἡ γὰρ ἰθάκη, βορειοτέρα ἐστὶν τῶν νήσων ἐκείνων. καὶ πάλιν.

εἴτ' ἐπὶ δεξιὰ ἴωσι, πρὸς ἠῶ τ' ἠέλιόν τε,
εἴτ' ἐπ' ἀριστερὰ τοί γε ποτὶ ζόφον ἠερόεντα. καὶ αὖθις.
ὦ φίλοι. οὐ γάρ τ' ἴσμεν ὅπῃ ζόφος οὐδ' ὅπῃ ἠώς,
οὐδ' ὅπῃ ἠέλιος φαεσίμβροτος εἶσ' ὑπὸ γαῖαν,
οὐδ' ὅπῃ ἀννεῖται.

Asia quomodo distinguatur a lybya melius sinu arabico quam nilo

ΟΤΙ ἄμεινον τὴν ἀσίαν χωρίζειν τῆς λιβύης, τῷ ἀραβίῳ κόλπῳ, ἀπὸ τῆς μεγάλης θαλάσσης διήκει μεσημβρινοῦ διήκοντι, ἕως τοῦ κατὰ πηλούσιον ἰσθμοῦ· μῆκος, στάδια δισμύρια καὶ πεντακισχίλια· πλάτος δὲ ὅπου μέγιστον, οὐ πλέω τῶν χιλίων σταδίων ἔχοντι. ὁ δ' αὐτὸς οὗτος ὅρος, καὶ τῶν δύο αἰθιοπιῶν ἐστιν. ὁ δὲ νεῖλος, οὐκ ἄξιος ἂν εἴη μεθόριον λέγεσθαι. πολλὴ γὰρ ἡ νοτιωτέρα τούτου ἀσία ἀδιαίρετος λείπεται, ἡ λιβύη ἡ αὐτὴ ἀμφιδοξουμένη.

Paroemiae tres hyperbolicae

ΟΤΙ παροιμίαι εἰσὶν τῶν ὑπερβολῶν ὑπερβολὰς ἐμφαίνουσαι, αὗται. φελλοῦ σκιᾶς κουφότερον. φρυγὸς λαγὼς δειλότερον. ὁ ἀγρὸς γῆν ἔχει, λακωνικῆς ἐπιστολῆς ἐλάττονα.

Pontus antea palus

ΟΤΙ ὁ πόντος τὸ παλαιόν, λίμνη ἦν. ἀλλὰ διὰ πλήθει τῶν ποταμῶν ὑδάτων τῶν εἰς αὐτὸν ἐμβαλλόντων, τάχα δὲ καὶ σεισμῶν ἐξαισίων γινομένων, διέρραγη ἡ κατὰ τὸ βυζάντιον γῆ. καὶ οὕτως τὸ ὕδωρ ἐκχυθὲν εἰς τὸ αἰγαῖον καὶ μυρτῷον, συνεχεῖς τὰς δύο θαλάσσας εἰργάσατο. ἐλπὶς δέ, καὶ τὸν πόντον ποτὲ χερσωθῆναι. καὶ γὰρ τὰ περὶ τὸν σαλμυδησσόν, καὶ τὰ καλούμενα στήθη καὶ ἡ περὶ τὸν ἴστρον σκυθικὴ ἐρημία ἤδη τεναγίζει. ἀλλὰ καὶ τὸ ἄμμωνος ἐν λιβύῃ ἱερὸν παραθαλάσσιον ποτὲ ἦν. σημεῖον δέ, ὅτι περὶ τοὺς τρισχιλίους σταδίους ἀπέχον ἀπὸ τῆς νῦν θαλάσσης, πᾶσα ἡ ὁδὸς ψαμμώδης τέ ἐστιν καὶ μεστὴ κόχλων καὶ χηραμύδων καὶ καρκίνων καὶ ὀστρέων ὅσων. ἀλλὰ καὶ ἡ αἴγυπτός ποτε, πέλαγος ἦν. καὶ ἡ σικελία, συνε-

χὴς τῇ

salmydessus

στήθη

Ammonis t. aliquando littorale

στήθη

Duarum Aethiopiarum terminus ~ sinus arabicus



χὴς τῇ ἰταλίᾳ. τὸ δὲ περὶ τὴν ἀμμωνιακὴν πάθος γέγονεν, ῥαγέντος τοῦ κατὰ τὰς στήλας πορθμοῦ. καὶ διὰ τὸ ταπεινότερον εἶναι τὸ ἔξω στηλῶν ἔδαφος, ἐκχυθῆναι μέν, τὸ κατὰ τὴν λιβύην ὕδωρ, καὶ τέναγος γενέσθαι ἐπὶ πολὺ τὸν κατὰ πηλούσιον ἰσθμόν. λιμνάσαι δὲ τὸ ἀτλαντικόν, συνεχὲς γινόμενον τῇ ἔσω θαλάσσῃ. ΟΤΙ ἡ τῆς τῶν κυμάτων τῆς θαλάσσης κινήσεως συνέχεια, φυσική ἐστιν, αὐτῆς τῆς θαλάσσης, οἷον σφυγμικὴ ἀναπνοή. καθ' ἣν οἵ τε εὔριποι παλινδρομοῦσιν, καὶ τὰ ναυάγια καὶ περιπλώματα, ἐκκυμαίνεται, ἀποπλύνει δ' ἁλὸς ἄχνην. ἀλλὰ καὶ ἐν τοῖς ἀργαίοις πνεύμασιν, οὐδὲν ἧττον τὸ κυμάτιον ἐκ τοῦ πελάγους προαιρετικὴν ὡς ἂν εἴποι τὶς κινούμενον κίνησιν, πολλὸν παρὲξ ἅλα φῦκος ἔχευεν. ΟΤΙ οὐ μᾶλλον ἡ σικελία ἀπορραγῇ τῆς ἰταλίας, ἢ ὑπὸ τοῦ πυρὸς τοῦ αἰτναίου ἀνεδόθη, καὶ αἱ περὶ τὴν λιπάραν νῆσοι καὶ αἱ πιθηκοῦσαι. ὥστε ἐλπίς, καὶ ἠπείρους ὅλας ἀναδίδοσθαι κάτωθεν, καὶ ἄλλας συνιζάνειν κάτω, ἀφανιζομένας. ὅπερ καὶ ἡ ἀτλαντὶς παρὰ πλάτωνι νῆσος, παθεῖν ἱστόρηται, καὶ βοῦρα περὶ τὴν ἑλλάδα.

ΟΤΙ τὸ τοὺς εὐρίπους εἶναι ῥοώδεις, οὐκ ἔστιν μία αἰτία. ὁ μὲν γὰρ σικελικός, δίς. ὁ δὲ χαλκιδικός, ἑπτάκις. ὁ δὲ κατὰ βυζάντιον οὐδ' ὅλως παλιννοστεῖ, ἀλλ' ἀεὶ ἀπὸ τοῦ πόντου ῥεῖ εἰς δυσμάς. ΟΤΙ ἡ ἐν τῷ μυχῷ τοῦ ἰονίου ἰστρία, ἀπὸ τοῦ ἴστρου ποταμοῦ ὀνομάσθαι λέγεται, ἐκ τοῦ μεγάλου ἴστρου ἀποσχιζομένου ὥς τινές φασιν. ἀλλὰ καὶ τὸν ἰάσονα οἱ μῦθοι ἐκ τοῦ πόντου, διὰ τούτου τοῦ ποταμοῦ ἐξάγουσιν εἰς τὴν ἑλληνικὴν θάλασσαν.

ΟΤΙ μέσον θήρας καὶ θηρασίας, ἐκπεσοῦσαι φλόγες ἐκ τοῦ πελάγους ἐφ' ἡμέρας τέτταρας, ὥστε πᾶσαν ζεῖν καὶ φλέγεσθαι τὴν θάλατταν, ἀνεφύσησαν κατ' ὀλίγον ἐξαιρομένην ὡς ἂν ὀργανικῶς, καὶ συντιθεμένην ἐκ μύδρων νῆσον, ἔχουσαν δώδεκα σταδίων τὴν περίμετρον. ΟΤΙ σεισμοῦ γινομένου μεγίστου, τῆς τε σιδῶνος τὰ δύο μέρη κατεστράφη, καὶ ἑτέρα πόλις, ὅλη, πλησίον αὐτῆς. καὶ εὐβοίας ἡ ἐν εὐρίπῳ ἀρέθουσα κρή-



Sicilia cōtinua italiae

Atlantis insula apud platonē

Bura.

Euripor[um] fluxus causa

Istria unde dicta

Thera Therasia ins

Sidō

Arethusa euboeae fons

νη ἀπετυφλώθη, καὶ ὁ πρότερον ἐπαύσατο, περὶ χάσμα μέγα περὶ τὸ ληλάντιον πεδίον γεγονός, πηλοῦ διαπύρου ποταμὸν ἐξήρασεν. τότε δὲ καὶ τῆς ἀρεθούσης αἱ πηγαί, πάλιν ἀνεδόθησαν. ΟΤΙ πάλιν περὶ λυδίαν καὶ ἰωνίαν σεισμῶν γενομένων, σίπυλός τε τὸ ὄρος κατεστράφη, κατὰ τὴν ταντάλου βασιλείαν. καί τινες τῶν ἰώνων πόλεις, καὶ τὰ ἐν τροίᾳ θερμὰ ὕδατα ἀπώλετο. περὶ ὧν ὅμηρος ἔλεγεν. ἡ μὲν γάρ θ' ὕδατι λιαρῷ ῥεῖ. ἐγένοντο δὲ καὶ λίμναι, ἐξ ἑλῶν. οὐδὲν οὖν θαυμαστόν, εἰ ὁ κατὰ τὸ κάσιον ἰσθμὸς τῆς ἀραβίας διαρραγεὶς ἢ ἵζημα λαβών, ποιήσει τὴν τῆς αἰγύπτου θάλασσαν, σύρρουν τῇ ἐρυθρᾷ. ἔτι δὲ ὁ πειραιεὺς ὡς καὶ τὸ ὄνομα ἐμφαίνει, πέραν ἔκειτο τῆς ἀττικῆς ὡς νῆσος. καὶ ἡ λευκάς, νῆσος ὑπὸ κορινθίων γέγονεν, διακοψάντων τὸν ἰσθμόν. περὶ οὗ λέγει ὅμηρος.

ἀκτὴν ἠπείροιο κεφαλλήνεσσιν ἀνάσσων.

περὶ μεθώνην δὲ τὴν ἐν τῷ ἑρμιονικῷ κόλπῳ, ὄρος ἑπταστάδιον τὸ ὕψος ἀνεβλήθη, γενηθέντος ἀναφυσήματος φλογώδους. μεθ' ἡμέραν μὲν, ἀπρόσιτον ὑπὸ τῆς τοῦ θερμοῦ καὶ θειώδους ὀδμῆς. νύκτωρ δὲ, εὐῶδες ἐκλάμπον πόρρω καὶ θερμαῖνον. ὥστε ζεῖν τὴν θάλατταν, ἐπὶ σταδίους πέντε. θολερὰν δ' εἶναι, καὶ ἐπὶ εἴκοσι σταδίους. προσχωσθῆναι δὲ πέτραις ἀπορρῶξι, πύργων οὐκ ἐλάττοσιν. ὑπὸ δὲ τῆς κωπαΐδος λίμνης, αἱ ἐν καταλόγῳ ὁμήρου πόλεις ἄρνη καὶ μίδεια, κατεπόθησαν. καὶ αἱ ἐχινάδες νῆσοι, ἐκ τῆς τοῦ ἀχελῴου προσχώσεως, ἠπειρώθησαν. καὶ ἡ ἀστερὶς νῆσος πλησίον ἰθάκης, λιμένας περὶ ἔχουσα δύο, νῦν δ' οὐκ ἀγκυροβόλιον ἔχει. ἀλλὰ καὶ ἡ ὄσσα, ἐκ τοῦ ὀλύμπου ἀπερράγη.

ΟΤΙ πυθέας ὁ μασσαλιώτης δοκῶν εἶναι φιλόσοφος, ψευδέστατος ἠλέγχθη, ἐν οἷς τὰ περὶ θούλην καὶ βρεττανίας γεωγραφεῖ. ΟΤΙ τινὲς ἀλεξάνδρῳ συνεβούλευον, διαιροῦντα τοὺς ἀνθρώπους εἰς ἕλληνας καὶ βαρβάρους, τοῖς μὲν ὡς φίλοις, τοῖς δὲ ὡς πολεμίοις χρῆσθαι. ὁ δὲ ἀπεκρίνατο. ἄμεινον εἶναι, ἀρετῇ καὶ κακίᾳ διαιρεῖν τούτους. εἶναι γάρ, ἰνδοὺς μὲν καὶ

ἀρείους

Sipylus
Homer
Isthmus arabiæ ad Casiū
Piræcus unde dictus portus
Leucas
Methone
Methone
Home
Hermonicus sinus
Copais palus
Arne / Midia > Vrb.
Echinades
Asteris
Ossa
Olymp
Pytheas

Pulchrū alexandri magni responsū



ἀρείους καὶ ῥωμαίους καὶ καρχηδονίους, ἀριστοκρατουμένους, καὶ καλῶς πολιτευομένους. ἀθηναίους δέ, οὐχ οὕτως.

## ΧΡΗΣΤΟΜΑΘΕΙΑΙ ΕΚ ΤΩΝ Στράβωνος γεωγραφικῶν βιβλίου δευτέρου.

ΟΤΙ ἡ βακτριανὴ χώρα, εὐδαιμονεστάτη ἐστὶ καὶ εὐφορωτάτη. ἐν δὲ τῇ ὑρκανίᾳ ἡ ἄμπελος μετρητὴν οἴνου φέρει. ἡ δὲ συκῆ, μεδίμνους ἑξήκοντα. ὁ δὲ σῖτος, ἐκ τοῦ ἐκπεσόντος καρποῦ τῆς καλάμης, πάλιν φύεται. ἐν δὲ τοῖς δένδροις, σμηνουργεῖται, καὶ τῶν φύλλων ἀπορρεῖ μέλι. γίνεται δέ, καὶ ἐν τῇ μαντιανῇ τῆς μηδίας τοῦτο, καὶ τῆς ἀρμενίας, ἐν τῇ σακασηνῇ καὶ τῇ ἀραξηνῇ. ἀλλ' ἐπειδὴ αὗται νοτιώτεραί εἰσι τῆς ὑρκανίας καὶ εὐκρατέστεραι, οὐ θαῦμα. ἐν δὲ τῇ μαργιανῇ, ὁ τῆς ἀμπέλου πυθμὴν γίνεται πολλάκις, δυεῖν ἀνδρῶν ὀργυίαις περίληπτος. ὁ δὲ βότρυς, δίπηχυς. ἀλλὰ καὶ ἡ ἀρεία, παραπλησία ἐστί. εὐοινίᾳ δὲ καὶ ὑπερβάλλει. ἐν ᾗ καὶ εἰς τριγένειαν τὸν οἶνον φασὶ μένειν, ἐν ἀπισσώτοις ἄγγεσιν. πάμφορος δ' ἐστὶ καὶ ἡ βακτριανή, πλὴν ἐλαίου.

ΟΤΙ ἡ βαγαδανία χώρα τῆς καππαδοκίας, πεδίον ἐστὶν ἐξαίσιον, μεταξὺ ἀργαίου ὄρους καὶ ταύρου, διὰ τὸ εἶναι ὑψηλή, οὐδὲ ξυλοφορεῖ. τὰ δὲ περὶ σινώπην καὶ ἀμισὸν καὶ φαναρόιαν, καίτοι ͵γ σταδίους ὄντα βορειότερα, καὶ ἐλαιόφυτα καὶ εὐχείμερά ἐστι, διὰ τὸ εἶναι ταπεινότερα καὶ ὑπὸ τῆς θαλάσσης ἀλεαίνεσθαι. ΟΤΙ περὶ τὰς ἐκβολὰς βορυσθένους, καὶ τὴν παρωκεανῖτιν κελτικήν, ἢ οὐ φύεται ἄμπελος, ἢ οὐ τελεσφορεῖ, ἢ ὀλιγοκαρπεῖ. τοῦ δὲ χειμῶνος, κατορύττεται.

ΟΤΙ τοσοῦτον περὶ τὴν μαιῶτιν ἐστὶν ὑπερβολὴ τοῦ κρυμοῦ, ὥστε ἐν ᾧ χωρίῳ οἱ τοῦ μιθριδάτου στρατηγοὶ ἐνίκησαν τοὺς βαρβάρους, ἱππομαχοῦντας ἐπὶ τοῦ κρυστάλλου, ἐν τῷ αὐτῷ ναυμα

 χοῦντας

Mantiana mediæ
Cacasene
Araxane
Bagadania
Argæ / Taur > M.
Phanaroea
Res notāda


ἀραξάνε

χρώντων, ἐνίκησεν τοὺς αὐτούς. ΟΤΙ τοσοῦτον ψῦχος γίνεται περὶ τοὺς τόπους ἐκείνους, ὡς καὶ τὰς χαλκᾶς ὑδρίας ὑπὸ τοῦ χειμῶνος διαῤῥήγνυσθαι. ὡς καὶ τὸ ἐπίγραμμα δηλοῖ τὸ ἐν τῷ ἀσκληπιείῳ τῶν παντικαπαιέων, ἐπὶ τῇ ῥαγείσῃ ὑδρίᾳ.

εἴ τις ἄρ᾽ ἀνθρώπων μὴ πείθεται οἷα παρ᾽ ἡμῖν
γίνεται, εἰς τήνδε γνώτω ἰδὼν ὑδρίαν,
ἣν οὐχ ὡς ἀνάθημα θεοῦ καλόν, ἀλλ᾽ ἐπίδειγμα
χειμῶνος μεγάλου, θῆχ᾽ ἱερεὺς στράτιος.

ΟΤΙ ἵππαρχος φησὶ περὶ τὸν Βορυσθένη καὶ τὸ ζ´ κλίμα, ἐν ὅλαις ταῖς θεριναῖς νυξί, παραυγάζεσθαι τὸ τοῦ ἡλίου φῶς, περιιστάμενον ἀπὸ τῆς δύσεως ἐπὶ τὴν ἀνατολήν. ταῖς δὲ χειμεριναῖς τροπαῖς, τὸ πλεῖστον μετεωρίζεσθαι τὸν ἥλιον ἐπὶ πήχεις θ´. ἐν δὲ Βρεττανίαις, περὶ πήχεις δ´. ἔνθα καὶ ἡ μεγίστη ἡμέρα, ὡρῶν ἐστὶν ἰσημερινῶν ιθ´. ΟΤΙ παρ᾽ ὁμήρῳ, αἱ ε´ πτύχες τῆς τοῦ ἀχιλλέως ἀσπίδος, τὰς ε´ τῆς ἁπάσης γῆς ζώνας αἰνίττονται. ἡ μὲν χρυσῆ, τὴν ἀμφίσκιον, ἥ τις ἐστὶν μεταξὺ τῶν τροπικῶν. αἱ δὲ δύο κασσιτέριναι, τὰς δύο περισκίους αἵ τινές εἰσιν ὑπὸ τοὺς πόλους. αἱ δὲ δύο χαλκαῖ, τὰς δύο ἑτεροσκίους. αἵ τινές εἰσιν ἥ τε ἡμετέρα οἰκουμένη πρὸς Βοῤῥᾶν, καὶ ἡ τῶν ἀντοίκων ἡμῶν πρὸς νότον. ΟΤΙ πυθέας καὶ εὐήμερος καὶ ἀντιφάνης, ψεῦσται γεωγράφοι. ΟΤΙ οἱ τὸ μῆκος τῆς οἰκουμένης ἀφορίζοντες, μεσημβρινοί εἰσιν. οὐχὶ δὲ ἀνατολαὶ καὶ δύσεις. τὸ δὲ πλάτος, οἱ παράλληλοι.

ΟΤΙ ἡ κάλπη ὄρος ἐστὶν ἰβηρίας, ἔνθα ἡ ἑτέρα τῶν ἡρακλέους στηλῶν, πολλῷ τῆς νήσου τῶν γαδείρων ἀνατολικωτέρα.

ΟΤΙ τῆς ἰταλίας ἡ νοτιωτάτη μερίς, δικόρυφός ἐστιν. ὧν ἡ μὲν δυτικωτέρα κορυφὴ κατὰ λευκοπέτραν ἄκραν, ἀπέναντι τοῦ ἐν σικελίᾳ ταυρομενίου κεῖται, κατὰ τὴν μεγάλην ἑλλάδα. ἡ δὲ ἀνατολικωτέρα κορυφή, ἡ ἄκρα ἐστὶν ἰαπυγία. ἀπέναντι κειμένη πρὸς δυσμάς, τῶν ἀκροκεραυνίων ὀρέων καὶ χαόνων. ὁ δὲ τῆς κρότωνος καὶ τάραντος κόλπος, μεταξύ ἐστι τῶν δύο κορυ-

Hydrias aereas rupi frigore
Panticapaeeses
Hipparch.
Maxim. dies in britania horarum 19.
Pytheas
Euemer.
Antiphanes
Calpe M.
Leucopetra
Iapygiu promo.

ἀμφίσκιον
περίσκιον
ἑτερόσκιον



φῶν. ΟΤΙ ὁ γεωγράφος, ἀρχὰς ἔχει, τὰς τῆς γῆς ἀναμετρήσεις τῶν μαθηματικῶν. αὗται δὲ τὰς ἀστρονομικὰς ἀποδείξεις. αὗται δὲ τὴν φυσικὴν ἐπιστήμην, ἀρετὴν οὖσαν καὶ ἐπιστήμην ἀνυπόθετον καθ᾽ αὑτήν. αἱ γὰρ ἀρεταί, ἀνυπόθετοί εἰσιν, καὶ ἐξ ἑαυτῶν ἤρτηνται, καὶ ἔχουσιν ἐν ἑαυταῖς, τάς τε ἀρχὰς καὶ τὰς πίστεις ἁπάντων. ΟΤΙ τὸ λέγειν εἶναι τὴν γῆν σφαῖραν πεντάζωνον, καὶ τὰ τοιαῦτα γεωμέτρου ἐστίν. ἀλλ᾽ οὐχὶ τοῦ νοερῶς γεωμετροῦντος, ἀλλὰ τοῦ τὰ νοερὰ σχήματα, ἐφαρμόζοντος τῇ γῇ καὶ τῷ οὐρανῷ. ᾧ τινι καὶ ὁ γεωγράφος, ἀρχιτέκτονι χρῆται καὶ ὑποθέσει. ΟΤΙ ὁ γεωμετρικός, χρώμενος τῇ γνωμονικῇ τε καὶ ἀστρονομικῇ ἀποδείξει, τουτέστιν τοὺς τῷ ἰσημερινῷ παραλλήλους κύκλους, καὶ τοὺς μεσημβρινούς, καταμετρεῖ τὴν μὲν οἰκήσιμον, ἐμβατεύων. τὴν δ᾽ ἄλλην, ἐκ τοῦ λόγου τῶν ἀποστάσεων. οὕτω δ᾽ ἂν εὑρίσκοι, τὸ ἀπὸ τοῦ ἰσημερινοῦ, ἕως τοῦ πόλου διάστημα. ἔχων δὲ τοῦτο, ἔχει καὶ τὸ τετραπλάσιον, τουτέστιν τὸν τῆς γῆς μέγιστον κύκλον. λαβὼν δὲ διὰ τῶν ἀναμετρήσεων τῆς γῆς, καὶ πιστεύσας τοῖς ἀναμετρήσασιν αὐτήν, ἔχει τὸν σταδιασμὸν τῆς περιμέτρου τῆς ὅλης γῆς. καὶ διὰ τοῦτο καὶ δύο δοθεισῶν οἰκήσεων, εὑρίσκει τὸ μεταξὺ αὐτῶν διάστημα γεωμετρικῶς. ΟΤΙ οὐ διαφέρει λέγειν, τὴν ὅλην οἰκουμένην, νῆσον ὑπὸ τῷ ὠκεανῷ κλυζομένην, καὶ τὸ λέγειν μόριά τινα αὐτῆς ἀγνοεῖσθαι εἴτε περικλύζεται εἴτε καὶ οὐχί, διὰ τὸ ἐλαχίστην εἶναι τὴν μεταξὺ ἄγνωστον γῆν. ΟΤΙ τμηθείσης τῆς ὅλης γῆς ὑπό τε τοῦ ἰσημερινοῦ, καὶ τοῦ παραλλήλου τούτῳ ἀρκτικοῦ κύκλου πρὸς Βοῤῥᾶν, γίνεται τὸ σχῆμα σπόνδυλος. οὗ τμηθέντος, διὰ τοῦ κύκλου τοῦ ἀφορίζοντος τό, τε δυσμικώτατον καὶ ἀνατολικώτατον μέρος τῆς οἰκουμένης, ὅσπερ ἐστὶν κύκλος μεσημβρινός, γίνεται τὸ περιλειπόμενον σχῆμα ἥμισυ σπονδύλου. οὗ ἡ ἐπιφάνεια χλαμυδοειδὴς οὖσα, ποιεῖ τὴν καθ᾽ ἡμᾶς οἰκουμένην, περικλυζομένην τῷ ἀτλαντικῷ πελάγει. ἤτοι νῆσον δήλην, ἢ κατὰ τὸ πλεῖστον μέρος περικλυζομένην.

σπόνδυλος σχῆμα

ΟΤΙ τὸ τῆς οἰκουμένης μῆκος στάδιά ἐστι μυριάδων ζ. τὸ δὲ πλάτος αὐτῆς, μυριάδων σταδίων γ. ἀφοριζομένης ὑπὸ τῶν διὰ καῦμα καὶ ψῦχος ἀοικήτων. τὸ μὲν οὖν διὰ καῦμα ἀοίκητον τῆς οἰκουμένης μέρος, πλάτος ἔχει, στάδια ͵η ω. μῆκος δὲ τὸ μέγιστον, μυριάδων ιᾱ ͵ϛ σταδίων, ὅπερ ἐστὶν ἥμισυ τοῦ ἰσημερινοῦ. ΟΤΙ κατὰ ἐρατοσθένην, ἡ τῆς γῆς περίμετρος στάδιά εἰσι, μυριάδων κε ͵β. ὧν τὸ ἑξηκοστὸν μέρος, γίνεται ͵δ σ σταδίων. ΟΤΙ κατὰ στράβωνα, τὸ νότιον πέρας τῆς καθ' ἡμᾶς οἰκουμένης, ἀφορίζεται ὑπὸ παραλλήλου τῷ ἰσημερινῷ γραφομένου διὰ Βλεμύων καὶ νούβων. ὅστις ἀπὸ τοῦ ἰσημερινοῦ, ἀπέχει μοίρας ι ἔγγιστα πρὸς βορρᾶν. καὶ ἀπὸ τούτου τοῦ παραλλήλου, πρὸς μὲν τὸν ἰσημερινόν, στάδια ͵η ω. πρὸς δὲ τὸν διὰ μερόης παράλληλον, στάδια ͵γ. πρὸς δὲ τὸν διὰ συήνης ἀπὸ μερόης, στάδια ͵ε. καὶ ἕτερα τοσαῦτα ἀπὸ τοῦ διὰ συήνης παραλλήλου, ἐπὶ τὸν παράλληλον τὸν διὰ τῆς κάτω χώρας αἰγύπτου. ΟΤΙ τὸ τῆς οἰκουμένης διάστημα, κατὰ μῆκος μὲν ἔχει, στάδια μύρια: κατὰ πλάτος δὲ ͵β ψμ στάδια.

ΟΤΙ δεῖ τὸν ἐπὶ σφαιρικῆς ἐπιφανείας βουλόμενον τὴν οἰκουμένην καταγράφειν, μὴ μείζονα ποιεῖν σφαῖραν, ἔχουσαν τὴν διάμετρον ποδῶν ι. εἰ δ' ἐπὶ ἐπιπέδου, μὴ ἐλάσσονα ποδῶν ζ. ΟΤΙ στράβων, αὐτοπτίᾳ ἴδεν τῆς οἰκουμένης κατὰ μὲν μῆκος, ἀπὸ ἀρμενίας ἕως σαρδοῦς. κατὰ δὲ πλάτος, ἀπὸ τοῦ εὐξείνου πόντου, μέχρι τῆς αἰθιοπίας ὁρίων.

ΟΤΙ ἡ ὄψις, κἂν τοῖς ἄλλοις πλεονεκτῇ τὴν ἀκοήν, ἀλλ' οὖν εἰς ἐπιστήμην, πολὺ αὐτῆς ἐλλείπει. ἀμέλει τὰ πολλὰ τῶν ἐν γεωγραφίᾳ θεωρουμένων, ἀκοῇ ἴσμεν.

ΟΤΙ κατὰ στράβωνα, τὸ τῆς οἰκουμένης πλάτος ὁρίζεται, ὑπὸ τοῦ μεσημβρινοῦ μεγέθει. τοῦ γραφομένου διὰ τῆς κινναμωμοφόρου καὶ μερόης, καὶ συήνης, καὶ ἀλεξανδρείας, καὶ ῥόδου, καὶ βυζαντίου, καὶ βορυσθένους, καὶ τοῦ διὰ τῆς ἰέρνης νήσου βρεττανικῆς παραλλήλου. τὸ δὲ μῆκος, ὑπὸ μεγέθει τοῦ παραλλήλου,

τοῦ

Longitudo orbis & latitudo

Eratosth

Circūferētia orbis quot stadio.

Blemyæ

Nubæ

διάστημα τῆς οἰκουμένης

ἐπιπέδου

Latitudo terræ



τοῦ γραφομένου διά τε στηλῶν, καὶ σικελίας, καὶ πελοποννήσου, καὶ ῥόδου, καὶ κύπρου, καὶ ἰσσικοῦ κόλπου, καὶ ἀρμενίας, καὶ μηδίας μέσης, καὶ τῆς ἐφεξῆς πρὸς ἀνατολὰς ὀρεινῆς ῥάχεως, ἕως τῆς ἰνδικῆς θαλάσσης. καὶ ἔστι τὸ σχῆμα ταύτης, χλαμυδοειδές. πλατὺ μὲν ἔχον τὸ νότιον πλευρόν, στενὸν δὲ τὸ βόρειον. τὸ δὲ ἀνατολικόν, τῷ δυτικῷ ἴσον.

ΟΤΙ τὰ ἄρταβρα, λιμήν ἐστι τῆς ἱσπανίας, ἀπέναντι τῶν κασσιτερίδων. ΟΤΙ κατὰ στράβωνα ἡ δυτικὴ πλευρὰ τῆς μαυρητανίας ἡ παρωκεανῖτις, ἀρξαμένη ἀπὸ στηλῶν καὶ πρὸς ἀνατολὰς καὶ νότον κλίνουσα, καταλήγει εἰς τὸν διὰ καρχηδόνος μεσημβρινὸν τῆς κινναμωμοφόρου παράλληλον. ὅστις κατὰ πτολεμαῖον ἀπέχει τοῦ δυτικοῦ πέρατος μοίρας λδ δ΄ κατὰ μῆκος. ΟΤΙ τὰ ἑσπέρια μέρη τῆς πυρήνης, ἀντίκεινται πρὸς νότον, τοῖς ἑσπερίοις μέρεσι τῆς μεγάλης βρετανίας. ΟΤΙ ἡ μὲν εὐρώπη, πολυσχημονεστάτη ἐστίν. ἡ δὲ λιβύη, ἁπλοσχήμων. ἡ δὲ ἀσία, μεταξὺ ἀμφοῖν. τοῦτο δὲ γίνεται, διὰ τοὺς αἰγιαλούς.

ΟΤΙ ὁ κατὰ στήλας πορθμός, τὸ μὲν πλάτος ἔχει, σταδίους ο, τὸ στενότατον. τὸ δὲ μῆκος, σταδίους ρκ.

ΟΤΙ ἡ ἰβηρικὴ θάλασσα περιορίζεται. ἀπὸ μὲν νότου, τῇ λιβυκῇ παραλίᾳ, μέχρι καρχηδόνος. ἀπὸ δὲ βορρᾶ, τῇ τῆς ἰβηρίας παραλίᾳ καὶ κελτικῆς, μέχρι σικελίας. τῆς δὲ σικελίας, ὁ μὲν πρὸς τῇ ἰταλίᾳ πορθμός, σταδίων ἐστὶ ζ. ὁ δὲ ἐπὶ τὴν μικρὰν σύρτιν, σταδίων ͵α φ. καὶ ἀπὸ γαδείρων ἕως σικελίας, διὰ μέσου τοῦ πελάγους, ἡ γραμμὴ ἡ διὰ ῥόδου γραφομένη καὶ ἰσσικοῦ κόλπου, σταδίων ἐστὶ μυρίων ͵β. τὸ δὲ πλάτος τοῦ πελάγους τούτου, ἀπὸ μασσαλίας ἕως σίσαρος ποταμοῦ λιβυκοῦ, ὅπερ ἐστὶ μέγιστον, στάδιοι ͵ε. ΟΤΙ τὸ πρὸς νότον τοῦ ἰβηρικοῦ πελάγους πέλαγος, ἕως κυρήνης, λιβυκὸν καλεῖται. τὸ δὲ σαρδῶον. τὸ δὲ τυρρηνικόν. ΟΤΙ τοῦ ἰονίου κόλπου, τὸ μὲν μῆκος στάδια ͵ε. τὸ δὲ πλάτος ͵α σ.

ὅτι

Chlamydis figura

Artabra port

Ptolemæus

fretū gadi.

Ibericū mare

Sisar. fl.

Libycū

Sardoū

Tyrrhenicū

ΟΤΙ ἀπὸ παχύνου ἕως κρήτης, καὶ τῶν δυτικῶν ἕως ταινάρου τῆς πελοποννήσου, ἴσον ὑπάρχον, στάδιοι ,δ φ.

ΟΤΙ τὸ μυρτῷον πέλαγος, μεταξὺ κεῖται κρήτης τε καὶ ἀττικῆς, τῆς ἀργείας, πλάτος ἔχον τὸ μέγιστον τὸ ἀπὸ τῆς ἀττικῆς, σταδίων ,δ σ. μῆκος δὲ, ἔλαττον ἢ διπλάσιον. ἐν ᾧ νῆσοι, κύθηρά τε, καὶ καλαυρεία, καὶ αἴγινα, καὶ τῶν κυκλάδων νήσων τινές. τὸ δὲ, συνεχές ἐστιν, τό, τε αἰγαῖον σὺν τῷ μέλανι κόλπῳ, καὶ ἑλλησπόντῳ, καὶ τὸ ἰκάριον, καὶ τὸ καρπάθιον, μέχρι ῥόδου καὶ κρήτης καὶ κύπρου· τὸ δὲ ἀσιατικὸν πέλαγος, ἔχει τάς τε κυκλάδας νήσους, καὶ σποράδας, καὶ τὰς προκειμένας καρίας τε καὶ ἰωνίας καὶ αἰολίδος, μέχρι τρωάδος, καὶ τὰς πρὸ τῆς ἑλλάδος καὶ μακεδονίας, ἀπὸ εὐβοίας, μέχρι ἴμβρου καὶ σαμοθράκης. ΟΤΙ οἱ περὶ τὰ γάδειρα καὶ ἄβυδον πορθμοί, ἑπταστάδιοί εἰσιν. ὁ δὲ περὶ τὸ βυζάντιον, τετραστάδιος.

ΟΤΙ δύο κόρκυραί εἰσιν, ἥ τε τῶν φαιάκων, ἀντίπεραν βουθρωτοῦ, καὶ ἡ μέλαινα ἀντίπεραν πρὸς δύσιν καὶ βορρᾶν, τῶν τοῦ δρείλωνος ποταμοῦ ἐκβολῶν. καὶ ἔστιν αὕτη, ἐν τῷ ἰονίῳ κόλπῳ. ΟΤΙ ἡ εὐρώπη ἔχει, πολὺ τὸ σοφὸν καὶ ἔντεχνον τοῦ βίου, καθάπερ ἕλληνες καὶ μακεδόνες καὶ ῥωμαῖοι. ἔχει δὲ καὶ τὸ ἐν τῇ ὀρεινῇ αὐτῆς, μάχιμον γινόμενον. καὶ τὸ ἐν τῇ πεδιάδι, εὔφορον καὶ κάρπιμον. καὶ διὰ τοῦτο, ἀρίστη ἐστὶν τῶν ἄλλων γαιῶν, καὶ ἔτι διὰ τὰ μέταλλα. ΟΤΙ οἱ λίγυες, οὐκ εἰσὶν μὲν κελτικὸν ἔθνος, παραπλήσιον δ᾽ αὐτοῖς τῷ βίῳ· νέμονται ἢ μέρος τῶν ἄλπεων, τὸ συνάπτον τοῖς ἀπεννίνοις ὄρεσι. μέρος δὲ, καὶ τῶν ἀπεννίνων κατέχουσιν. ΟΤΙ τὴν ἰταλίαν ποιεῖ χερρόννησον, τό, τε τυρρηνικὸν πέλαγος ἀρξάμενον ἀπὸ τοῦ λιγυστικοῦ, καὶ τὸ αὐσόνιον καὶ ὁ ἀδρίας. ΟΤΙ κατὰ ἵππαρχον, καὶ ἡ μία μοῖρα τοῦ οὐρανοῦ, τοῦτ᾽ ἔστιν τὸ τξ τοῦ ὅλου κύκλου μεγίστου, στάδια ἀπολαμβάνει ἐπὶ τῆς γῆς ψ.

ΟΤΙ τῆς ἰβηρίας, τὸ μὲν μῆκος, στάδιοι ,ς. τὸ δὲ πλάτος ,ε τὸ μέγιστον. ταύτης δὲ, τὸ μὲν πλεῖστον μέρος καὶ μάλι-

στα τὸ.

Myrtou mare
Cythera
Calauria
Aegina
Cycladu aliquae
Aegeu M.
Asiaticu pelag.
fretu gaditanu hellespoti & byzantij
Corcyrae duae
Mellina
Drilo. fl.
Ligyes. i. ligures
Hipparch
Vni gradui respodent 500 stad.



στα τὸ βόρειον, τραχὺ καὶ λεπτόγεων καὶ δρυμώδες καὶ ὀλιγόκαρπον καὶ κρυμώδες. τὸ δὲ νότιον καὶ μάλιστα τὸ ἔξω στηλῶν, ἄριστον καὶ σὺν εὐδαιμονίᾳ οἰκούμενον. ΟΤΙ τὸ στενότερον μέρος τῆς τε ἰβηρίας καὶ τῆς κελτικῆς, περὶ τὴν πυρήνην ἐστίν. κόλποι γὰρ γίνονται ἔκ τε τοῦ ὠκεανοῦ καὶ τῆς ἔσω θαλάσσης, ἐνταῦθα. ΟΤΙ πρὸς δύσιν προέχει τὰ περὶ τὸ ἱερὸν ἄκρον τῆς ἰβηρίας, τῶν λιβυκῶν παρ᾽ αὐτῶν, σταδίοις ,α φ. καὶ ἔοικεν νηΐ, τὸ ἄκρον. περὶ αὐτὸ ἔχον, γ νησίδια. ὧν τὸ μὲν ἐμβόλου τάξιν ἔχει. τὰ δὲ ἐπωτίδων. ΟΤΙ ὁ ἄνας ποταμὸς καὶ ὁ τάγος, ἐκ τῶν ἑῴων ὁρμώμενοι μερῶν ἐκδιδοῦσιν. ὁ μὲν, εἰς τὸν δυτικὸν ὠκεανόν. ὁ δὲ ἄνας, πρὸς νότον τοῦ ἱεροῦ ἄκρου. καὶ ἔστιν ἡ μεσοποταμία αὕτη περιέχουσα τὸ ἱερόν, εὐδαίμων μετρίως. ἡ δ᾽ ἐφεξῆς χώρα ἐπὶ τὴν ἔσω θάλασσαν, ὑπερβολὴν οὐκ ἀπολείπει εὐδαιμονίας, πρὸς ἅπασαν κρινομένη τὴν οἰκουμένην, τῶν τε ἐκ γῆς καὶ θαλάσσης ἀγαθῶν. ταύτην δ᾽ ὁ βαῖτις διαρρεῖ ποταμὸς ἐξ ἀνατολῶν ὁρμώμενος, καὶ καλεῖται βαιτική. ἣν οἰκοῦσι τουρδητανοί, σοφώτατοι τῶν ἰβήρων ὄντες, καὶ γραμματικὴν τέχνην καὶ ποιητὰς καὶ ἱστορικοὺς ὥς φασιν ἐπὶ τῶν τοῦ στράβωνος χρόνων ἐτῶν ,ς, ἔχοντες. ἀλλὰ καὶ οἱ ἄλλοι ἴβηρες οὐχ ὁμόγλωσσοι ὄντες, γραμματικαῖς χρῶνται τέχναις ἕκαστοι κατὰ τὴν ἰδίαν γλῶσσαν. ΟΤΙ τὰ γάδειρα, ἀπέχει τῆς βαιτικῆς τοῦ αἰγιαλοῦ, στάδια ψν.

ΟΤΙ λέγουσιν οἱ περὶ τὴν βαιτικὴν ἴβηρες ἀναχύσεις, τὰς πληρουμένας τῇ θαλάττῃ ἐν ταῖς πλημμυρίσι, κοιλάδας, καὶ ποταμῶν δίκην, εἰς τὴν μεσογαίαν ἀνάπλους ἐχούσας.

ΟΤΙ ἀπὸ τοῦ ἱεροῦ ἄκρου, ἐπὶ τὸ τοῦ ἄνα στόμα, μίλιά εἰσιν ξ. ἐντεῦθεν δ᾽ ἐπὶ τὸ τοῦ βαίτιος στόμα, μίλια ρ. εἶτα εἰς γάδειρα, μίλια ο. ΟΤΙ περὶ τὴν βαιτικὴν, μεγάλαι πόλεις, κορδύβη, γαδιτάνα, ἵσπαλις, ἰτάλικα, ἴλιπα, ἄστινα, κάρμων, ὀβούλκων, καὶ ἀττεγούα, καὶ οὔρσων, καὶ τούκκης, καὶ ἰουλία, καὶ αἰγούα, καὶ μουνδα. ἔνθα οἱ πομπηΐου παῖδες κατε-

l πολε-

Sacru promoto
ἐμβόλου
ἐπωτίδων
Mesopotamia inter anam & tagu.
Baeticae laus
Turdetani sapietissimi hispanoru
Milia
Baeticae urbs insignes

πολεμήθησαν, πᾶσαι δ᾽ αὐταί, κορδύβης οὐκ ἄποθεν εἰσίν.

ΟΤΙ οἱ πομπηΐου παῖδες. γναῖος μὲν ἡττηθείς, ἔφυγεν εἰς καρτηίαν, κἀκεῖ διεφθάρη. σέξτος δὲ ἐκ κορδύβης σωθείς, καὶ ὀλίγον ὕστερον σικελίας προσχὼν καὶ ἀποστήσας αὐτήν, εἶτα καὶ ἐξ αὐτῆς ἐκπεσών, πλεύσας εἰς μίλητον, καὶ ἁλοὺς ὑπὸ τῶν ἀντωνίου στρατηγῶν, αὐτοῦ κἀκεῖνος ἐτελεύτησεν. ΟΤΙ ὁ βαῖτις ἀναπλεῖται ὁλκάσι μεγάλαις εἰς τὴν μεσόγαιαν, στάδια φ΄ ἕως ἰσπάλιος. καὶ εἰσὶν περὶ τὰς ὄχθας αὐτοῦ μέταλλα, ἄλλα τε καὶ ἄργυρος πλεῖστος.

ΟΤΙ ἀπὸ τῶν ἀναχύσεων, πᾶσα σχεδὸν ἡ βαιτικὴ πλοΐζεται. ΟΤΙ περὶ τὴν ἰβηρίαν ἕως σαρδοῦς, οἱ ἐτησίαι, εὖροι γίνονται ἐν τῇ ἔσω θαλάσσῃ. ΟΤΙ ἰβηρία πᾶσα, τῶν ὀλεθρίων θηρίων σπανίζει, πλὴν τῶν γεωρύχων λαγιδέων, οὓς ἔνιοι λεβηρίδας προσαγορεύουσι. λυμαίνονται γὰρ καὶ φυτὰ καὶ σπέρματα, ῥιζοφαγοῦντες. τοῦτο δὲ γίνεται καὶ ἕως μασσαλίας καὶ τινῶν νήσων περὶ αὐτήν. ΟΤΙ τοσοῦτος ἦν πλοῦτος τοῖς περὶ τὴν τουρδητανίαν ἴβηρσιν, ὡς τοὺς μετὰ βάρκα στρατεύσαντας καρχηδονίους, εὑρεῖν αὐτοὺς πίθοις καὶ φιάλαις παναργύροις χρωμένους. ΟΤΙ ἡ λυσιτανία, εὐδαίμων ἐστὶν καὶ ἔχει καὶ ψῆγμα χρυσοῦ πλεῖστον.

ΟΤΙ τὸ βορειότατον ἄκρον τῆς ἰβηρίας, νέριον καλεῖται.

ΟΤΙ ἡ νέα καρχηδὼν τῆς ἰβηρίας, ἐν τῇ ἔσω θαλάσσῃ κειμένη, κτίσμα ἐστὶν ἀσδρούβα, τοῦ δεξαμένου βάρκαν τὸν ἀννίβα πατέρα. ΟΤΙ σχεδὸν πᾶσα ἡ ἰβηρία, μέταλλα παντοῖα ἔχει. μάλιστα δὲ χρυσοῦ τε καὶ ἀργύρου.

ΟΤΙ ἀπὸ σταδίων κ΄ δὲ τῆς νέας καρχηδόνος, νῆσος ἐστὶν ἡ καλουμένη σκομβραρία, ἀπὸ τῶν ἁλισκομένων σκόμβρων, ἐξ ὧν τὸ ἄριστον σκευάζεται γάρον. οὕτως οὖν εἶπεν ὁ στράβων τὸ γάρον. ΟΤΙ κατὰ τὰς ἐκβολὰς τοῦ ἴβηρος ποταμοῦ πρὸς νότον, κεῖνται αἱ βαλιαρίδων νῆσοι ἀξιόλογοι, ἐξ ὧν καὶ τὸ πέλαγος βαλιαρικόν, ἃς ἕλληνες γυμνησίας καλοῦσι. κάνταβροι δὲ ἐπίσημον ἔθνος ἰβηρικόν, ἀφ᾽ οὗ ὁ περικείμενος ὠκεανὸς καντά-

ριος

Pompeij filij

Etesiae venti circa hispa.

λαγιδίων οὓς ἔνιοι λεβηρίδας καλοῦσιν

cum culo

Barca

ἴβηρσις

Nerio promō.

Carthago hisp. asdrubalis aedificiū

Scobraria insul.

Garū ex scobris optimū

Balearides insulae al. gymnesiae

Cantabrus oceanus

λεβηρίδας. ὅθεν ἡ παροιμία τυφλότερος λεβηρίδος



ριος καλεῖται. ΟΤΙ ἐν ἰβηρίᾳ, κάστορες μὲν πολλοὶ γίνονται, ἀλλ᾽ οὐκ ἔχει τὸ καστόρειον τὴν αὐτὴν δύναμιν τῷ ποντικῷ. καθάπερ καὶ ὁ κύπριος μόνος χαλκός, φέρει τὴν καδμίαν λίθον καὶ τὸ χαλκανθὲς καὶ τὸ σπόδιον. καὶ οἱ τῶν κελτιβήρων ἵπποι ὑπόψαροι ὄντες, ἐπειδὰν εἰς τὴν ἔξω μεταχθῶσιν ἰβηρίαν, μεταβάλλειν τὴν χρόαν λέγονται. ΟΤΙ οἱ κάνταβροι καὶ οἱ τούτοις πλησιόχωροι, οὔρῳ λούονται ἐν δεξαμεναῖς παλαιουμένῳ. καὶ τοὺς ὀδόντας σμήχονται τῷ αὐτῷ οὔρῳ, καὶ αὐτοὶ καὶ γυναῖκες. ΟΤΙ οἱ οὐέττωνες ἴβηρες, ὅτε πρῶτον εἰς τὸ τῶν ῥωμαίων παρῆλθον στρατόπεδον. ἰδόντες τινὰς τῶν ταξιάρχων ἀνακάμπτοντας ἐν ταῖς ὁδοῖς περιπάτου χάριν, μανίαν ὑπέλαβον τὴν ὁδὸν αὐτοῖς εἶναι ἐπὶ τὰς σκηνάς. ὡς δέον ἢ μένειν καθ᾽ ἡσυχίαν ἱδρυνθέντας, ἢ μάχεσθαι. τοσοῦτον αὐτοῖς, τὸ θηριῶδες καὶ ἀνήμερον ἦν. καὶ αἱ γυναῖκες δ᾽ αὐτοῖς κόσμου χάριν, περιτραχήλια σιδηρᾶ ἐφόρουν, κόρακας σιδηροῦς, προνενευκότας τοῦ προσώπου πολύ, καμπτομένους ὑπὲρ κορυφῆς, καὶ προπίπτοντας πρὸ τοῦ μετώπου πολύ. κατὰ τούτων δὲ τῶν κοράκων ὅτε βούλονται, κατασπᾶν τὸ κάλυμμα, ὥστε ἐμπετασθὲν τῷ προσώπῳ, καλύπτειν αὐτό. καὶ τοῦτο κόσμον ἐνόμιζον. ἄλλας δέ φασι, τυμπάνιον περικεῖσθαι. πρὸς μὲν τῷ ἰνίῳ περιφερές, καὶ σφίγγον τὴν κεφαλὴν μέχρι τῶν παρωτίδων. εἰς ὕψος δὲ καὶ πλάτος, ἐξυπτίας μὲν κατ᾽ ὀλίγον. ἄλλας δὲ τὰ προκόμια ψιλοῦν ἐπὶ τοσοῦτον, ὥστε ἀποστίλβειν τοῦ μετώπου μᾶλλον. τὰς δὲ ὅσον ποδιαῖον τὸ ὕψος ἐπιθεμένας στυλίσκον, περιπλέκειν αὐτῷ τὴν χαίτην, εἶτα καλύπτρᾳ μελαίνῃ περιστέλλειν. πρὸς δὲ τῇ ἀληθείᾳ τῇ τοιαύτῃ, πολλὰ καὶ ἑώραται καὶ μεμύθευται, περὶ πάντων κοινῇ τῶν ἰβηρικῶν ἐθνῶν. διαφορόντως δὲ τῶν προσβόρρων. οὐ μόνον τὰ πρὸς ἀνδρείαν, ἀλλὰ καὶ τὰ πρὸς ὠμότητα καὶ θηριωδίαν. καὶ γὰρ τέκνα, μητέρες ἔκτειναν, πρὶν ἁλῶναι κατὰ τὸν πόλεμον. καὶ παιδίον δὲ τῶν γονέων καὶ ἀδελφῶν δεδεμένων αἰχμαλώτων, ἔκτεινε πάντας τοῦ πατρὸς κελεύσαντος, σιδήρου



Castores in hispania

Cadmia

Chalcāthes

Spodio

Spurcicia hispaniae

Vetones

τυμπάνιον

ἰνίω

προκόμια

ὑπόψαροι ἵπποι

σιδηρᾶ

σιδηροῦς

κυρωδύσειν. γυνὴ δὲ πάλιν τοὺς συναλόντας. κληθεὶς δέ τις εἰς μεθυσκομένους, ἔβαλεν ἑαυτὸν εἰς πυράν. ταῦτα δὲ, καὶ κελτοὶ καὶ σκύθαι καὶ θρᾶκες ποιοῦσιν. ΟΤΙ τῆς κάλπης καὶ τῶν ἐκβολῶν τοῦ βαίτιδος, ἀπέχει τὰ γάδειρα, στάδια ψ̄ν̄. καὶ ἔστιν ἡ νῆσος, μικρά. πλάτος μὲν ἔχουσα, σταδιαῖον. μῆκος δὲ στάδια ξ̄, καὶ εἰσὶν οἱ ἐνοικοῦντες πλουσιώτατοι, διὰ τὴν ἐμπορείαν. ΟΤΙ πολύβιος, κρήνην εἶναι φησιν ἐν γαδείροις, ὕδατος ποτίμου, ἥ τις ἀντιπαθεῖ τῇ θαλάσσῃ. πλημμυρούσης μὲν λειψυδρεῖ. ὑποφευγούσης δὲ πλημμυρεῖ. αἰτιᾶται δ' ὅτι τὸ πνεῦμα τὸ ἐκ τοῦ βάθους εἰς τὴν ἐπιφάνειαν τῆς γῆς ἐκπῖπτον, καλυφθείσης μὲν αὐτῆς ὑπὸ τοῦ κύματος, κατὰ τὰς πλημμύρας, εἴργεται τῶν οἰκείων τοιούτων ἐξόδων. ἀναστρέψαν δ' εἰς τὸ ἐντὸς, ἐμφράττει τοὺς τῆς πηγῆς πόρους, καὶ ποιεῖ λειψυδρείαν. γυμνωθείσης δὲ πάλιν εὐθυπορῆσαν, ἐλευθεροῖ τὰς φλέβας τῆς γῆς, ὥστε ἀναβλύειν εὐπόρως. ὁ δὲ στράβων, οὐ δὲ ταύτην μὲν τὴν αἰτίαν ἀποδοκιμάζει. λέγει δὲ κἀκεῖνος, ἑτέραν. ὅτι εἰκὸς τῶν φλεβῶν τινὰς τῶν πηγαίων, νοτισθείσας διὰ τῆς πλήμης ἔξωθεν χαυνοῦσθαι, καὶ παρέκχυσιν εἰς τὰ πλάγια μᾶλλον διδόναι τοῖς ὕδασιν, ἢ ἀναθλίβειν κατὰ τὸ ἀρχαῖον ῥεῖθρον εἰς τὴν κρήνην. εἶτα ὥσπερ ἀθηνόδωρός φησιν, εἰσπνοῇ τε καὶ ἐκπνοῇ τὸ συμβαῖνον περὶ τὰς πλημμυρίδας καὶ τὰς ἀμπώτεις, ἔοικεν. εἶναι ἂν ἔνια τῶν ῥεόντων ὑδάτων, ἃ κατ' ἄλλους μὲν πόρους ἔχει τὴν ἔκρυσιν κατὰ φύσιν εἰς τὴν ἐπιφάνειαν, ὧν δὴ τὰ στόματα, πηγὰς καὶ κρήνας καλοῦμεν. κατ' ἄλλους δὲ πόρους, συνέλκεται πρὸς τὸ τῆς θαλάττης πάθος. καὶ συνεξαίροντα μὲν ἐκείνην, ὥστε πλημμυρεῖν, ὅταν οἷον ἡ ἐκπνοὴ γίνηται, τὸ οἰκεῖον ἀπολείπει ῥεῖθρον. πάλιν ἀναχωρεῖ πρὸς τὸ οἰκεῖον ῥεῖθρον, ὅταν κἀκείνη λάβῃ τὴν ἀναχώρησιν.

ΟΤΙ φησὶ ποσειδώνιος, τὴν τοῦ ὠκεανοῦ κίνησιν, ὑπέχειν ἀστροειδῆ περίοδον. τὴν μὲν ἡμερήσιον, πρὸς τὰς τοῦ ἡλίου ἀνατολάς τε καὶ δύσεις. τὴν δὲ μηνιαίαν, πρὸς τὰς τῆς σελήνης φάσεις

βαίτιδος
Polybius
Fons gadiú
Athenodor
Posidoni



φάσεις. τὴν δὲ ἐνιαυσίαν, πρὸς τὰς τοῦ ἡλίου τροπάς. καθ' ἡμέραν γὰρ πρὸς τὴν τῆς σελήνης συμπάθειαν, ὅταν ὑψωθῇ ἀπὸ τοῦ ὁρίζοντος ζῳδίου μέγεθος, ἄρχεσθαί τε διοιδεῖν τὴν θάλατταν καὶ πλημμύρειν, μέχρι μεσουρανήσεως αὐτῆς. ἐκκλίναντος δὲ τοῦ ἄστρου, πάλιν ἀναχωρεῖν κατ' ὀλίγον, ἕως ἂν ζῴδιον ὑπερέχουσα τοῦ δυτικοῦ ὁρίζοντος, τελέως μειωθῇ. εἶτα ἐν τῇ ῥηχίᾳ ταύτῃ διαμένειν τὸν ὠκεανόν, ἕως ἡ σελήνη διάσασα ἀποφύγῃ τοῦ ὁρίζοντος πάλιν, ζῳδιακὸν ὑπὸ γῆν διάστημα. εἶτα κατὰ τὸ ὅμοιον σχῆμα, ἕως τοῦ ὑπογείου πλημμυρεῖ. καὶ πάλιν ὑπονοστεῖ, ἕως ἐλθοῦσα πρὸς τῆς ἀνατολῆς ζῳδιακὸν διάστημα τελέως, ῥηχίαν σχοίη. εἶτα ἐν τῇ ῥηχίᾳ μένει, ἕως ἂν ὑψωθῇ τοῦ ὁρίζοντος τὸ ζῳδιακὸν διάστημα. καὶ οὕτως καθ' ἑκάστην γίνεται ἡμέραν, ἐξ ἀϊδίου. ἡ δὲ μηνιαία, γίνεται οὕτως. ἐπιτείνονται αἱ αὐξομειώσεις, περὶ τὰς συνόδους καὶ πανσελήνους. μειοῦνται δὲ περὶ τὴν διχότομον ἑκατέραν. ἡ δ' ἐνιαυσιαία, γίνεται οὕτως. περὶ τὰς τροπὰς ἑκατέρας τοῦ ἡλίου, ἐπιτείνονται αἱ αὐξομειώσεις τῶν ἀμπώτεων. περὶ δὲ τὰς ἰσημερίας ἑκατέρας, μειοῦνται ἐσχάτως. καὶ τοῦτο, ἀεὶ γίνεται. πάλιν δὲ τῆς σελήνης ἐν τοῖς τροπικοῖς ζῳδίοις, ἀνωμαλίαν εἶναι τῶν ἀμπώτεων καὶ πλημμυρῶν, περί τε τάχει καὶ περὶ πλήθει τῶν αὐξομειώσεων. ἐν δὲ τοῖς ἰσημερινοῖς, ὁμαλίαν τε καὶ εὐταξίαν. ἐν δὲ τοῖς δισώμοις, μεταξὺ τούτων.

## ΧΡΗΣΤΟΜΑΘΕΙΑΙ ΕΚ ΤΩΝ Στράβωνος γεωγραφικῶν βιβλίου τρίτου.

ΟΤΙ οὐκ ἔστιν πάντων τῶν κελτῶν, ὁμὸς θρόος, οὐδ' ἰαγῆρυς. ΟΤΙ αἱ ἄλπεις, ἀπὸ τῆς λιγυστικῆς ἀρξάμεναι θαλάσσης, ἄχρι τὰς τοῦ ῥήνου διήκουσιν ἐκβολάς. ΟΤΙ τὸ κέμμενον ὄρος, πρὸς ὀρθὰς γωνίας ἐστὶ τῇ πυρήνῃ. μῆκος ἔχον, περὶ στάδια ,β. καὶ πανε-

αὐξομειώσεις
αὐξομειώσεις
δίσωμοις
ἰαγῆρυς
Cemmenú M

παύεται, περὶ λούγδουνον πόλιν πρὸς ἀνατολάς. οἱ δὲ τῆς τε πυρήνης καὶ τῶν κεμμένων πρὸς βορρᾶν οἰκοῦντες ἕως τοῦ ὠκεανοῦ, ἀκυιτανοὶ καλοῦνται, ἀφοριζόμενοι ὑπὸ λίγειρι ποταμῷ ἀπὸ λουγδουνησίας. ΟΤΙ πᾶσα σχεδὸν ἡ κελτική, ποταμοῖς ἐστιν κατάρρυτος. οὕτως δὲ οἱ ποταμοὶ εὐφυῶς κεῖνται, ὥστε ἀπὸ τοῦ ὠκεανοῦ εἰς τὴν ἔσω θάλασσαν καὶ ἔμπαλιν, τὰ φορτία διὰ τῶν ποταμῶν οἱ ἔμποροι διαβιβάζουσιν, ὀλίγων τινῶν χωρίων πεζῇ κομίζεσθαι ἀναγκαζόντων. ἔστιν δὲ καὶ πολυανθρωποτάτη ἡ κελτική, καὶ εὔφορος. περὶ δὲ νάρβωνα καὶ τὴν παραλίαν αὐτῆς ἕως τῶν κεμμένων, ἐλαιόφυτός ἐστιν. τὰ δὲ πρὸς βορρᾶν προϊόντα ἐκ τοῦ κατ' ὀλίγον, οὐ δὲ ἄμπελον ἔχει.

ΟΤΙ ἡ ναρβωνησία, παραλληλόγραμμον ἔχει τὸ σχῆμα. ὧν ἡ νοτία θάλασσα καὶ τὸ κέμμενον ὄρος ἕως τῶν ἄλπεων, αἱ ἀπεναντίον. ἡ δὲ πυρήνη καὶ αἱ ἄλπεις, αἱ λοιπαὶ δύο ἀπεναντίον. διορίζεται δὲ ἡ ναρβωνῖτις χώρα ἀπὸ τῆς ἰταλίας ὑπὸ οὐάρῳ ποταμῷ. ἀπὸ δὲ τῆς ἰβηρίας, ὑπὸ ἱερῷ τῆς πυρηναίας ἀφροδίτης. εἰσὶν μεταξὺ τοῦ ἀφροδισίου, καὶ τῶν τοῦ οὐάρου ποταμοῦ ἐκβολῶν ἡ παραλία, στάδια ͵βψ. ΟΤΙ ἡ μασσαλία πόλις ἑλληνική, τοσοῦτον ἦν σώφρων καὶ μετρία, ὥστε καὶ νόμον εἶχον, τὴν μεγίστην προῖκα, χρυσῶν εἶναι ρ. τὴν δὲ ἐσθῆτα, χρυσῶν ε. καὶ τὸν τῶν γυναικῶν κόσμον, ὁμοίως χρυσῶν ε. τοσοῦτον δὲ τοὺς λόγους καὶ τὴν φιλοσοφίαν ἔργῳ ἐξήσκησαν, ὥστε τοὺς φιλομαθείᾳ ἐχομένους ῥωμαίους, μὴ εἰς ἀθήνας ἀλλ' εἰς μασσαλίαν πορεύεσθαι. ἔστιν δὲ ἡ πόλις, φωκαέων ἀποικία.

ΟΤΙ μεταξὺ νάρβωνος καὶ τοῦ ἀφροδισίου ἄκρου, ἐκ τῆς πυρήνης ῥεῖ ποταμός, ὁ ῥουσκίνων. οὗ πλησίον, λίμνη. καὶ χωρίον ὕφυδρον μικρὸν ὑπὲρ τῆς θαλάττης, ἀλυκίδων μεστόν, τὸ τοὺς ὀρυκτοὺς κεστρεῖς ἔχον. δύο γὰρ ἢ τρεῖς ὀρύξαντι πόδας, καὶ καθέντι τρίαιναν εἰς ὕδωρ ἰλυῶδες, ἔστιν περιπεῖραι τὸν ἰχθύν, ἀξιόλογον τὸ μέγεθος. τρέφεται δ' ὑπὸ τῆς ἰλύος, καθάπερ αἱ ἐγχέλυες. ΟΤΙ μεταξὺ μασσαλίας καὶ τῶν τοῦ ῥοδανοῦ

ἐκβο

Lugdunu(m)
Pyrene M.
Aquitani
Ligeris fl.
Narbonesis
Varus fl.
Pyrenææ ueneris t.
Massilienses mores
Ruscino fl.
ἀλυκίδων
Cestrei fossiles



ἐκβολῶν ποταμοῦ, ἔστιν πεδίον διέχον τῆς θαλάσσης στάδια ρ. τοσοῦτον δέ, καὶ τὸ διάμετρον, κυκλοτερὲς τὸ σχῆμα. καλεῖται δὲ λιθῶδες, ἀπὸ τοῦ συμβεβηκότος. μεστὸν γάρ ἐστιν λίθων χειροπληθῶν, ὑποπεφυκυῖαν ἐχόντων αὐτοῖς ἄγρωστιν. ἀφ' ἧς, ἄφθονοι νομαὶ βοσκήμασίν εἰσιν. ἐν μέσῳ δ' ὕδατα καὶ ἀλυκίδες ἐνίστανται καὶ ἅλες. ἀριστοτέλης μὲν οὖν φησιν, ὑπὸ σεισμῶν τῶν καλουμένων βραστῶν, ἐκπεσόντας τοὺς λίθους εἰς τὴν ἐπιφάνειαν, συνολισθεῖν εἰς τὰ κοῖλα τῶν χωρίων. ποσειδώνιος δὲ λίμνην οὖσαν παγῆναι, μετὰ κλυδασμοῦ. καὶ διὰ τοῦτο, εἰς πλείους μερισθῆναι λίθους, καθάπερ τοὺς ποταμίους κάχληκας, καὶ τὰς ψήφους τὰς αἰγιαλίτιδας. καὶ ἔστιν ἑκάτερος τῶν λόγων, πιθανός. ἀνάγκη γὰρ τοὺς οὕτως συνεστῶτας λίθους, οὐ καθ' αὐτοὺς ἢ ἐξ ὑγροῦ παγέντας, μεταβάλλειν ἐκ πετρῶν μεγάλων ῥήγματα συνεχῆ λαβουσῶν, ἀποκριθῆναι. ΟΤΙ οἱ σάλυες οἰκοῦσι, μεταξὺ ῥοδανοῦ ποταμοῦ καὶ δρουεντία ποταμοῦ, ἐπὶ στάδια φ. ΟΤΙ οἱ πλησίον καππαδοκίας γαλάται, κελτῶν εἰσιν ἄποικοι. ΟΤΙ ἐν τῇ ἀκυιτανίᾳ τῆς κελτικῆς ἣν ἔχουσι τάρβελλοι, μέταλλα ἐστὶν χρύσεα σπουδαιότατα πάντων. ἐν γὰρ βόθροις ὀρυχθεῖσιν ἐπὶ μικρόν, εὑρίσκονται καὶ χειροπληθεῖς χρυσίου πλάκες, ἔσθ' ὅτε μικρᾶς ἀποκαθάρσεως δεόμεναι. τὸ δὲ λοιπόν, ψῆγμα ἐστὶν καὶ βῶλοι καὶ αὐταὶ κατεργασίαν οὐ πολλὴν ἔχουσαι. ἡ δὲ μεσόγειος καὶ ὀρεινή, βελτίω γῆν ἔχει.

ΟΤΙ τὸ σύμπαν ἔθνος, ὃ νῦν κελτικόν τε καὶ γαλατικὸν καὶ γαλλικὸν καλεῖται, ἀρειμάνιόν τε ἐστὶν καὶ θυμικὸν καὶ μάχιμον καὶ μᾶλλον ἱππικῇ μάχῃ εὐδοκιμοῦν. καὶ τὸ κράτιστον ῥωμαίοις ἱππικόν, οὗτοι παρέχουσιν. εἰσὶν δὲ τοῖς τρόποις, ἁπλοῖ, καὶ οὐ κακοήθεις. εἰς δὲ τὸ διεγερθῆναι πρὸς πόλεμον, ἑτοίμως ἐρεθίζονται ὡς μισοπόνηροι. καὶ πάλιν, εὐκόλως χειροῦνται καὶ δουλοῦνται. καὶ εἰσὶν τῶν ἰβήρων ῥωμαλεώτεροι, διὰ τὰ τῶν σωμάτων μεγέθη. καὶ τούτων, οἱ παρωκεανῖται μᾶλλον. οὐκ ἀντέχουσι δὲ χρόνον πολὺν πολεμοῦντες. καὶ γὰρ πρὸς ῥωμαίους πολεμεῖν

Lapideus campus
ἀλυκίδες
Aristoteles
σεισμῶν βραστῶν
Posidonius
Salyes
Rhodanus fl.
Druentia fl.
Galatæ Cappadociæ
Tarbelli
Celticu(m) Galaticu(m) Gallicu(m) Id.

μὲν ἤρξαντο ὕστεροι τῶν Ἰβήρων, ἀλλὰ πρότεροι κατεστράφησαν. οἱ δ᾽ Ἴβηρες, ὅτε πανστρατιᾷ ὥσπερ οἱ γαλάται ἐπολέμουν, ὅτε καθ᾽ ἕνα τόπον. ἀλλὰ κατὰ πολλὰ τῆς χώρας, καὶ ἄλλοτε ἀλλαχοῦ, δυσαλωτότεροι γεγόνασιν.

ΟΤΙ τῶν γαλατῶν οἱ βέλγαι, ἀνδρειότατοί εἰσιν, εἰς ιε' ἔθνη διῃρημένοι. οἰκοῦσι δὲ μεταξὺ τοῦ ῥήνου καὶ τοῦ λίγηρος, παρωκεανῖται ὄντες. καὶ εἰσὶν οὗτοι τοῖς γερμανοῖς γείτονες, καὶ τὴν ἄλλην δίαιταν ὅμοιοι. καὶ διὰ τὴν τῶν γυναικῶν εὐτεκνίαν, εἰς λ' μυριάδας, τὸ τῶν βελγῶν ἐξητάζετο μάχιμον πλῆθος. σαγηφοροῦσι δὲ καὶ κομοτροφοῦσι καὶ χαμαιεῦναι εἰσὶ καὶ κρεαφάγοι καὶ γαλακτοπόται. καὶ ἡ χώρα κτηνοτρόφος συσὶ καὶ προβάτοις. ἀντὶ δὲ χιτώνων, σχιστοὺς χειριδωτοὺς φοροῦσι, μέχρι γλουτῶν καὶ αἰδοίων. τὰ δ᾽ ἔρια αὐτοῖς, τραχέα μὲν ἀκρόμαλλα δέ. ἀφ᾽ ὧν τοὺς δασεῖς σάγους ἐξυφαίνουσι, καὶ τῇ ἰταλίᾳ πάσῃ χορηγοῦσιν ἐπ᾽ ἐμπορείᾳ, καὶ τὰ ἐκ τῶν συῶν ταρίχη. ὁπλισμὸς δὲ μάχαιρα μακρά, παρηρτημένη παρὰ τὸ δεξιὸν πλευρόν, καὶ θυρεὸς μακρός, καὶ λόγχαι κατὰ λόγον, καὶ μάδαρις παλτοῦ τι εἶδος. ἔστι δ᾽ ἔτι καὶ γρόσφῳ ἐοικὸς ξύλον, ἐκ χειρὸς οὐκ ἐξ ἀγκύλης ἀφιέμενον, τηλεβολώτερον καὶ βέλους, ᾧ μάλιστα καὶ πρὸς τὰς τῶν ὀρνέων χρῶνται θήρας. αἱ δὲ ὕες αὐτοῖς καὶ ἀγραυλοῦσιν, ὕψει καὶ τάχει καὶ ἀλκῇ διαφέρουσαι. κίνδυνος δ᾽ ἐστὶ τῷ ἀήθει προσιόντι ταύταις, ὡς αὔτως καὶ λύκῳ.

ΟΤΙ παρὰ πᾶσι κελτοῖς τρία γένη ἔντιμα αὐτοῖς ἐστι μάλιστα, βάρδοι τε, ποιηταὶ ὄντες ὕμνων, καὶ οὐάτεις, ἱεροποιοὶ καὶ φυσιολόγοι, καὶ δρυΐδαι πρὸς τῇ φυσιολογίᾳ, καὶ τὴν ἠθικὴν φιλοσοφίαν ἀσκοῦσι, δικαιότατοι νομιζόμενοι. ἀφθάρτους δὲ τὰς ψυχὰς οὗτοι λέγουσιν εἶναι, καὶ τὸν κόσμον. ἐπικρατήσειν δέ ποτε, καὶ πῦρ καὶ ὕδωρ. τῷ δὲ ἁπλῷ καὶ θυμικῷ, πολὺ τὸ ἀνόητον καὶ ἀλαζονικὸν πρόσεστι τοῖς γάλλοις, καὶ τὸ φιλόκοσμον. χρυσοφοροῦσι γάρ, περὶ μὲν τοῖς τραχήλοις, στρεπτόν. περὶ δὲ τοῖς βραχίοσι καὶ τοῖς καρποῖς, ψέλια. καὶ ἐσθῆτας αὐτοῖς τοῖς ἄρχουσι, χρυσοπάστους. καὶ εἰσὶν ἀφόρητοι:

Belgæ
Rhenus
Liger — Fl.
Germani
χιτῶνες
χειριδωτοί
σχιστοί
Lana aspera gallin
Sagi
θυρσεός
μαδαρις
παλτοῦ
γρόσφῳ
ἀγκύλη
Bardi
Vate
Druydæ,

στρεπτὸν περὶ τοῖς τραχήλοις. i. monile
ψέλια περὶ τοῖς βραχίοσι ἢ τοῖς καρποῖς. i. armillæ



ρητοι μὲν νικῶντες, ἡττηθέντες δὲ ἔκπληκτοι.

ΟΤΙ ἔναντι τῶν τοῦ λίγηρος ποταμοῦ ἐκβολῶν, νῆσός ἐστι μικρὰ οὐ πάνυ πελαγία ἐν τῷ ὠκεανῷ. ἐν ᾗ τῶν σαμνιτῶν αἱ γυναῖκες βάκχαι τοῦ διονύσου κατεχόμεναι, οἰκοῦσιν, ἐξιλεούμεναι τὸν θεόν. οὐ θέμις δ᾽ ἐπιβαίνειν ἄνδρα, τῆς νήσου. αἱ δὲ γυναῖκες ἀντιπλεύσασαι ἐκ τῆς νήσου, συνέρχονται τοῖς σφετέροις ἀνδράσι, καὶ πάλιν ἀπίασιν εἰς τὴν νῆσον.

ΟΤΙ κελτοὶ πάντες, φιλόνεικοί εἰσιν, καὶ οὐ νομίζεται παρ᾽ αὐτοῖς αἰσχρόν, τὸ ἀφειδεῖν τοὺς νέους τῆς ἀκμῆς. ἀσκοῦσι δὲ μὴ παχεῖς εἶναι μηδὲ προγάστορας. τὸν δ᾽ ὑπερβαλλόμενον τῶν νέων τὸ τῆς ζώνης μέτρον, ζημιοῦσθαι φασίν.

ΟΤΙ ἡ πλείστη τῆς μεγάλης βρετανίας, πεδιάς ἐστι καὶ κατάδρυμος. πολλὰ δ᾽ ἔχει καὶ ὀρεινά. φέρει δὲ σῖτον καὶ βοσκήματα καὶ μέταλλα χρυσοῦ καὶ ἀργύρου καὶ σιδήρου. καὶ δέρματα δὲ καὶ ἀνδράποδα χορηγεῖ καὶ κύνας κυνηγετικούς. κελτοὶ δὲ καὶ τοῖς κυσὶ τούτοις χρῶνται πρὸς τοὺς πολέμους. εἰσὶ δ᾽ οἱ βρετανοί, εὐμήκεις τοῖς σώμασιν. τὰ δ᾽ ἤθη ἁπλούστερα καὶ βαρβαρώτερα ἔχουσιν, ἤπερ οἱ κελτοί. ὥστ᾽ ἐνίους διὰ τὸ ἀγνοεῖν, καίτοι γάλακτος εὐποροῦντας, οὐ τυροποιοῦσιν. ἄπειροι δ᾽ εἰσίν, καὶ κηπείας καί τινων γεωργίας τρόπων. πόλεις δ᾽ αὐτοῖς, οἱ δρυμοί εἰσιν. περιφράξαντες γὰρ δένδρεσι καταβεβλημένοις εὐρυχωρῆ κύκλον, ἐνταῦθα καὶ αὐτοὶ καλυβοποιοῦνται, καὶ τὰ βοσκήματα κατασταθμεύουσιν, οὐ πρὸς πολὺν χρόνον. ἔπομβροι δ᾽ εἰσὶν οἱ ἀέρες μᾶλλον ἢ νιφετώδεις αὐτοῖς. ἐν δὲ ταῖς αἰθρίαις, ὁμίχλη κατέχει πολὺν χρόνον. ὥστε δι᾽ ἡμέρας ὅλης, ἐπὶ τρεῖς μόνον ἢ τέτταρας ὥρας τὰς περὶ τὴν μεσημβρίαν, ὁρᾶσθαι τὸν ἥλιον.

ΟΤΙ δὶς διέβη καῖσαρ ὁ θεός, εἰς τὴν βρετανίαν. ἄξιον δὲ λόγου, οὐδὲν ἔπραξεν. αἱ γὰρ νῆες αὐτοῦ τῆς πανσελήνου ἐπίδοσιν λαβούσης τῆς ἀμπώτεως, κακῶς ἔπαθον καὶ ἐφθάρησαν αἱ πολλαί. δύο δὲ νίκας ἐνίκησεν ἐκεῖ, καίτοι δύο μόνα τάγματα περαιώσας τῆς στρατιᾶς, καὶ ἔλαβεν λείαν πολλήν.

Sammites
ἀφιδεῖν τῆς ἀκμῆς
Britania magna
Cæsar

ἤδη δὲ τοῦ αὐγούστου, τελείως εἰς φόρου ἀπαγωγὴν ῥωμαίοις κατέστησαν. ΟΤΙ οἱ τὴν ἰέρνην νῆσον κατοικοῦντες βρεττανοί, ἄγριοί εἰσι καὶ ἀνθρωποφάγοι καὶ ποηφάγοι, καὶ τοὺς γονεῖς τελευτήσαντας ἐσθίουσι. καὶ φανερῶς μίγνυνται γυναιξί τε ἄλλαις, καὶ μητράσι. ΟΤΙ πυθέας, εἰ καί τινα περὶ θούλης λέγων ἐψεύσατο, ὅμως τῆς περὶ τὸ μαθηματικὸν θεωρίας, εὖ λέγει περὶ αὐτήν. λέγει δὲ, τῶν μὲν ἡμέρων καρπῶν τε καὶ ζώων, ἄφορον εἶναι καὶ σπάνιν. κέγχρῳ δὲ καὶ ἄλλοις λαχάνοις καὶ καρποῖς καὶ ῥίζαις, τρέφεσθαι. σῖτος δὲ, ὀλίγος γίνεται.

ΟΤΙ ἐκ τῶν αὐτῶν τόπων τῆς λιγυστικῆς, ἄρχονται αἵ τε ἄλπεις καὶ τὰ ἀπέννινα ὄρη. φασὶ δὲ τὰ ὄρη τῆς λιγυστικῆς, τοσοῦτον εἶναι ξυλοτρόφα, ὡς εὑρίσκεσθαί τινα δένδρα, καὶ ὀκτὼ ποδῶν ἔχοντα τὸ διάμετρον τοῦ πάχους. τὰ δὲ ὄρη ταῦτα, ὑπερύψηλα καὶ ἀπότομα. ΟΤΙ οἱ λίγυες, οἴνῳ χρῶνται τῷ ἐκ τῆς γῆς σφῶν γινομένῳ, πιττίτῃ αὐστηρῷ. πλεονάζει δὲ τὸ λιγγούριον παρ᾽ αὐτοῖς, ὅ τινες ἤλεκτρον προσαγορεύουσιν.

ΟΤΙ μεταξὺ λιγύων καὶ τῆς μασσαλίας, οἰκεῖ τὸ τῶν σαλύων ἔθνος παράλιον, τὰς ἄλπεις τὰς παραλίους οἰκοῦν. φασὶ δὲ τὸ ὕψος τῶν ὀρέων εἶναι ἧ ὀξύτατόν ἐστι, στάδια ρ, καὶ τοσοῦτον αὖθις τὴν κατάβασιν. ΟΤΙ ἐκ τῶν ἄλπεων ῥεῖ, ὅ, τε ῥῆνος, καὶ ὁ ἴστρος, καὶ ὁ πάδος, καὶ ὁ ῥοδανός.

ΟΤΙ ὁ πάδος ποταμὸς, ἁπάντων ἐστὶ μείζων τῶν ἐν εὐρώπῃ ποταμῶν πρὸς ταῖς ἐκβολαῖς αὐτοῦ, πλὴν μόνου τοῦ ἴστρου.

ΟΤΙ περὶ τὰς ἄλπεις καὶ τὰ δυσμικὰ τῆς ἰταλίας ἡ ὁδὸς, χαλεπωτάτη ἐστὶ καὶ κρημνώδης, ὡς καὶ τοῖς μικρὸν ὀλισθήσασι, κίνδυνον εἶναι, εἰς φάραγγας ἀβύσσους κατενεχθῆναι. ἃς ὁ αὔγουστος, δαπάναις πολλαῖς ἀνέκλισε, καὶ ἐπὶ τὸ δυνατὸν ἐπλάτυνεν. ἔχει δέ τι παράδοξον καὶ ἕτερον, ἡ χώρα. κρυστάλλου γὰρ πλάκες μέγισται ἐκ τῶν ἀκρωρειῶν ἀπορρηγνύμεναι, διέφθειρον τοὺς ὁδίτας. ΟΤΙ ἐστὶ λέξις οἱ δημοσιῶναι, ὥσπερ οἱ σιτῶναι καὶ βοῶναι καὶ ὀψῶναι. ΟΤΙ στράβων ὁ γεωγράφος,

Hiberna insu.
μητράσιν
Pytheas
λιγγούριον ἤλεκτρον Idé
Salyes
Ex alpibus
Rhenus
Ister
Padus
Rhodanus
Padus maximus flu
uiorũ europe præ
ter istrũ apud p̃pria ostia
δημοσιῶναι
σιτῶναι
βοῶναι



ἤδη νέρωνος ἤκμαζεν τοῦ ῥωμαίων αὐτοκράτορος.

ΟΤΙ αἱ ἄλπεις, ἰδιόμορφόν τι ζῷον γεννῶσιν, ἐλαφοειδὲς τὸ σχῆμα, πλὴν αὐχένος καὶ τριχώματος. ταῦτα δ᾽ ἐοικέναι κάπρῳ. ὑπὸ δὲ τῷ γενείῳ, πυρῆνα ἴσχει ὅσον σπιθαμιαῖον, ἀκρόκομον, πωλικῆς κέρκου τὸ πάχος. ΟΤΙ φησὶ πολύβιος, κατ᾽ ἀκυληίαν εὑρεθῆναι χρύσια μέταλλα οὕτως εὐφυῆ, ὥστε ἤδη δύο πόδας ἀποσύραντι τὴν ἐπιπολῆς γῆν, εὐθὺς ὀρυκτὸν εὑρίσκεσθαι χρυσόν. τὸ δ᾽ ὄρυγμα, μὴ πλειόνων ὑπάρχειν ἢ ιε ποδῶν. εἶναι δὲ τοῦ χρυσοῦ, τὸν μὲν αὐτόθεν καθαρὸν, κυάμου μέγεθος ἢ θέρμου, τοῦ ὀγδόου μέρους μόνον ἀφεψηθέντος. τὸν δὲ, δεῖσθαι μὲν χωνείας πλείονος, σφόδρα δὲ λυσιτελοῦς.

## ΧΡΗΣΤΟΜΑΘΕΙΑΙ ΕΚ ΤΩΝ Στράβωνος γεωγραφικῶν βιβλίου τετάρτου.

ΟΤΙ τὸ παλαιὸν, ἰταλία ἐκαλεῖτο, ἡ περιεχομένη χώρα, ὑπό τε τῆς νῦν μεγάλης ἑλλάδος, καὶ ἰαπυγίας, καὶ ποσειδωνιάτου κόλπου. ὕστερον δὲ διὰ τὸ εὐτυχὲς τοῦ ὀνόματος, ἐπεκράτησε καὶ ἕως οὐάρου ποταμοῦ καὶ τοῦ ἀδριατικοῦ μυχοῦ καὶ τῶν ἄλπεων, ἰταλία καλεῖσθαι. ΟΤΙ τῶν ἄλπεων περιφερής ἡ ὑπώρειά ἐστι καὶ κολπώδης, τὰ κοῖλα ἔχουσα ἐστραμμένα πρὸς τὴν ἰταλίαν. τοῦ δὲ κόλπου τὰ μὲν μέσα, πρὸς τοῖς σαλασσοῖς ἐστι. τὰ δ᾽ ἄκρα, ἐπιστροφὴν λαμβάνει. τὰ μὲν μέχρι τῆς ἄκρας καὶ τοῦ μυχοῦ τοῦ ἀδρίου. τὰ δ᾽, εἰς τὴν λιγυστικὴν παραλίαν, μέχρι γενούας τῶν λιγύων τοῦ ἐμπορείου, ὅπου τὰ ἀπέννινα ὄρη συνάπτει ταῖς ἄλπεσιν. ΟΤΙ μόνη ἡ τοῦ ἀδριατικοῦ μυχοῦ παραλία τῆς καθ᾽ ἡμᾶς θαλάσσης, μιμεῖται τὰ τοῦ ὠκεανοῦ πάθη, ὁμοίως ἐκείνῳ πλημμυροῦσά τε καὶ ἀναρροιβδοῦσα, καθ᾽ ἑκάστην ἡμέραν. ὑφ᾽ ὧν τὸ πλέον τοῦ πεδίου, λιμνοθαλάττης γίνεται μεστόν.

m 2 διώρυ

Neronis tépore
floruisse Stra
boné intellige
Tiberij neronis
Polybi9
Agleia
Italiæ termi
ni
Salassi
Genua ligur
emporiũ
Adriaticũ ma
re imitari æ
tus oceani so
lũ ex ... eta
tib9 maris
interni
πλημμύρουσα
ἀναρροιβδοῦσα

διώρυξι δὲ καὶ παραχώμασιν, καθάπερ ἡ κάτω χώρα τῆς αἰγύπτου διοχετεύεται. καὶ τὰ μὲν ἀνέψυκται καὶ γεωργεῖται. τὰ δὲ διάπλους ἔχει. τῶν δὲ πόλεων, αἱ μὲν νησίζουσιν, αἱ δ' ἐκ μέρους κλύζονται. ΟΤΙ ὁ περὶ τὴν ῥάβενναν ἀὴρ, καθαρώτατός ἐστιν καὶ ὑγιεινότατος. τούτου δ' αἴτιον, ἥ τε πλημμυρίς τε τῆς θαλάσσης καὶ ἡ τοῦ πάδου πλήρωσις, πᾶν τὸ βορβορῶδες ἀποκαθαίρουσα. τὰ αὐτὰ δὲ γίνονται, καὶ περὶ ἀλεξάνδρειαν. ἡ γὰρ τοῦ νείλου ἀνάβασις, τὴν τῆς γῆς λίμνης ἀφανίζει δυσωδίαν τὴν ἐκ τοῦ τέλματος. ΟΤΙ ἐν ῥαβέννῃ, τὰ ἕλη ποιοῦσι τὰς ἀμπέλους καρπιμωτάτας καὶ ταχυφόρους. ἀλλ' ἐν ε̄ ἔτεσι γηράσκουσαι, φθείρονται. ΟΤΙ ἀδρεία πόλις ἐστὶν, περὶ τὰ μυχὰ τοῦ ἀδρείου, ἀφ' ἧς ἡ ταύτῃ θάλασσα καλεῖται ἀδρείας. ἦν δὲ τὸ πάλαι ἐπιφανεστάτη. ΟΤΙ μετὰ τὸ τίμαυον μυχαίτατον ὂν τοῦ ἀδρείου, ἡ τῶν ἴστρων ἐστὶν παραλία μέχρι πόλας, ἣν καὶ καλλίμαχος μέμνηται λέγων,

ἀτὰρ κείνων γλῶσσ' ὀνόμηνε πόλας.

κτίσμα δέ ἐστιν κόλχων, καὶ αἱ ἀψυρτίδες νῆσοι, ἐπίκεινται τῇ πόλᾳ. ΟΤΙ ἡ λιγυστική, ἐν αὐτοῖς τοῖς ἀπεννίνοις ὄρεσιν ἵδρυται, μεταξὺ τυρρηνίας τε καὶ κελτικῆς. τραχεῖα δ' ἐστὶν, καὶ πετρώδης. ΟΤΙ ἡ τυρρηνία χώρα, μοῖρα οὖσα τῆς ἰταλίας, ἄρχεται ἀπὸ τῶν τῆς λιγυστικῆς ὁρίων, ἕως ποταμοῦ τοῦ τιβέριδος. παραθαλάσσιοι δ' ὄντες οὗτοι, καὶ τὰ πεδία οἰκοῦντες τὰ τῶν ἀπεννίνων ἀπολήγοντα, ἐξ ἧς καὶ ἡ παρακειμένη θάλασσα, τυρρηνικὴ καλεῖται. ΟΤΙ ὁ τίβερις ῥεῖ, ἀπὸ τῶν ἀπεννίνων ὀρέων. πληροῦται δ' ἐκ πολλῶν ποταμῶν. μέρος μέν τι, διὰ τῆς τυρρηνίας φερόμενος. τὸ δ' ἐφεξῆς, διορίζων ἀπ' αὐτῆς, πρῶτον μὲν τὴν ὀμβρικήν. εἶτα, σαβίνους καὶ λατίνους τοὺς πρὸς τῇ ῥώμῃ, μέχρι τῆς παραλίας. παραβέβληνται δέ πως, τῷ ποταμῷ μὲν καὶ τοῖς τυρρηνοῖς, κατὰ πλάτος. ἀλλήλοις δὲ κατὰ μῆκος. ἀνέχουσι δὲ πρὸς τὰ ἀπέννινα ὄρη, τὰ πρὸς τῷ ἀδρείᾳ. ΟΤΙ ἡ τῶν λατίνων χώρα μεταξὺ κεῖ-

ται

*Marginalia (p. 92):* διώρυξι · παραχώμασι · διοχετεύετ · διάπλους · Rauennæ aer · Adria .V. · Timauus in recessu intimo adriæ · Callim · Polæ · Tiberis tiberidos fl. · Apsyrtides insu- · Latiũ

*Τὰ μυχά. Ergo anomalũ ὁ μυχὸς τὰ μυχά*



ται, ἥ τε ἀπὸ τῶν ὠστίων παραλίας, μέχρι πόλεως σινυέσσης, καὶ τῆς σαβίνης. τὰ δ' ὤστια, ἐπίνειόν ἐστιν ῥώμης, εἰς ἃ ὁ τίβερις ἐκδίδωσιν. ἐκτείνεται δ' ἐπὶ μῆκος, μέχρι καμπανίας καὶ σαμνιτῶν.

ΟΤΙ τυρρηνοὶ καλοῦνται, ἀπὸ τυρρηνοῦ τοῦ ἄτυος, τοῦ στείλαντος ἐκ λυδίας ἀποίκους εἰς τὴν χώραν ταύτην. λιμῷ γὰρ ἡ μηονία ἐπιέζετο. καὶ διὰ τοῦτο ὁ ἄτυς βασιλεύων ἐκεῖ, ἡρακλείδης ὢν ἀπὸ ὀμφάλης, ἠναγκάσθη τὸν μὲν ἕτερον τῶν παίδων λυδὸν καλούμενον, αὐτοῦ κατασχεῖν. ἐξ οὗ καὶ ἡ χώρα λυδία. τὸν δ' ἕτερον τυρρηνόν, στεῖλαι μετὰ τοῦ πλείστου λαοῦ. ὃς ἐλθὼν, ᾤκισεν τὴν ἐξ αὐτοῦ τυρρηνίαν. ΟΤΙ οἱ τυρρηνοὶ ἐπιφανεῖς γενόμενοι, πολλὰ ἔνδοξα ἔπραξαν, ἄλλα τε, καὶ τοὺς γαλάτας τοὺς τὴν ῥώμην ἐπὶ φουρίου λαβόντας, ὑπαντήσαντες περὶ σαβίνους κατεπολέμησαν, καὶ ὅσα χρήματα ἑκόντων ῥωμαίων ἔλαβον, πάντα ἠνάγκασαν τοὺς γαλάτας ἄκοντας δοῦναι, λύτρα τῶν ἁλόντων ὑπ' αὐτῶν. ΟΤΙ τὸ παρ' ὁμήρῳ πελασγικὸν ἄργος, ἡ θετταλία λέγεται. ὅ ἐστιν μεταξὺ τῶν ἐκβολῶν τοῦ πηνειοῦ καὶ τῶν θερμοπυλῶν, ἕως τῆς ὀρεινῆς τῆς κατὰ πίνδον, διὰ τὸ ἐπάρξαι τῶν τόπων τούτων τοὺς πελασγούς. τόν τε δία τὸν δωδωναῖον, ὀνομάζει ὅμηρος.

ζεῦ ἄνα δωδωναῖε πελασγικέ.

πολλοὶ δὲ καὶ τὰ ἠπειρωτικὰ ἔθνη, πελασγικὰ εἰρήκασιν, ὡς καὶ μέχρι δεῦρο τῶν πελασγῶν ἐπαρξάντων. ἀλλὰ καὶ τοὺς ὁμόρους τῶν ἐν τροίᾳ κιλίκων ὅμηρος, πελασγοὺς εἴρηκεν λέγων,

ἱππόθοος δ' ἄγε φῦλα πελασγῶν.

ΟΤΙ τοὺς πελασγοὺς διὰ τὸ πλάνητας εἶναι, καὶ δίκην ὀρνέων ἐπιφοιτᾶν ἐφ' οὓς ἔτυχεν τόπους, φασὶν πελαργοὺς ὑπὸ τῶν ἀττικῶν κληθῆναι. ΟΤΙ τῆς τυρρηνίας, τὸ μὲν μῆκος ἡ μέγιστόν ἐστιν ἀπὸ λούνης πόλεως μέχρι ὠστίων, σταδίων ͵β φ̄. πλάτος δὲ τοῦ ἡμίσους ἔλαττον τὸ πρὸς τοῖς ὄρεσιν. ἡ δὲ λοῦνα, μικρὰ μέν ἐστιν πόλις, ἔχει δὲ λιμένα μέγιστον καὶ κάλλιστον. ἔχει δὲ μέταλλα, λίθου ποικίλου λευκοῦ ὑπογλαυκίζοντος.



*Marginalia (p. 93):* Simuessa · Ostia · Tyrrheni · Atys · Furius Camill. · Argos pelasgicum · Homer. · Homer. · Pelargi Pelasgi · Tyrrheniæ termini · Luna .V.

ἀφ' ὧν τὰ ἐν ῥώμῃ ἔδαφη, καὶ οἱ ναοὶ οἱ κάλλιστοι κοσμοῦνται. οἱ δ' ἕλληνες καλοῦσι τὸν λιμένα, σελήνης λιμένα.

ΟΤΙ ἀπὸ λουνῆς εἰς πίσαν, στάδιοι εἰσὶ πλείους τῶν υ. ἡ δὲ πίσα, κτίσμα ἐστὶ τῶν ἐκ πελοποννήσου πισατῶν. οἱ μετὰ νέστορος στρατεύσαντες, ἐν τῷ νόστῳ ἐπλανήθησαν, καὶ ταύτην τὴν πίσαν ἔκτισαν. ΟΤΙ ὁ στράβων, εἶδεν τοὺς ἐργαζομένους τὸν σίδηρον, τὸν ἐκ τῆς αἰθαλίας νήσου τῆς πλησίον κύρνου, κομιζόμενον. οὐ γὰρ δύναται συλλιπαίνεσθαι, καμινευόμενος ἐν τῇ νήσῳ. κομίζεται δ' εὐθὺς ἐκ τῶν μετάλλων, εἰς τὴν ἤπειρον. τοῦτο δὲ δὴ παράδοξον ἡ νῆσος ἔχει. καὶ τὸ τὰ ὀρύγματα ἀναπληροῦσθαι τῷ χρόνῳ, τὰ μεταλλευθέντα. καθάπερ τοὺς πλαταμῶνας φασί, τοὺς ἐν ῥόδῳ. καὶ τὴν ἐν πάρῳ πέτραν, τὴν μαρμάρου. καὶ τοὺς ἐν ἰνδοῖς ἅλας. ΟΤΙ ἡ κύρνος νῆσος, ὑπὸ ῥωμαίων κορσίκα καλεῖται. οἰκεῖται δὲ φαύλως τραχεῖά τε οὖσα, καὶ τοῖς πλείστοις μέρεσι δύσβατος τελέως, ὥστε τοὺς κατέχοντας τὰ ὄρη καὶ ἀπὸ ληστηρίων ζῶντας, ἀγριωτέρους εἶναι θηρίων. οἱ δ' ἀνδραποδισθέντες αὐτῶν ἀγόμενοι εἰς δουλείαν, ἢ οὐχ ὑπομένουσι ζῆν, ἢ ἀχρεῖοι τοῖς ὠνησαμένοις εἰσί. μῆκος δὲ τῆς νήσου, μίλια ρξ. πλάτος δὲ ο. σαρδόνος δὲ μῆκος μίλια σκ. πλάτος δὲ ϙη. ἡ δὲ σαρδὼ, ἔχει μὲν πολὺ, καὶ τὸ τραχὺ τῆς γῆς. ἔχει δὲ, καὶ τὸ βαθύγειον καὶ κάρπιμον. μάλιστα δ' ἐστὶ, σιτοφόρος. ὅσα δὲ αὐτῆς εὔκαρπα χωρία, νοσώδη ἐστὶ καὶ λοιμώδη τοῦ θέρους. ΟΤΙ ἐν τῇ σαρδοῖ γίνονται κριοί, φύοντες τρίχα αἰγείαν ἀντὶ ἐρέας, καλοῦνται δὲ ἐπιχωρίως μούσμωνες, ὧν ταῖς δοραῖς θωρακίζονται. ἔχουσι δὲ ξιφίδιον ἐπὶ πέλτην, ἐν ταῖς μάχαις. ΟΤΙ ἀπὸ σαρδοῦς, ἕως τῆς κατ' ἀντικρὺ λιβύης τὸ πέλαγος, μίλιά ἐστι τ. ΟΤΙ ἐν κόσσαις πόλει, θυννοσκοπεῖόν ἐστι. ἀκολουθεῖ γὰρ ὁ θύννος, οὐ τῇ βαλάνῳ μόνον, ἀλλὰ καὶ τῇ πορφύρᾳ παρὰ γῆν, ἀρξάμενος ἀπὸ τῆς ἔξω θαλάσσης, μέχρι καὶ σικελίας. ΟΤΙ οὐ πόῤῥω πάνυ τῆς ῥώμης, λίμναι εἰσὶν ἀγαθαὶ ἰχθυοτρόφοι. ἀφ' ὧν τύφη τε

καὶ

Lunae portus
σελήνης λιμών. nota p̄ p̄rio.
Pisa. V.
Aethalia insu.
πλαταμῶνας
πάρος insu.
Marmor
μάρμαρον
Cyrnus
Corsica
Sardinia
σαρδών
σαρδοῖ ergo duplicitur, sardo. σαρδών ἢ σαρδώ.
Musmones
Cossae. V.
Thynnoscopio
Persij loc?



καὶ πάπυροι καὶ ἀνθήλη, εἰς ῥώμην κομίζονται.

ΟΤΙ αἰνείας ὁ ἀγχίσου, ἐκ τροίας καταίρας εἰς λαῦρον πλησίον τοῦ τιβέρεως τῶν ἐκβολῶν, μακρὸν ὑπὲρ τῆς θαλάσσης ὄσον κδ' σταδίοις, ἔκτισε πόλιν ἄλβαν. ἐπελθὼν δὲ λατῖνος ὁ τῶν ἀβοριγίνων βασιλεὺς, οὗτοι δ' ᾤκουν, ὅπου νῦν ἡ ῥώμη ἐστὶν, σύμμαχον ἔλαβεν τὸν αἰνείαν κατὰ τῶν ἀστυγειτόνων ῥουτούλων, τῶν τὴν ἀρδέαν οἰκούντων. στάδιοι δ' ἀπὸ ῥώμης εἰς ἀρδέαν ρξ. νικήσας δὲ, φίλος ἦν αἰνείᾳ. ὕστερον δ' ἀναμαχόμενοι οἱ ῥουτοῦλοι, τὸν λατῖνον ἔκτειναν. αὐτοὶ δὲ, ὑπὸ αἰνείου ἐκρατήθησαν. ἐπεὶ ἀπὸ τότε αἰνείας τῶν τόπων ἐκείνων βασιλεύσας, ὠνόμασε λατίνους τοὺς ὑφ' αὐτοῦ. ὕστερον δὲ υ ἔτεσιν ἱστορεῖται, τὰ περὶ τὸν ἀμόλιον καὶ τὸν ἀδελφὸν νομίτορα. οὗτοι δ' ἀπὸ αἰνείου κατήγοντο οὕτως. διεδέξαντο μὲν γὰρ τὸ τῶν λατίνων κράτος ἄμφω, παρὰ τῶν ἀπογόνων ἀσκανίου τοῦ αἰνείου παιδός. παραγκωνισάμενος δ' ὁ νεώτερος τὸν πρεσβύτερον, ἦρχεν ὁ ἀμόλιος. υἱοῦ δ' ὄντος καὶ θυγατρὸς τῷ νομίτορι, τὸν μὲν ἐν κυνηγίᾳ ἐδολοφόνησεν ὁ ἀμόλιος. τὴν δὲ ἵνα ἄτεκνος διαμένοι, τῆς ἑστίας ἱέρειαν κατέστησεν, παρθενείας χάριν. καλοῦσι δ' αὐτὴν, ῥέαν σιλουίαν. εἶτα φθορὰν φωράσας διδύμων αὐτῇ παίδων γενομένων, τὴν μὲν, εἷρξεν ἀντὶ τοῦ κτείνειν, χαριζόμενος τῷ ἀδελφῷ. τοὺς δ' ἐξέθηκε πρὸς τὸν τίβεριν, κατά τι πάτριον. μυθεύεται μὲν οὖν, ἐξ ἄρεως γενέσθαι τοὺς παῖδας. ἐκτεθέντας δὲ, ὑπὸ λυκαίνης ὁραθῆναι σκυλακευομένους. φαύστυλον δέ τινα τῶν περὶ τὸν τόπον συφορβῶν ἀνελόμενον, ἐκθρέψαι. καλέσαι δὲ, τὸν μὲν ῥωμύλον, τὸν δὲ ῥέμον. ἀνδρωθέντας δὲ, ἐπιθέσθαι τῷ ἀμολίῳ καὶ τοῖς παισί. καταλυθέντων δὲ ἐκείνων, καὶ τῆς ἀρχῆς εἰς τὸν νομίτορα περιστάσης, ἀπελθόντας οἴκαδε, κτίσαι τὴν ῥώμην ἐν τόποις, οὐ πρὸς αἵρεσιν μᾶλλον ἢ πρὸς ἀνάγκην ἐπιτηδείοις. οὔτε γὰρ ἐρυμνὸν τὸ ἔδαφος, οὔτε χώραν οἰκείαν ἔχον τὴν πέριξ, ὅση πόλει πρόσφορος. ἀλλ' οὐδ' ἀνθρώπους τοὺς συνοικίσοντας. οἱ γὰρ ὄντες, ᾤκουν καθ' αὑτοὺς, συνάπτοντες πρὸς τοῖς τείχεσι τῆς κτιζομένης

νης

Typha
Papyri
Anthele
Pisae
Aeneas
Laurus
Alba. V.
Aborigines
Rutuli
Ardea. V.
Amulius
Numitor
Rhea Sylvia
Romuli & Remi inst
Faustulus

νης πόλεως. οὐ δὲ τοῖς ἀλβανοῖς τοῖς τὴν ἄλβαν οἰκοῦσι, πάνυ προσέχοντες. κολλατία δ᾽ ἦν, καὶ ἀντέμναι, καὶ φιδῆναι, καὶ λαβικόν, καὶ ἄλλα τοιαῦτα, τότε μὲν πολίχνια. νῦν δὲ κῶμαι κτήσεις ἰδιωτῶν, ἀπὸ λ΄ ἢ μικρῷ πλειόνων τῆς ῥώμης σταδίων. γινομένης δὲ στάσεως φασὶ κατὰ τὴν κτίσιν, τὸν ῥέμον ἀποθανεῖν. μετὰ δὲ τὴν κτίσιν, ἀνθρώπους σύγκλυδας ὁ ῥωμύλος ἤθροιζεν. ἀποδείξας ἄσυλόν τι τέμενος, μεταξὺ τῆς ἄκρας καὶ τοῦ καπετωλίου. τοὺς δ᾽ ἐκεῖ καταφεύγοντας τῶν ἀστυγειτόνων, πολίτας ἀποφαίνων. ἐπιγαμίας δὲ τούτοις οὐ τυγχάνων, ἐπηγγείλατο ἐν ἀγῶνα ἱππικὸν τοῦ ποσειδῶνος, ἱερόν τε καὶ νῦν ἐπιτελούμενον. συνελθόντων δὲ πολλῶν, πλείστων δὲ σαβίνων, ἐκέλευσε τὰς παρθένους ἁρπάσαι τὰς ἀφιγμένας, τοῖς δεομένοις γάμου. μετιὼν δὲ τὴν ὕβριν τίτος τάτιος δι᾽ ὅπλων, ὁ βασιλεὺς τῶν κυριτῶν, ἐπὶ κοινωνίᾳ τῆς ἀρχῆς καὶ πολιτείας, συνέβη πρὸς τὸν ῥωμύλον. δολοφονηθέντος δὲ ἐν λαβινίῳ τοῦ τατίου. μόνος ἦρξεν ῥωμύλος ἑκόντων τῶν κυριτῶν. μετὰ δὲ τοῦτον, ἦρξεν νούμας πομπίλιος πολίτης τοῦ τατίου, παρ᾽ ἑκόντων λαβὼν τῶν ὑπηκόων.

ΟΤΙ ἀπὸ ὠστίας ἕως σινοέσσης ἡ παραλία, λατίνη καλεῖται. εἰς δὲ τὴν μεσόγαιαν, μέχρι καμπανίας διήκει καὶ σαμνιτῶν. ἅπασα δ᾽ ἐστὶν εὐδαίμων καὶ πάμφορος. πλὴν ὀλίγων χωρίων λιμνωδῶν καὶ ἑλωδῶν καὶ νοσερῶν. ΟΤΙ τὰ ὤστια, πόλις ἐστὶν ἀλίμενος παραλία, διὰ τὰς τοῦ τιβέριδος προχώσεις. ἐκδέχονται δὲ τὰς φορτηγοὺς ὁλκάδας πλησίον, τὰ ὑπηρετικὰ σκάφη, τὸν γόμον μεταγγίζοντα, καὶ οὕτως ὁ ἀνάπλους γίνεται πρὸς τὴν ῥώμην, ἀπεχούσαν ὠστίων, στάδια ρϛ΄.

ΟΤΙ τυῤῥηνοί, ἐλῄστευον τὴν ἑλλάδα. λαβόντων δὲ οἱ ἕλληνες τινὰς αὐτῶν, ἀπέστειλαν προῖκα, ῥωμαίοις ἐγκαλούντων, ὡς οὐ δίκαια ποιούντων, εἴγε ἑλλήνων ἄποικοι ὄντων, καὶ διοσκούρων ἱερὸν ἐν τῇ ἀγορᾷ ἱδρυσάμενοι οὓς σωτῆρας εἶναι πάντες πιστεύουσιν, οἱ δὲ κατὰ τῆς τῶν διοσκούρων πατρίδος, λῃστὰς πανορθῶσιν στελλομένους, καὶ ταῦτα ἐνωμόταται ὄντων. ῥωμαῖοι δ᾽ ἀκού-

Collatia
Antemnae
fidenae
Labicū
σύγκλυδας
ἀνθρώπους
Asylū
Titus Tatius
Cyritae
προχώσεις
γόμον μεταγγίζοντα
Castorū t. in foro romano

Inter arcē & capitoliū
μεταξὺ τῆς ἄκρας καὶ
τοῦ καπετωλίου



δ᾽ ἀκούσαντες, ἐκώλυσαν τοὺς λῃστάς. ΟΤΙ ἐν τῇ λατινίᾳ ὄρος ἐστὶν νησίζον θαλάττῃ τε καὶ ἕλεσιν, καλούμενον κιρκαῖον. ἔχει δὲ καὶ κίρκης ἱερόν, καὶ δείκνυται ἔχον τινὰ φιάλην ὀδυσσέως. διὸ τὰ τοῦ μύθου τῆς κίρκης, ἐκεῖ φασι γεγονέναι. ΟΤΙ ἡ ἀππία ὁδός, ἔστρωται ἀπὸ ῥώμης, μέχρι βρεντεσίου. ΟΤΙ οἱ πρῶτοι ῥωμαῖοι, ἐνόμιζον ἄμεινον εἶναι, ὅπως οἱ ἄνδρες ὦσι τοῖς τείχεσι πρόβλημα, ἀλλ᾽ οὐ τὰ τείχη τοῖς ἀνδράσι. διὸ τὴν ῥώμην οὐ κατὰ αἵρεσιν, ἀλλὰ κατὰ ἀνάγκην ἔκτισαν ἐν ὑπομάχῳ τόπῳ. ΟΤΙ αὔγουστος ἐνομοθέτησεν ῥωμαίοις, μὴ πλείω ποδῶν ο΄ ὕψος οἰκοδομεῖν οἰκίας, προνοούμενος τῶν συμπτωμάτων. ΟΤΙ τῶν ἑλλήνων περὶ τὰς κτίσεις, εὐστοχησάντων καὶ ἐρυμνότητος καὶ κάλλους καὶ λιμένων καὶ χώρας εὐφυοῦς, οἱ ῥωμαῖοι ὑπερεβάλλοντο ταῖς τε τῶν ὁδῶν στρώσεσι, καὶ ὑδάτων εἰσαγωγαῖς, καὶ ὑπονόμοις. ΟΤΙ οἱ πρῶτοι ῥωμαῖοι, πρὸς ἄλλοις μείζοσι καὶ ἀναγκαιοτέροις ὄντες, ὠλιγώρουν τοῦ κάλλους τῆς ῥώμης. οἱ δ᾽ ὕστεροι, ἐπεμελήθησαν.

ΟΤΙ ἡ ἐν ἰταλίᾳ ἀγκὼν πόλις, κτίσμα ἐστὶν συρακουσίων τῶν τὴν διονυσίου τυραννίδα μὴ ὑπομεινάντων, ἀλλὰ φυγόντων. ἔχει δὲ καὶ λιμένα. ΟΤΙ ῥωμαῖοι τὴν ἥραν, κύπραν καλοῦσι. τὸν δὲ κρόνον, σατόρνιον. ΟΤΙ μαρσοὶ καὶ πελιγνοὶ καὶ μαῤῥουκῖνοι καὶ φρεντανοί, περὶ τὸ ἀπέννινον οἰκοῦντες, μαχιμώτατοί εἰσιν, καὶ πολλάκις τὴν ἀρετὴν αὐτῶν ἐπεδείξαντο. πρῶτον μέν, μὴ θελόντων ὑπὸ ῥωμαίοις τελεῖν. εἶτα, συστρατευόντων ῥωμαίοις. εἶτα, τῆς ῥωμαϊκῆς ἀντιποιούμενοι πολιτείας καὶ μὴ τυγχάνοντες, τὸν μαρσικὸν ἐξῆψαν πόλεμον ἀπὸ τῶν προκαταρξάντων ὀνομασθέντα. κορφίνιον τὴν τῶν πελιγνῶν μητρόπολιν παραλίαν, κοινὴν πᾶσι τοῖς ἰταλιώταις ἀποδείξαντες πόλιν ἀντὶ τῆς ῥώμης, ὁρμητήριον τοῦ πολέμου, μετωνόμασαν ἰταλικὴν πόλιν. ἔνθα καὶ ὑπάτους καὶ στρατηγοὺς ἐχειροτόνησαν. καὶ δύο ἔτη πολεμήσαντες, διεπράξαντο ὅσα ἐβούλοντο παρὰ ῥωμαίων. ΟΤΙ ἡ καμπανία χώρα εὐδαιμονεστά-



Circaeū m.
Apia via
ὑπομάχῳ
ὑπονόμοι
Ancō
Romani iunonē Cypram vocant
Marsicū bellū unde dic

Cypra .i. iuno romanis

τη ἐστιν, καὶ διὰ τοῦτο περιμάχητος γέγονεν, ὀπικοῖς τε καὶ αὐσονίοις. μητρόπολιν δ' ἔχει καπύην, τὴν οἷον κεφαλήν. κάπυν γὰρ τὴν κεφαλὴν καλοῦσιν. τὴν δὲ χώραν φασὶ, τρὶς διὰ τοῦ ἔτους σπείρεσθαι. δὶς μὲν ζειᾷ, εἶτα ἐλύμῳ. τινὰ δὲ τῆς χώρας, καὶ λαχανεύεσθαι τὸ τέταρτον. ἔνθα καὶ ὁ φαλέρνος οἶνος γίνεται, ἄριστος ὤν. ΟΤΙ ἡ ἐν ἰταλίᾳ κύμη τῆς καμπανικῆς μοίρας, ἑλληνική ἐστιν, χαλκιδέων καὶ κυμαίων ἀρχαιότατον κτίσμα. συμφωνησάντων, ἵνα τῶν μὲν τὸ ὄνομα ἔχοι, ἡ κτισθησομένη πόλις, τῶν δὲ, ἵνα ἡ ἀποικία λέγοιτο. διὸ καὶ νῦν, κύμη καλουμένη, χαλκιδέων λέγεται ἀποικία. οἱ δὲ τὸν στόλον ἄγοντες, ἱπποκλῆς τε ὁ κυμαῖος καὶ μεγασθένης ὁ χαλκιδεὺς, ἦσαν.

ΟΤΙ μετὰ τὴν κύμην πόλιν, πρὸς νότον ἐστὶν, τὸ μισηνὸν ἄκρον. μεθ' ὃ αἱ βαΐαι, καὶ τὰ θερμὰ ὕδατα, πρός τε τρυφὴν καὶ θεραπείαν νόσων ἐπιτήδεια. ὅθεν οἱ ῥωμαῖοι βαΐαν καλοῦσι τὴν τροφὸν καὶ βαΐουλον, διὰ τὰς βαΐας, τόπον ὄντα ἀπολαυστικώτατον, καὶ τρυφῶντι ἐπιτήδειον. ΟΤΙ τὴν δικαιαρχίαν πόλιν, ῥωμαίων τινὲς οἰκήσαντες κατὰ τὴν ἀννίβα στρατείαν, μετωνόμασαν ποτιόλους. ἔχει δὲ λιμένα χειροποίητον. ὑπέρκειται δὲ τῆς πόλεως εὐθὺς, ἡ τοῦ ἡφαίστου ἀγορά. πεδίον, περικεκλειμένον διαπύροις ὀφρύσι, καμινώδεις ἐχούσαις ἀναπνοὰς πολλαχοῦ καὶ βρομώδεις ἱκανῶς. τὸ δὲ πεδίον, θείου πλῆρές ἐστιν συρτοῦ. ΟΤΙ περὶ τὴν κύμην, σημεῖά τινα δείκνυται τῆς μυθευομένης ἐν ὀδυσσείᾳ νεκυομαντείας. οἷον στύξ, καὶ ἀχερουσία λίμνη, καὶ ἀχέρων, καὶ τὰ ἐκεῖσε θερμὰ λουτρὰ, ἀντὶ τοῦ πυριφλεγέθοντος. ἔστιν δὲ καὶ διῶρυξ κρυπτὴ, διεξόδους ἔχουσα καὶ νεκυομαντεῖον, καὶ οἱ εἰσιόντες, διὰ νυκτὸς εἰσίασι καὶ ἐξέρχονται, ὥς τε ἀναλογεῖν τοῖς παρ' ὁμήρῳ κιμμερίοις. τὸ δ' αὐτὸ φαίνεται ὄργον, καὶ περὶ τὴν πλησίον νεάπολιν.

ΟΤΙ ἐν νεαπόλει, θερμὰ λουτρά εἰσιν ὑγιαστικά τε καὶ ἀπολαυστικά. οὐ χείρω μὲν τῶν ἐν βαΐαις, ἐλάττω δέ. καὶ πολλοὶ ῥωμαίων ἐρῶντες ἡσυχίας τε καὶ ἀναπαύσεως, μετοικίζονται



θείου συρτοῦ

περιμάχητος
Capua
Cumae
Hippocles.
Megasthe.
Miseni pro.
Baiae
Baia-nutrix
Baiulus
Dicaearchia
Puteoli
συρτοῦ
Neapolis



εἰς νεάπολιν. ΟΤΙ ὑπὲρ τὴν νεάπολιν, ὄρος ἐστὶν οὐεσούϊον καλούμενον, ἀγροῖς περιοικούμενον παγκάλοις, πλὴν τῆς κορυφῆς. αὕτη δ' ἐπίπεδος μὲν πολὺ μέρος ἐστὶν, ἄκαρπος δ' ὅλη. ἐκ δὲ τῆς ὄψεως, τεφρώδης ἐστὶν, καὶ κοιλάδας φαίνει σηραγγώδεις πετρῶν αἰθαλωδῶν κατὰ τὴν χρόαν, ὡς ἂν ἐκβεβρωμένων ὑπὸ πυρός. ὥς τε τεκμήραιτο ἄν τις τὸ χωρίον τοῦτο, καίεσθαι πρότερον, καὶ ἔχειν κρατῆρας πυρός. σβεσθῆναι δ' ἐπιλιπούσης τῆς ὕλης. τάχα δὲ, καὶ τῆς εὐκαρπίας τῆς κύκλῳ, τοῦτ' αἴτιον. ὥσπερ ἐν τῇ κατάνῃ τὸ κατατεφρωθὲν μέρος, ἐκ τῆς σποδοῦ τῆς ἀνενεχθείσης ὑπὸ τοῦ αἰτναίου πυρὸς, εὐάμπελον τὴν γῆν ἐποίησεν. ἔχει μὲν γὰρ τὸ λιπαῖνον, καὶ ἡ ἐκπυρουμένη βῶλος, καὶ ἡ ἐκφέρουσα τοὺς καρπούς. πλεονάζουσα δὲ τῷ λίπει, πρὸς ἐκπύρωσιν ἐπιτηδεία, καθάπερ ἡ θειώδης πᾶσα. ἐξικμασθεῖσα δὲ καὶ σβεσθεῖσα καὶ ἐκτεφρωθεῖσα, εἰς καρπογονίαν μεταβάλλει.

ΟΤΙ πρὸ τῆς πικεντίνης καὶ καμπανίας τοῦ κόλπου τοῦ προσαγορευομένου κρατῆρος, καὶ ἀφοριζομένου τῷ τε μισηνῷ καὶ τῷ ἀθηναίῳ ἀκρωτηρίοις, νησίδιά εἰσιν, αἵ τε πιθηκοῦσσαι, καὶ καπρέαι, καὶ σειρηνοῦσσαι, καὶ προχύτη.

ΟΤΙ κατὰ τὸν πίνδαρον, πᾶς ὁ χῶρος ὁ ἀπὸ τῆς κύμης μέχρι σικελίας, διάπυρός ἐστιν, καὶ κατὰ βάθους ἔχει κοιλίας τινὰς εἰς ἓν συναπτούσας. διόπερ τοιαύτη ἐστὶν, ἥ τε αἴτνη, καὶ αἱ τῶν λιπαραίων νῆσοι, καὶ τὰ περὶ δικαιαρχίαν καὶ νεάπολιν καὶ βαΐας χωρία, καὶ αἱ πιθηκοῦσσαι.

ΟΤΙ τίμαιος ἱστορεῖ, ἀπὸ σεισμῶν λόφον τινὰ τῶν περὶ τὴν νεάπολιν νήσων, καταπεσόντα, ἀναβαλεῖν πῦρ. καὶ τὸ μεταξὺ αὐτοῦ καὶ τῆς θαλάσσης, ἐξῶσαι πάλιν ἐπὶ τὸ πέλαγος. τὸ δ' ἐκτεφρωθὲν τῆς γῆς, μετεωρισμὸν λαβὸν, κατασκῆψαι πάλιν τυφωνοειδῶς εἰς τὴν νῆσον. καὶ τρεῖς τῆς θαλάττης χώρας σταδίους ἀναχωρῆσαι, μετ' οὐ πολὺ ὑποστρέψαι. καὶ τῇ παλιρροίᾳ, κατακαῦσαι τὴν νῆσον, καὶ γε-



Vesuuii M.
σηραγγώδης
Catina. V
Sinus crater
Athenaeum promo. 1 minervae
Pithecusae
Capreae
Sirenusae
Prochyta
Timaeus

νέαθαι σβέσιν τοῦ ἐν αὐτῇ πυρός. ἀπὸ δὲ τοῦ ἤχου, τοὺς ἐν τῇ ἠπείρῳ, φυγεῖν ἐκ τῆς παραλίας, εἰς τὴν καμπανίαν.

ΟΤΙ τοῖς καμπανοῖς συνέβη, διὰ τὴν τῆς χώρας εὐδαιμονίαν, ἐπ' ἴσον ἀγαθῶν ἀπολαῦσαι καὶ κακῶν. ἐπὶ τοσοῦτον γὰρ εὖ ἐτρύφησαν, ὥς τε ἐπὶ δεῖπνον ἐκάλουν, πρὸς ζεύγη μονομάχων ὁρίζοντες ἀριθμόν, κατὰ τὴν τῶν δείπνων ἀξίαν. ἀννίβα δ' ἐξ ἐνδόσεως λαβόντος αὐτούς, δεξάμενοι χειμαδίοις τὴν στρατιάν, οὕτως ἐξεθήλυναν ταῖς ἡδοναῖς, ὥς τε τὸν ἀννίβαν φάναι, νικῶν κινδυνεύειν ἐπὶ τοῖς ἐχθροῖς γενέσθαι, γυναῖκας ἀντὶ τῶν ἀνδρῶν, τοὺς στρατιώτας ἀπολαβών. ῥωμαῖοι δὲ κρατήσαντες, πολλοῖς κακοῖς αὐτοὺς ἐσωφρόνισαν. ΟΤΙ μετὰ τὴν καμπανίαν, ἡ πικεντίνη ἐστὶν παραλία. ἄποικοι δ' οὗτοι γεγόνασιν, ἀπὸ τῶν ἐν τῇ ἀδρίᾳ πικήνων, ὑπὸ ῥωμαίων ἐξαναστάντων εἰς τὸν ποσειδωνιάτην ὄντα κόλπον. ὃς νῦν, παιστανὸς καλεῖται, καὶ ἡ πόλις ἡ ποσειδωνία, παιστός, ἐν μέσῳ κειμένη τοῦ κόλπου. ἐπίνοσος δ' ἐστὶν ἡ πόλις, διὰ τὰ παρακείμενα ἕλη τοῦ ποταμοῦ. ΟΤΙ περὶ πικεντίνους καὶ λευκανούς, ὕδωρ ἐστὶν πότιμον. ἐν ᾧ φυτοῦ τινος ἐμβληθέντος, εὐθὺς λιθοῦται τὸ φυτόν, φυλάττον τὴν χρόαν καὶ τὸ σχῆμα ὅπερ καὶ εἶχεν.

## ΧΡΗΣΤΟΜΑΘΕΙΑΙ ΕΚ ΤΩΝ
### Στράβωνος γεωγραφικῶν
### βιβλίου ἕκτου.

ΟΤΙ περὶ τοῦ ποσειδωνιάτου κόλπου, λευκωσία νῆσος ἐστὶν ἐπώνυμος μιᾶς τῶν σειρήνων, ὅτε ἑαυτὰς κατεπόντωσαν διὰ τὸν ὀδυσσέα. ΟΤΙ μετὰ τὸν ποσειδωνιάτην κόλπον, πρὸς νότον ἕτερός ἐστὶν κόλπος, ἔνθα πόλις φωκαέων κτίσμα ἔλη. οἱ δὲ νῦν, ἐλαίαν αὐτὴν καλοῦσι. πατρὶς οὖσα παρμενίδου καὶ ζήνωνος, τῶν πυθαγορείων. εὐνομεῖτο δ' ἡ πόλις. καὶ διὰ τὴν τῆς χώρας λυ-

πρότητα

Annibal
Picentū ora.
Posidoniatẽ sinus
Paestanus
Aquae mirae
Leucosia
Elea
Parmeni
Zeno.
λυπρότης



πρότητα, ἐθαλαττούργουν, καὶ ταρίχη κατεσκεύαζον, καὶ τὰ τοιαῦτα. ΟΤΙ ὁ πάσης λευκανίας παράπλους, στάδιά ἐστι χν̄. καὶ πρὸς τῷ πέρατι τῆς λευκανίας, ἡρῷον τοῦ δράκοντος, ἑνὸς τῶν ὀδυσσέως ἑταίρων. ἐφ' οὗ καὶ ὁ χρησμὸς ἐγένετο.

λαΐον ἀμφὶ δράκοντα, πολύν ποτε λαὸν ὀλεῖσθαι.

ἐπὶ γὰρ ταύτην λαοὶ στρατεύσαντες οἱ κατὰ τὴν ἰταλίαν ἑλλήνων, ὑπὸ λευκανῶν ἠτύχησαν, ἐξαπατηθέντες τῷ χρησμῷ.

ΟΤΙ πετιλία ἡ τῶν λευκανῶν μητρόπολις, φιλοκτήτου ἐστὶν κτίσμα, κατὰ στάσιν ἐκπεσόντος τῆς μελιβοίας, αὕτη τε καὶ ἡ κρίμισσα, περὶ τοὺς αὐτοὺς τόπους. ΟΤΙ ἀπὸ λευκοπέτρας τῆς ἐν τῷ πορθμῷ, ὡς ἐπὶ Βορρᾶν ἡ παραλία περὶ μίλια σ̄, ὑπὸ Βρεττίων οἰκεῖται. ἥ τις πρότερον μὲν, οἰνωτρία ἐκαλεῖτο. ὕστερον δέ, ἰταλία ἰδίως. ὅριον δ' αὐτῆς, πρὸς μὲν τῷ τυρρηνικῷ πελάγει, ὁ λᾶος ποταμός. πρὸς δὲ τῷ σικελικῷ, τὸ μεταπόντιον. ΟΤΙ ὁ μὲν ἱππωνιάτης κόλπος, ἐν τῷ τυρρηνικῷ πελάγει, ὁ δὲ σκυλλητικὸς κόλπος, ἐν τῷ σικελικῷ, ἀπολαμβάνουσιν ἰσθμὸν μεταξὺ ἑαυτῶν, σταδίων ρ̄ξ̄. ὁ δὲ περίπλους τῆς χερρονήσου, στάδιοι ͵β. ΟΤΙ ἡ τῶν λευκανῶν χώρα, μεταξὺ κεῖται δύο θαλασσῶν. ὧν ἡ μὲν τυρρηνική, ἀπὸ λάου ποταμοῦ, ἕως σιλάρου ποταμοῦ ἐστίν. ἡ δὲ σικελική, ἀπὸ θουρίων, εἰς μεταπόντιον. κατὰ δὲ τὴν ἤπειρον, ἀπὸ σαμνιτῶν ἕως τοῦ ἰσθμοῦ, τοῦ μεταξὺ λάου τε ποταμοῦ καὶ θουρίων. πλάτος δὲ τοῦ ἰσθμοῦ τούτου, τ̄ στάδια. πρὸς δὲ νότον ὑπὲρ τούτων, Βρέττιοι ἔχουσιν, ἕως τοῦ ἰσθμοῦ, ἀπολαμβάνοντες τὴν χερρόνησον, τὴν μεταξὺ ἱππωνιάτου κόλπου καὶ σκυλλητικοῦ. Βρεττίους δὲ καλοῦσιν αὐτοὺς οἱ λευκανοί, καὶ δηλοῖ τὸ ὄνομα ἀποστάτας. δοῦλοι γὰρ ὄντες τῶν λευκανῶν, ἀπέστησαν αὐτῶν, συμμαχοῦντος διονυσίου τοῦ σικελίας τυράννου. ΟΤΙ ἐγγὺς τοῦ λάου πρὸς νότον ἡ τέμεσα ἐστὶν πόλις, ἡ ὕστερον τέμψα κληθεῖσα ἧς καὶ ὅμηρος μέμνηται. καὶ εἰσὶν καὶ χαλκουργεῖα ἐκεῖ, ἐκλελοιπότα. καὶ ἡρῷον ἐκεῖ πολίτου τῶν ὀδυσσέως ἑταίρων ἑνὸς δολοφο-

 νηθέν-

Herou draconis
Petilia V.
Meliboea
Crimissa
Leucopetra
Brutia
Oenotria
Italia
Laus fl.
Metapōtus
Hipponiatẽ sinus
Scylletic. si
Lucania
Laus / Silarus fl.
Brutij
Temesa
Tempsa V.
Polite

νηθέντος ὑπὸ τῶν ἐγχωρίων, καὶ μηνίσαντος κατ' αὐτῶν χαλεπῶς οὕτως, ὡς καὶ δασμοφορεῖν αὐτοὺς ὅσα ἔτη. καὶ παροιμίαν ἐπ' αὐτοῦ γενέσθαι, μηδεὶς τὸν ἥρωα τὸν ἐν τεμέσῃ. λέγεται δὲ ἡ ταμάση διὰ τοῦ α. τινὲς δ' οὖν ταύτης φασὶν τὸν ὅμηρον μεμνῆσθαι. ΟΤΙ μετὰ τὴν τάμψαν, κωσεντία ἐστὶν μητρόπολις βρεττίων. καὶ μετ' αὐτὴν, πανδοσία. φρούριον ὀχυρὸν τρικόρυφον, ἀχέροντι ποταμῷ περιρρεόμενον. ἔνθα ὁ μολοττὸς ἀλέξανδρος διεφθάρη, ἐξαπατηθεὶς ὑπὸ τοῦ ἐκ δωδώνης χρησμοῦ, κελεύοντος φυλάττεσθαι πανδοσίαν καὶ ἀχέροντα. ἦσαν δὲ ἄρα καὶ περὶ θεσπρωτίαν, πανδοσία καὶ ἀχέρων. ἐξηπάτησε δὲ, καὶ ἄλλο λόγιον. πανδοσία τρικόλωνε, πολύν ποτε λαὸν ὀλέσσεις. ἄδηλον ὂν, πότερον, οἰκεῖον ἢ ὀθνεῖον.

ΟΤΙ οἱ ἐν πελοποννήσῳ μεσσήνιοι, ἔπεμψαν ἑαυτῶν παρθένους εἰς ἱερουργίαν τῇ ἀρτέμιδι. ἃς τινὲς τῶν λακεδαιμονίων καὶ αὐτῶν μεσσηνίων, κατὰ τὴν ὁδὸν ἐβιάσαντο. ταύτας οἱ πέμψαντες μεσσηνίων ἐκδικοῦντες, ἐπολέμησαν τοῖς βιασαμένοις, καὶ ἡττηθέντες ἔφυγον. καὶ εἰς δελφοὺς πέμψαντες, ἐνεκάλουν, μεμφόμενοι τὸν ἀπόλλω καὶ τὴν ἄρτεμιν, εἰ τοιοῦτοι τυγχάνοιεν ἀνθ' ὧν ἐτιμώρουν αὐτοῖς, καὶ πυνθανόμενοι πῶς ἂν σωθεῖεν ἀπολωλότες. ὁ δ' ἀπόλλων ἐκέλευσε, στέλλεσθαι μετὰ χαλκιδέων εἰς τὸ ῥήγιον, καὶ τῇ ἀδελφῇ αὐτοῦ χάριν ἔχειν. οὐ γὰρ ἀπολωλέναι αὐτοὺς, ἀλλὰ σεσῶσθαι, μέλλοντάς γε μὴ συναφανίσθαι τῇ πατρίδι, ἁλωσομένῃ μικρὸν ὕστερον ὑπὸ σπαρτιατῶν. οἱ δὲ πεισθέντες, ἔκτισαν σὺν χαλκιδεῦσι τὸ ῥήγιον ἐν σικελίᾳ.

ΟΤΙ ῥήγιον ἐκλήθη, διὰ τὸ ῥαγῆναι ὑπὸ σεισμῶν μεγάλων ἐκ τῆς ἠπείρου τὴν σικελίαν. τεκμαίροιτο δ' ἄν τις, ἀπὸ τῶν περὶ τὴν αἴτνην συμπτωμάτων, καὶ τῶν κατὰ λιπάραν καὶ τὰς περὶ αὐτὴν νήσους. ἔτι δὲ καὶ τῶν κατὰ τὰς πιθηκούσας καὶ τὴν προσεχῆ περαίαν ἅπασαν, οὐκ ἀπεικὸς εἶναι καὶ τοῦτο συμβῆναι. νυνὶ μὲν οὖν ἀνεῳγμένων τούτων τῶν στομάτων, δι' ὧν τὸ πῦρ ἀναφυσᾶται καὶ μύδροι καὶ ὕδατα ἐκπίπτει, σπάνιον τι

σείεσθαι



σείεσθαί φασιν τὴν περὶ τὸν πορθμὸν γῆν. τότε δὲ πάντων ἐμπεφραγμένων τῶν εἰς τὴν ἐπιφάνειαν πόρων, ὑπὸ γῆς σμυχόμενον τὸ πῦρ καὶ τὸ πνεῦμα, σεισμοὺς ἀπεργάζεσθαι σφοδρούς. μοχλευόμενοι δ' οἱ τόποι, πρὸς τὴν βίαν τῶν ἀνέμων ὑπεῖξαν ποτὲ, καὶ ἀναρραγέντες, ἐδέξαντο τὴν ἑκατέρωθεν θάλατταν, καὶ ταύτην, καὶ τὴν μεταξὺ τῶν ἄλλων τῶν ταύτῃ νήσων. καὶ γὰρ ἡ προχύτη καὶ πιθηκοῦσσαι, ἀποσπάσματα τῆς ἠπείρου, καὶ αἱ καπρέαι, καὶ ἡ λευκωσία, καὶ σειρηνοῦσσαι, καὶ οἰνωτρίδες. αἱ δὲ καὶ ἐκ τοῦ πελάγους ἀνέδυσαν, καθάπερ καὶ νῦν πολλαχοῦ συμβαίνει. τὰς μὲν γὰρ πελαγίας, ἐκ βυθοῦ μᾶλλον ἀνενεχθῆναι πιθανόν. τὰς δὲ προκειμένας τῶν ἀκρωτηρίων, καὶ πορθμῷ διειργομένας, ἐντεῦθεν ἀπερρῶχθαι δοκεῖν εὐλογώτερον. ἡ δὲ λευκοπέτρα, νοτιωτέρα ἐστὶν τοῦ ῥηγίου. καὶ ἔτι τὸ ἡράκλειον, πόρρας νότιον. καὶ ἀπ' αὐτοῦ πρὸς ἀνατολὰς, βορειότερον τὸ ζεφύριον ἄκρον, καὶ οἱ ἐπιζεφύριοι λοκροί, ἄποικοι τῶν πρὸς τῷ κρισσαίῳ κόλπῳ λοκρῶν. καὶ εἰσὶν ἀπὸ ῥηγίου πόλεως, μέχρι λοκρῶν πόλεως, στάδιοι χ. πρῶτοι δὲ λοκροὶ οὗτοι, νόμοις ἐγγράπτοις ἐχρήσαντο, καὶ εὐνομήθησαν ἔτη πολλά. καὶ διονύσιος ἐκπεσὼν σικελίας, ἀνομώτατα πάντων διεχρήσατο. ὥς γε προεγάμει μὲν παρεισιὼν εἰς τὸ δωμάτιον, τὰς νυμφοστοληθείσας. συναγαγὼν δὲ τὰς ὡραίας παρθένους, περιστερὰς ὁλοπτέρους ἐν τοῖς συμποσίοις ἠφίει, κἀκείνας ἐκέλευεν γυρεύειν γυμνάς. τινὰς δὲ καὶ σανδάλια ὑποδεδυμένας ἄζυγα. τὸ μὲν ὑψηλὸν, τὸ δὲ ταπεινὸν, περιδιώκειν ἔφασαν, τοῦ ἀπρεποῦς χάριν. δίκας μέν τοι ἔδωκεν. ἐπειδὴ γὰρ εἰς τὴν σικελίαν ἐπανῆλθε τὴν ἀρχὴν ἀναληψόμενος, οἱ λοκροὶ καταλυσάντων τὴν φρουρὰν, ἠλευθέρωσάν σφας, καὶ τῆς γυναικὸς καὶ τῶν δύο θυγατέρων καὶ τοῦ νεωτέρου υἱοῦ κύριοι κατέστησαν. πολλὰ δὲ δεομένου τοῦ διονυσίου καὶ αὐτοῦ καὶ ταραντίνοις ὑπὲρ αὐτοῦ, προέσθαι τὰ

πράγματα

Paroemia
μηδεὶς τὸν ἥρωα τὸν ἐν Τεμέσῃ
Tamase
Temese
Ide
Homer
Cosetia
Pandosia
Achero. fl.
Alexadr
molossi
Rhegiu in sicilia
& unde dicta
περαία
ὀθνεῖον

Prochyta
Pithecusæ
Capreæ
Leucosia
Sirenusæ
Oenotrides
Leucopetra
Heracleu
Zephyriu
Epizephyrii
locri
Dionysi
σμυχόμενον
καταλύσαντες
μοχλευόμενοι
εὐνομήθησαν
γυρεύειν

πράγματα ἐν οἷς ἂν ἐθελήσωσιν, οὐκ ἔδωσαν. ἀλλὰ τὸν θυμὸν εἰς τὰς θυγατέρας τὸν πλεῖστον ἐξέχεαν. καταπορνευθείσας γὰρ, ἐστραγγάλισαν. εἶτα καύσαντες τὰ σώματα, κατήλεσαν τὰ ὀστᾶ καὶ κατεπόντωσαν.

ΟΤΙ ἄληξ ποταμὸς, διορίζει ῥηγίνην τε καὶ λοκρίδα. οὗ ἐν ταῖς ὄχθαις, ἴδιόν τι συμβαίνει περὶ τοὺς τέττιγας. οἱ μὲν γὰρ ἐν τῇ τῶν λοκρῶν περαίᾳ φθέγγονται. τοῖς δὲ, ἀφώνοις εἶναι συμβαίνει. τὸ δ' αἴτιον εἰκάζουσιν. ὅτι τοῖς μὲν, παλίνσκιόν ἐστιν τὸ χωρίον. ὥστε ἐνδρόσους ὄντας, μὴ διαστέλλειν τοὺς ὑμένας. τοῖς δὲ ἡλιαζομένοις, ξηροὺς καὶ κερατώδεις ἔχειν, ὥστε ἀπ' αὐτῶν εὐφυῶς ἐκπέμπεσθαι τὸν φθόγγον. τὴν δὲ μεσογαίαν λοκρῶν καὶ ῥηγίνων, βρέττιοι κατέχουσιν. ἐν οἷς καὶ ἡ ἀρίστη πίττα γίνεται καὶ πλείστη.

ΟΤΙ μετὰ τὸ ἄκρον λοκροὺς, ἡ σάγρα ἐστίν. ἔνθα μύριοι λοκροὶ μετὰ ῥηγίνων πρὸς ιγ μυριάδας κροτωνιατῶν ἀγωνισάμενοι, ἐνίκησαν. καὶ ἐκ τούτου ἡ παροιμία πρὸς τοὺς ἀπιστοῦντας, ἀληθέστερα τῶν ἐπὶ σάγρᾳ. φασὶν δὲ τὴν αὐτὴν ἡμέραν τὴν ἀγγελίαν μηνυθῆναι ὀλυμπίασι, τοῦ ἔργου τούτου.

ΟΤΙ μετὰ σάγραν, καυλωνία ἐστίν. εἶτα σκυλήτιον, μενεσθέως τοῦ ἀθηναίου κτίσμα. νῦν δὲ σκυλάκιον καλεῖται. ἐκ τούτου δὲ ὁ σκυλητικὸς κόλπος καλεῖται. εἶτα ἡ κροτωνιάτις χώρα, καὶ τῶν ἰαπύγων ἄκραι γ. εἶτα, τὸ λακίνιον ἱερὸν ἥρας πλουσιώτατον. ἀρχὴ δέ ἐστιν τοῦ κροτωνιάτου κόλπου, τὸ ἄκρον τοῦτο, καὶ αἴσαρος ποταμὸς, καὶ κρότων πόλις. τοῦ δὲ θεοῦ χρήσαντος ἀχαιοῖς κρότωνα κτίζειν, ἀπεστάλη μύσκελλος κατασκεψόμενος τὴν χώραν. ἰδόντα δέ φασιν ἐκτισμένην ἤδη σύβαριν, ποταμῷ τῷ πλησίον ἐπώνυμον, κρῖναι ταύτην εἶναι ἀμείνω. ἐπανελθόντα δ' ἐρέσθαι τὸν θεόν, εἰ κελεύοι ταύτην ἀντ' ἐκείνης κτίζειν. τὸν δὲ, ἀνειπεῖν. ἐτύγχανε δὲ, ὑπόκυφος ὢν ὁ μύσκελλος.

μύσκελλε βραχύνωτε παρὲξ θεὸν, ἄλλο ματεύων
κλάσματα θηρεύεις. δῶρον δ' ὅτι δῶ τις, ἐπαίνει.

ἐπανελθόντα δὲ κτίσαι τὸν κρότωνα, συμπράξαντος καὶ ἀρχίου

τοῦ

Alex. fl.
περὶ λοκρῶν
Cicadæ
Pix brutia
Sagra.
Paroemia
Veriora his quæ in sagra
Caulonia
Scyletiu
Scylaciu Idé
Crotoniatis regio
Aesarus. fl.
Croto. V.
Sybaris V. & fl.

κατήλεσαν
ἐστραγγάλισαν



τοῦ τὰς συρακούσας οἰκίσαντος προσπλεύσαντος κατὰ τύχην, ἡνίκα ὥρμητο ἐπὶ τὸν τῶν συρακουσῶν οἰκισμόν. ᾤκουν δὲ ἰάπυγες τὸν κρότωνα πρότε. δοκεῖ οὖν ὁ κρότων, τά τε πολέμια καλῶς ἀσκῆσαι, καὶ τὰ περὶ τὴν ἄθλησιν. ἐν μιᾷ γοῦν ὀλυμπιάδι, οἱ τῶν ἄλλων προτερήσαντες τῷ σταδίῳ ἑπτὰ ἄνδρες, ἅπαντες ὑπῆρξαν κροτωνιᾶται. ὥστε εἰκότως εἰρῆσθαι δοκεῖ ὅτι κροτωνιατῶν ὁ ἔσχατος, πρῶτος ἦν τῶν ἄλλων ἑλλήνων. ἀλλὰ καὶ μίλων ὁ κροτωνιάτης ἀθλητὴς, πυθαγόρου μαθητὴς γεγονὼς, θαυμαστὰ διεπράξατο ἀγωνίσματα ἐν ὀλυμπίᾳ. φασὶν δὲ αὐτὸν ἐν τοῖς πυθαγορείοις ὄντα καὶ συνεστιώμενον, ἑνὸς τῶν στύλων πεσεῖν μέλλοντος, ὑποβαλόντα ἑαυτὸν, ἐκσῶσαι τε τοὺς συνόντας καὶ ἑαυτὸν ὑποσπάσαι. τῇ δ' αὐτῇ ῥώμῃ χρώμενον φασὶν, ὁδοιποροῦντά ποτε δι' ὕλης βαθείας, παραβῆναι τὴν ὁδὸν ἐπὶ πολύ. εἶθ' εὑρόντα ξύλον ἐσφηνωμένον, ἐμβαλόντα χεῖρας ἅμα καὶ πόδας εἰς τὴν διάστασιν, βιάζεσθαι πρὸς τὸ διασχίσαι. τοσοῦτον δ' ἰσχῦσαι μόνον, ὥστ' ἐκπεσεῖν τοὺς σφῆνας. εἶτ' εὐθὺς τὰ μέρη, ἐπισυμπεσεῖν τοῦ ξύλου. ἀποληφθέντα δ' αὐτὸν ἐν τοιαύτῃ πάγῃ, θηριόβρωτον γενέσθαι.

ΟΤΙ ἐφεξῆς τῷ κρότωνι σταδίοις σ. ἡ σύβαρίς ἐστιν πόλις, μεταξὺ δυοῖν ποταμῶν κράθιδος καὶ συβάριδος. τοσοῦτον δὲ ἡ πόλις εὐτύχησεν, ὥστε δ μὲν ἐθνῶν τῶν πλησίον, ἦρξεν. κε δὲ, πόλεων. λ δὲ μυριάσιν ἀνδρῶν, ἐπὶ κρότωνα ἐστράτευσεν. πεντήκοντα δὲ σταδίων κύκλον, οἱ συνοικοῦντες ἐπλήρουν ἐπὶ τῷ κράθιδι. ὑπὸ μέντοι τρυφῆς καὶ ὕβρεως, ἅπασαν τὴν εὐδαιμονίαν ἀφῃρέθησαν ὑπὸ κροτωνιατῶν, ἐν ἡμέραις ο. ἑλόντες γὰρ τὴν πόλιν, ἐπήγαγον τὸν ποταμὸν, καὶ κατέκλυσαν. τὴν δὲ πόλιν οἱ περιλειφθέντες, εἰς ἕτερον τόπον μετέθηκαν καὶ θουρίους προσηγόρευσαν, ἀπό τινος κρήνης πλησίον οὔσης ὀνομάσαντες.

ΟΤΙ ὁ σύβαρις ποταμὸς, τοὺς πίνοντας ἵππους ἀπ' αὐτοῦ, πτυρτικοὺς ποιεῖ. διὸ καὶ τὰς ἀγέλας, ἀπείργουσιν ἀπ' αὐτοῦ. ὁ δὲ κρᾶθις, τοὺς ἀνθρώπους ξανθοτριχεῖν, καὶ λευκοτριχεῖν

ποιεῖ

Archias
Milo
παραβῆναι τὴν ὁδόν
Sybaris. V.
Cratis fl
Sybaris
Thurij
Thurius fons
Sybaris. fl
natura.
Cratidos. fl
natura.

ποιεῖ, λουομένοις, καὶ ἄλλα πολλὰ πάθη ἰᾶται.

ΟΤΙ Θούριοι, ὑπὸ Λευκανῶν ἠνδραποδίσθησαν. Ῥωμαῖοι δὲ ἐποίκους στείλαντες ἐπ' αὐτήν, μετωνόμασαν τὴν πόλιν Κωπίας.

ΟΤΙ μετὰ Θουρίους, Ἡράκλεια ἐστὶ πόλις. καὶ μετ' αὐτὴν ἀπὸ σταδίων μ̄. Μεταπόντιον ἐστὶ πόλις. κτίσμα Πυλίων, τῶν ἐξ Ἰλίου μετὰ Νέστορος πλευσάντων. καὶ τοσοῦτον ἀπὸ γεωργίας εὐτύχησαν, ὡς ἐν Δελφοῖς ἀναθεῖναι χρυσοῦν θέρος.

ΟΤΙ τῶν τριῶν πλευρῶν τῆς Σικελίας. τὸ μὲν μέγιστον μεταξὺ Πελωρίδος καὶ Λιλυβαίου, κυρτόν ἐστι, σταδίων ͵αψκ̄. τὰ δὲ δύο, κοῖλα πως. ἡ δὲ μεταξὺ Παχύνου καὶ Πελωρίδος ἐλαχίστη, σταδίων ͵αρλ̄. ὁ δὲ περίπλους, σταδίων ͵δ ϝ̄. ἀπὸ δὲ Λιλυβαίου εἰς τὴν Λιβύην τὸ δίαρμα, στάδιοι ͵αφ̄ τοὐλάχιστον. καὶ τῶν ὀξυδερκούντων τις ἀπό τινος σκοπιᾶς τῶν ἐν Λιλυβαίῳ, ἀπαγγέλλει τὸν ἀριθμὸν τῶν ἀπὸ Λιβύης σκαφῶν ἀναγομένων. πόλεις δέ εἰσι, κατὰ μὲν τὸ ἀνατολικὸν πλευρόν, Μεσσήνη βορειοτάτη. εἶτα, Ταυρομένιον. εἶτα Κατάνη, Νάξος, Μέγαρα, Συράκουσαι. ἡ δὲ Μεσσήνη, πρότερον Ζάγκλη ἐκαλεῖτο, διὰ τὴν τοῦ τόπου σκολιότητα. δείκνυται δὲ καὶ ἡ Χάρυβδις, μικρὸν πρὸ τῆς Μεσσήνης ἐν τῷ πορθμῷ, βάθος ἐξαίσιον. εἰς ὃ αἱ παλίρροιαι τοῦ πορθμοῦ, κατάγουσιν εὐφυῶς τὰ σκάφη, τραχηλιζόμενα μετὰ συστροφῆς καὶ δίνης μεγάλης. καταποθέντων δὲ καὶ διαλυθέντων, τὰ ναυάγια παρασύρεται πρὸς ἠιόνα τῆς Ταυρομενείας, ἣν καλοῦσιν ἀπὸ τοῦ συμπτώματος τούτου Κοπρίαν. ἀπέχει δ' ἡ Μεσσήνη ἀπὸ Ῥηγίου πόλεως δίαρμα, στάδια ξ̄. ἀπὸ δὲ Στυλίδος, πολὺ ἔλαττον. τοσοῦτον δ' οἱ Μαμερτῖνοι ἔθνος ἐπεκράτησε τῆς χώρας, ὡς τὸν ἄριστον οἶνον μὴ Μεσσήνιον, ἀλλὰ Μαμερτῖνον καλεῖσθαι.

ΟΤΙ ἐκ τῶν τῆς Αἴτνης ῥυάκων τοῦ πυρός, κατερχομένων πρὸς τὴν Κατανίαν ποτέ, Ἀμφίνομος καὶ Ἀναπίας εὐσεβεῖς ἄνδρες, ἀράμενοι τοὺς γονέας ἐπὶ τῶν ὤμων, διέσωσαν. κατατεφρούμενα δὲ τὰ Καταναίων χωρία, πρὸς καιρὸν λυπεῖ. χρόνῳ δὲ ποιεῖ εὔγεων, εὐάμπελον καὶ χρυσόκαρπον, τῆς ἄλλης οὐχ

ὁμοίως

Copiæ .V.
Heraclea .V
Metapōtiū .V.
Peloris dis. p̄motorii.
δίαρμα
Oculatissimus gdā
Messene.
Tauromeniū
Catane
Naxos
Megara
Syracusæ
Zancle
Charybdis
Copria
συλίς. Columella
Mamertini
Mamertinū vinū
Messeniū Idē
Amphinomos
Anapias
παλίρροιαι
εὐφυῶς
δίαρμα
στάδιοι
στάδια



ὁμοίως οὔσης εὐοίνου. τάς τε ῥίζας ἐκφέρει, τὰ κατατεφρωθέντα χωρία. πιαίνει δ' ἐνθάδε τοσοῦτον τὰ πρόβατα, ὥς τε πνίγεσθαι. καὶ διὰ τοῦτο, δι' ἡμερῶν δ̄, ἀφαιροῦσιν ἐκ τῶν ὤτων αἷμα, καθάπερ καὶ ἐν τῇ Ἐρυθείᾳ νήσῳ ποιοῦσιν. ὁ δὲ ῥύαξ, εἰς πῆξιν μεταβάλλων, ἀπολιθοῖ τὴν ἐπιφάνειαν τῆς γῆς ἐφ' ἱκανὸν βάθος. ὥστε λατομίας εἶναι χρείαν, τοῖς ἀνακαλύψαι βουλομένοις τὴν ἐξ ἀρχῆς ἐπιφάνειαν. τακείσης γὰρ ἐν τοῖς κρατῆρσι τῆς πέτρας, εἶτ' ἀναβληθείσης, τὸ ὑπερχυθὲν τῆς κορυφῆς ὑγρόν, πηλός ἐστι μέλας, ῥέων κατὰ τῆς ὀρεινῆς. εἶτα πῆξιν λαβών, γίνεται λίθος μυλίας, τὴν αὐτὴν φυλάττων χρόαν, ἣν ῥέων εἶχεν. καὶ ἡ σποδὸς δὲ καιομένων τῶν λίθων, ὡς ἀπὸ τῶν ξύλων γίνεται. καθάπερ οὖν τὸ πήγανον, τῇ ξυλίνῃ σποδῷ τρέφεται. τοιοῦτον ἔχειν τι οἰκείωμα πρὸς τὴν ἄμπελον εἰκός, τὴν αἰτναίαν σποδόν.

ΟΤΙ Μύσκελλον καὶ Ἀρχίαν εἰς Δελφοὺς ἀπελθόντας περὶ ἀποικίας, ἤρετο ὁ θεός, πότερον βούλοιτο ἑκάτερος αὐτῶν, πλοῦτον ἢ ὑγίειαν. ἑλομένου δ' Ἀρχίου μὲν πλοῦτον, Μυσκέλλου δ' ὑγίειαν ὁ θεὸς ἐκέλευσεν τὸν μὲν Συρακούσας κτίσαι. Μύσκελλον δὲ Κρότωνα, καὶ συνέβη οὕτως: τὴν γὰρ ἐν Κρότωνι ὑγίειαν, μαρτυροῦσιν οἱ περὶ Μίλωνα ὀλυμπιονῖκαι. τὴν δ' ἐν Συρακούσαις τοῦ πλούτου ὑπερβολήν, ἡ παροιμία λέγουσα περὶ τῶν ὑπερβολῶν, ὅτι οὐδὲ τὴν τῶν Συρακουσίων δεκάτην ἀμείβω.

ΟΤΙ συνέβη Συρακουσίοις ἡγεμονικοῖς οὖσι διὰ τὴν ἀρετὴν ἑαυτῶν, τυραννουμένοις τε ἄρχειν τῶν ἄλλων, καὶ ἐλευθερωθεῖσιν ἐλευθεροῦν τοὺς ἄλλους καταδυναστευομένους.

ΟΤΙ τοῖς Συρακουσίοις, κατ' ἀρχὰς ἐπολέμουν Σικανοί, Σικελοί, Μόργητες καὶ ὅσοι ἄλλοι τὴν μεσογαίαν εἶχον, καὶ τὴν Μοργαντικήν.

ΟΤΙ ὁ Ῥοδανὸς ποταμός, εἰς λίμνην μακρὰν ἐμβάλλων, ἀμιγῶς δι' αὐτῆς διέρχεται. τὸ δὲ περὶ τοῦ Ἀλφειοῦ ποταμοῦ καὶ τῆς Ἀρεθούσης μυθολόγημα. ἔτι δὲ καὶ τοῦ Ἰνάχου ποταμοῦ, ὅτι ἐκ Πίνδου καὶ Ἀμφιλόχων καὶ Ἀκαρνάνων ὁρμώμενος, εἰς τὴν τῆς Ἀργείας θάλασσαν βάλλει, πρότερον τῷ Ἀχελώῳ



Erythia ins.
μυλίας λίθος
Myscellus
Archias
Paroemia de diuitiis Syracusar.
Sicani
Siculi
Morgetes
Rhodan. fl
ἀμιγῶς
Alpheus
Arethusa
Inach. fl.

συμμίξας τὸ ῥεῖθρον, καὶ τοῦ ἐν δήλῳ ἰνωποῦ ποταμοῦ, ὅτι ἐκ τῶν τοῦ νείλου φέρεται ναμάτων, καὶ ὅσα τοιαῦτα, ἀπίθανα καὶ ἀδύνατά ἐστιν. ΟΤΙ ὁ ἐν ἀμφιλόχοις ἴναχος ποταμός, ὁμώνυμός ἐστι τῷ ἀργείῳ. ὠνομάσθη δὲ οὕτως, ὑπὸ ἀμφιλόχου τοῦ καὶ τὸ ἄργος ἀμφιλοχικὸν καλέσαντος.

ΟΤΙ διὰ τοὺς ἐκ λιβύων πολέμους, ἡ σικελία ὀλιγανθρωπεῖ, διὸ ῥωμαῖοι ταύτην ἐγένοντο, ἱπποφόρβια καὶ ἀγέλας ἔχοντες καὶ δούλους. οὗτοι δ᾽ οἱ δοῦλοι κατέτρεχον τὴν σικελίαν, καὶ κατ᾽ ὀλίγους, καὶ ἐπὶ εὔνου τοῦ τὸν δουλικὸν ἐξάψαντος πόλεμον, σὺν πολλαῖς χιλιάσιν. ἀνήχθη δὲ καὶ λῃστής τις ἐν ῥώμῃ σικελός, λεγόμενος αἴτνης υἱὸς εἶναι, σέρουλος ὄνομα, ὃς πολλάκις μονομαχήσας, ὕστερον ἐπί τινος πήγματος ἐν τῇ ἀγορᾷ ἀγῶνος συνισταμένου τεθεὶς ὑψηλοῦ ὡς ἂν ἐπὶ τῆς αἴτνης, διαλυθέντος ἀφνιδίως ἔκ τινος μηχανῆς καὶ συμπεσόντος, κατηνέχθη καὶ αὐτός, εἰς γαλεάγρας θηρείων εὐδιαλύτους ἐπίτηδες παρεσκευασμένας ὑπὸ τῷ πήγματι καὶ ἐβρώθη.

ΟΤΙ τὴν σικελίαν τὸ παλαιόν, ταμεῖον τῆς ῥώμης ἐκάλουν ῥωμαῖοι. ΟΤΙ οἷον ἀκροπόλεις δύο συράκουσαί τε καὶ ὁ ἔρυξ, ἵδρυνται τῆς σικελίας. μέση δ᾽ ἀμφοῖν, ἡ ἔννα πόλις.

ΟΤΙ τῆς αἴτνης τὰ ἄνω χωρία, ψιλά ἐστι καὶ τεφρώδη καὶ χιόνος μεστὰ τοῦ χειμῶνος. τὰ κάτω δέ, δρυμοῖς καὶ φυτείαις διείληπται παντοδαπαῖς. ἔοικε δὲ λαμβάνειν μεταβολὰς πολλὰς τὰ ἄκρα τοῦ ὄρους, διὰ τὴν νομὴν τοῦ πυρός. τότε μέν, εἰς ἕνα κρατῆρα συμφερομένου. τότε δέ, σχιζομένου. καὶ τότε μέν, ῥύακας ἀναπέμποντος. τότε δέ, φλόγας καὶ λιγνῦς. ἄλλοτε δέ, καὶ μύδρους ἀναφυσῶντος. ἀνάγκη δὲ τοῖς πάθεσι τούτοις, τούς τε ὑπὸ γῆν πόρους συμμεταβάλλειν, καὶ τὰ στόματα ἐνίοτε πλείω, καὶ τὴν ἐπιφάνειαν τὴν πέριξ.

ΟΤΙ ἀνελθόντες τινὲς εἰς τὴν αἴτνην, ἴδον πεδίον θερμότατον τεφρῶδες, καὶ ἐν μέσῳ βουνόν, καὶ αὐτὸν τεφρώδη. καὶ ἐξ αὐτοῦ, καπνὸν ὀρθὸν ἀνιόντα ὡσεὶ ποδῶν σ. νηνεμίας οὔ-

σης

Inop). fl. deli
Inach). fl.
Argos amphilochicū
Eunus
Seruile bellū
Seruli
Pegma
Enna. V
νομὴν τοῦ πυρός
ῥύακας



σης, καὶ εἰκάσαι εἶναι, καπνὸν καὶ φύσημα τοῦ κρατῆρος. καὶ τοῦ λεγομένου διηγήματος περὶ ἐμπεδοκλέους, ἐμνήσθησαν, ὅτι ἡ χαλκῆ κρηπὶς αὐτοῦ εὑρέθη ἐκφυσηθεῖσα, ὅτε αὐτὸς καθήλατο εἰς τὸν κρατῆρα. ἀλλὰ τὸ μὲν ἐπιλείπειν ποτὲ τὸ πῦρ καὶ τὰ πνεύματα, ἐπιλειπούσης τῆς ὕλης, οὐκ ἄλογον. οὐ μὴν ἐπὶ τοσοῦτόν γε, ὥστε ἀντὶ τῆς τοσαύτης βίας, ἐφικτὸν ἀνθρώπῳ γενέσθαι τὸν πλησιασμόν. νύκτωρ μὲν οὖν, φέγγη φαίνεται λαμπρὰ ἐκ τῆς κορυφῆς. μεθ᾽ ἡμέραν δέ, καπνῷ καὶ ἀχλύϊ κατέχεται.

ΟΤΙ πᾶσα σικελία, κοίλη κατὰ γῆς ἐστι, ποταμῶν καὶ πυρὸς μεστή, καθάπερ τὸ τυρρηνικὸν πέλαγος μέχρι τῆς κυμαίας. καὶ θερμοῦ ὕδατος μεστή ἐστι. περὶ δὲ ἀκράγαντα λίμναι, τὴν μὲν γεῦσιν ἔχουσι θαλάττης, τὴν δὲ φύσιν διάφορον. οὐδὲ γὰρ τοῖς ἀκολύμβοις βαπτίζεσθαι συμβαίνει, ξύλων τρόπον ἐπιπολάζουσιν. οἱ ἰταλικοὶ δέ, κρατῆρας ἔχουσιν ἀναβάλλοντας ὕδωρ εἰς θολοειδὲς ἀναφύσημα, καὶ πάλιν εἰς τὸν αὐτὸν δεχομένους μυχόν. τὸ δὲ περὶ ματαυρον σπήλαιον, ἐντὸς ἔχει σύριγγα εὐμεγέθη, καὶ ποταμὸν δι᾽ αὐτῆς ῥέοντα, ἀφανῆ μέχρι πολλοῦ διαστήματος, εἶτα ἀνακύπτοντα πρὸς τὴν ἐπιφάνειαν. καθάπερ ὀρόντης ἐν συρίᾳ, καταδὺς εἰς τὸ μεταξὺ χάσμα ἀπαμείας καὶ ἀντιοχείας ὃ καλοῦσι χάρυβδιν, ἀνατέλλει πάλιν ἐν μ σταδίοις. τὰ δ᾽ ὅμοια καὶ ὁ τίγρις ἐν τῇ μεσοποταμίᾳ, καὶ ὁ νεῖλος ἐν τῇ λιβύῃ, μικρὸν πρὸ τῶν πηγῶν. τὸ δὲ περὶ στύμφαλον ὕδωρ, ἐπὶ σ σταδίους ὑπὸ γῆν ἐνεχθέν, ἐν τῇ ἀργείᾳ τὸν ἐρασῖνον ἐκδίδωσι ποταμόν. πάλιν τὸ πρὸς τὴν ἀρκαδικὴν ἀβιάν, ὑποβρύχιον ὕδωρ, ὀψέ ποτε τόν τε ἀλφειὸν καὶ τὸν εὐρώταν ἀναδίδωσιν. ὥστε καὶ πεπιστεῦσθαι μυθῶδές τι, ὅτι τῶν ἐπιφημισθέντων στεφάνων ἑκατέρῳ, καὶ ῥιφθέντων εἰς τὸ κοινὸν ῥεῦμα, ἀναφαίνεται κατὰ τὸν ἐπιφημισμὸν ἑκάτερος, ἐν τῷ οἰκείῳ ποταμῷ.

ΟΤΙ ἡ λιπάρα, δυνατὴ γέγονεν καὶ ἦρξέν ποτε, κνιδίων οὖσα ἄποικος. ἐκαλεῖτο δὲ μελιγουνὶς πρίν, καὶ ἀκροθίνια πολλὰ ἀνέθηκεν εἰς δελφούς. ἔχει δὲ καὶ γῆν εὔκαρπον καὶ στυπτη-



Empedocles
ἀκολύμβοις
Mataurū
Orontes. fl.
Charybdis
Syriæ
Tigris. fl.
Nilus. fl.
Stymphalis aqua
Abia
Lipara
Meligunis
χαλκῆ

ρίας μέταλλον ἐμπρόσθεν, καὶ θερμὰ ὕδατα, ὡς καὶ ἡ σικελίας καὶ πυρὸς ἀναπνοάς. ταύτης δὲ μεταξύ πως ἐστὶ καὶ τῆς σικελίας, ἣν νῦν ἡφαίστου ἱερὰν καλοῦσι, πετρώδης πᾶσα καὶ ἔρημος, διάπυρος. ἔχει δὲ ἀναπνοὰς τρεῖς, ὡς ἂν ἐκ τριῶν κρατήρων. ἐκ δὲ τοῦ μεγίστου, καὶ μύδρους αἱ φλόγες ἀναφέρουσιν, οἳ προσκεχώκασιν ἤδη πολὺ μέρος τοῦ πόρου. ἐκ δὲ τῆς τηρήσεως πεπίστευται, διότι τοῖς ἀνέμοις συμπαροξύνονται καὶ αἱ φλόγες, αἵ τε ἐνταῦθα, καὶ αἱ κατὰ τὴν αἴτνην, οὐκ ἄλογον δέ. καὶ γὰρ οἱ ἄνεμοι, γεννῶνται καὶ τρέφονται, τὴν ἀρχὴν λαβόντες ἀπὸ τῶν ἐκ τῆς θαλάττης ἀναθυμιάσεων. ὥστ' ἀπὸ συγγενοῦς ὕλης καὶ πάθους, καὶ τὸ πῦρ ἐξαπτόμενον, οὐκ ἐᾷ θαυμάζειν τοὺς ὁρῶντας ἄλλως γέ πως τὰ τοιαῦτα. φασὶ δὲ τῶν τριῶν κρατήρων, τὸν μὲν κατερρυηκέναι ἐκ μέρους. τοὺς δὲ, συμμένειν. τὸν δὲ μέγιστον, τὸ χεῖλος ἔχειν περιφερὲς ὄν, ε σταδίων. κατ' ὀλίγον δὲ συνάγεσθαι, εἰς ν ποδῶν διάμετρον. καθ' οὗ βάθος εἶναι τὸ μέχρι θαλάττης, σταδιαῖον. ὥστε καθορᾶν ταῖς νηνεμίαις. ἐὰν μὲν οὖν νότος μέλλῃ πνεῖν, ὀμιχλώδη καταχεῖσθαι κύκλῳ φασὶν τῆς νησίδος, ὥστε μηδὲ τὴν σικελίαν ἄπωθεν φαίνεσθαι. ὅταν δὲ βορέας, φλόγας καθαρὰς ἀπὸ τοῦ λεχθέντος κρατῆρος, εἰς ὕψος ἐξαίρεσθαι, καὶ βρόμους ἐκπέμπεσθαι μείζους. τὸν δὲ ζέφυρον, μέσην τινὰ ἔχειν τάξιν. τοὺς δ' ἄλλους κρατῆρας, ὁμοειδεῖς μὲν εἶναι. τῇ δὲ βίᾳ, λείπεσθαι τῶν ἀναφυσημάτων. ἔκ τε δὴ καὶ τῆς διαφορᾶς τῶν βρόμων, καὶ ἐκ τοῦ πόθεν ἄρχεται τὰ ἀναφυσήματα καὶ αἱ φλόγες καὶ αἱ λιγνύες, προσημαίνεσθαι καὶ τὸν εἰς ἡμέραν τρίτην πάλιν μέλλοντα ἄνεμον πνεῖν. τῶν γοῦν ἐν λιπάρᾳ γενομένης ἀπλοίας, προειπεῖν τινάς φασιν τὸν ἐσόμενον ἄνεμον, καὶ μὴ διαψεύσασθαι. ἀφ' οὗ καὶ τὸ μυθωδέστατον δοκοῦν εἰρῆσθαι ὑπὸ ὁμήρου, οὐ μάτην εἴρηται, ἀλλ' αἴνιγμα τῆς ἀληθείας ἣν ὅτε ἔλεγε, ταμίαν τῶν ἀνέμων εἶναι τὸν αἴολον.

ΟΤΙ αἱ τοῦ αἰόλου νῆσοι, ζ εἰσίν, λιπάρα, θερμέσσα, στρογγύλη, διδύμη, ἐρικουσία, φοινικοῦσα, εὐώνυμος. ὧν ἡ στρογγύλη

Hiera uulcani

Aeoli fabula

Aeoli insulae .7.
Lipara
Thermessa
Strongyle
Didyme
Ericusa
Phoenicussa
Euonymus



γύλη, ἀπὸ τοῦ σχήματος καλεῖται. βίᾳ μὲν φλογὸς λειπομένη, τῷ δὲ φέγγει πλεονεκτοῦσα. ἐνταῦθα δὲ, τὸν αἴολον οἰκῆσαι φασίν. ἐρικουσία δὲ καὶ φοινικοῦσα, ἀπὸ τῶν φυτῶν κέκληνται. ἀφεῖνται δ' εἰς νομάς. ἡ δὲ εὐώνυμος, πελαγία ἐστὶν καὶ ἔρημος. πολλάκις δὲ, καὶ φλόγες εἰς τὴν ἐπιφάνειαν τοῦ πελάγους τοῦ περὶ τὰς νήσους, ὤφθησαν ἐπιδραμοῦσαι, τῶν κατὰ βάθος κοιλιῶν τοῦ πυρὸς, ἀνασομωθέντος πόρου τινὸς καὶ βιασαμένου πρὸς τὸ ἐκτός. φησὶ δὲ ποσειδώνιος, περὶ τροπὰς θερινὰς ἅμα τῇ ἕῳ, μεταξὺ τῆς ἱερᾶς καὶ τῆς εὐωνύμου, πρὸς ὕψος ἀρθεῖσαν ἐξαίσιον τὴν θάλατταν ὁρᾶσθαι, καὶ συμμένειν τινὰ χρόνον ἀναφυσωμένην συνεχῶς, εἶτα παύσασθαι. τοὺς δὲ τολμήσαντας προσπλεῖν, ἰδόντας νεκροὺς ἰχθύας ἐλαυνομένους ὑπὸ τοῦ ῥοῦ. τοὺς δὲ, καὶ θέρμῃ καὶ δυσωδίᾳ πληγέντας, φυγεῖν. πολλαῖς δ' ἡμέραις ὕστερον, ὁρᾶσθαι πηλὸν ἐπανθοῦντα τῇ θαλάττῃ. πολλαχοῦ δὲ, καὶ φλόγας ἐκπιπτούσας καὶ καπνοὺς καὶ λιγνύας. ὕστερον δὲ παγῆναι, καὶ γενέσθαι τοῖς μυλίοις λίθοις ἐοικότα τὸν πάγον.

ΟΤΙ τὴν ἰαπυγίαν οἱ ἕλληνες, μεσσαπίαν καλοῦσιν χερρόνησον οὖσαν, εἰς δ μοίρας διαιρουμένην. τὸ μὲν τι γὰρ αὐτῆς σαλεντῖνοι, τὸ δὲ καλαβροί. ὑπὲρ τούτους πρὸς βορρᾶ, πευκέτιοι εἰσὶν καὶ ἄπουλοι. ἡ δὲ μεσσαπία χερρόνησος οὖσα, ἀπὸ βρεντεσίου πόλεως πρὸς ἀνατολὰς, μέχρι τάραντος πρὸς δυσμὰς πόλεως, ἰσθμὸν ἔχει σταδίων τι.

ΟΤΙ τοῦ μεσσηνιακοῦ πολέμου γενομένου, οἱ μὴ μετασχόντες λακεδαιμονίων τῆς στρατείας, ἐκρίθησαν δοῦλοι, καὶ ὠνομάσθησαν εἵλωτες. ὅσοι δὲ κατὰ τὴν στρατείαν παῖδες ἐγένοντο, παρθενίας ἐκάλουν. διὰ τὸ πολυχρονίου τοῦ πολέμου συμβάντος, ἐκ τῶν οἴκοι παρθένων οὐσῶν γυναικῶν, διὰ τὸ πολὺν χρόνον παρατεθῆναι τοῖς λακεδαιμονίοις μεσσήνην πολιορκοῦσιν, καὶ ἀποσταλῆναι τοὺς νεωτάτους ἐκ τοῦ κοινοῦ, πρὸς τὸ μιχθῆναι πάντα πάσαις καὶ τεκνοποιήσασθαι. διὰ τοῦτο παρθενίαι ἐκλήθησαν, καὶ ἄτιμοι ἦσαν. οἱ δὲ οὐκ ἀνασχόμενοι, πολλοὶ δ' ἦσαν, ἐπεβούλευσαν

Posidoni9

μυλίοις λίθοις

Iapygia
Messapia
Salentini
Calabri
Peucetij
Apuli

Ilotes

Partheniae

Phalāth9

σαν περὶ κοινῶ, ἔχοντες φάλανθον ἡγεμόνα ἐν αὐτῶν. ἔδει οὖν περὶ ἀγῶνι, τῶν ὑακινθίων συντελουμένων, ἡνίκα τὴν κυνῆν περιθοῖτο φάλανθος, ποιεῖσθαι τὴν ἐπίθεσιν. ἐξαγγελθείσης δὲ τῆς πράξεως ἐν περὶ ἀγῶνι, προελθὼν ὁ κήρυξ εἶπεν. μὴ περιθέσθαι κυνῆν φάλανθον. οἱ δὲ στρατιῶται αἰσθόμενοι φωραθέντες, οἱ μὲν διεδίδρασκον. οἱ δὲ ἱκέτευον. κελεύσαντες δ' αὐτοὺς θαρρεῖν, φυλακῇ παρέδωσαν. τὸν δὲ φάλανθον, ἔπεμψαν εἰς θεοῦ περὶ ἀποικίας. ὁ δὲ ἔχρησεν,

Tarētū unde

σατύριόν τοι ἔδωκα τάραντά τε πίονα δῆμον,
οἰκῆσαι, καὶ πῆμα ἰαπύγεσσι γενέσθαι.

ἧκον οὖν σὺν φαλάνθῳ οἱ παρθενίαι, καὶ ἔκτισαν τάραντα, καὶ ὠνόμασαν οὕτως ἀπό τινος ἥρωος. ΟΤΙ ταραντῖνοι ἀριστοκρατηθέντες ἐν δημοκρατίᾳ, μεγάλως ἴσχυσαν, καὶ τὴν πυθαγόρειον ἀσπασάμενοι γνησίως φιλοσοφίαν, ἀρχύταν τὸν φιλόσοφον ἄρχοντα προυβάλοντο, ὃς καὶ πολὺν χρόνον ἦρξεν. ὕστερον δὲ τοσοῦτον εἰς τὴν τρυφὴν καὶ κακοπολιτείαν ἐτράποντο, ὥς τε καὶ τὰς δημοτελεῖς ἑορτὰς, πλείους τῶν τοῦ ἐνιαυτοῦ ἡμερῶν ἄγειν, καὶ ξένους καὶ ἀλλοφύλους ἄρχοντας ἐπικαλεῖσθαι, καὶ οὐδὲ τούτοις εὐπειθεῖς γινόμενοι. οἷον ἀλέξανδρον τὸν ἠπειρώτην, κατὰ μεσσαπίων, καὶ πύρρον καί τινας λακεδαιμονίους. καὶ ἔτι ἀννίβα, συνεμάχουν καρχηδονίοις. διὰ τοῦτο ὑπὸ ῥωμαίων ὕστερον καταπολεμηθέντες, ἐταπεινώθησαν.

Archytas

Apud taretinos plures dies festi q̄m dies totius anni

ΟΤΙ ἡ τῶν ἰαπύγων χώρα, παραδόξως ἐστὶν ἀγαθή. ἐπιπολῆς γὰρ φαινομένη τραχεῖα, εὑρίσκεται βαθύγειος σχιζομένη. ἀνυδροτέρα δὲ οὖσα, εὔβοτος καὶ εὔδενδρος ἐστίν. εὐανδρήσεν δέ ποτε καὶ αὕτη σφόδρα τὸ χωρίον σύμπαν, καὶ ἔσχεν πόλεις ιγ. ἀλλὰ νῦν πλὴν τάραντος καὶ βρεντεσίου, τὰ ἄλλα πολίσματά εἰσιν. οὕτως ἐκπεπόνηνται καὶ τεταπείνωνται. ἐνταῦθα καὶ ὁ σκόπελος ὃν καλοῦσιν ἄκραν ἰαπυγίαν, πολὺς ἐκκείμενος εἰς τὸ πέλαγος, καὶ τὰς χειμερινὰς ἀνατολάς. ἐπιστρέφων δέ πως ἔτι τὸ λακίνιον ἄκρον τῆς βρεττίας, τὴν ἑλλάδα μεγά-

λην

Acra iapygia

Laciniū p̄mō.



λην ἀπὸ τῆς τοῦ πυθαγόρου ἐνταῦθα διατριβῆς ἐκάλεσαν, ἀντιπαίρων ἀπὸ τῆς ἑσπέρας αὐτῷ, καὶ κλείων τὸ στόμα τοῦ ταραντίνου κόλπου πρὸς αὐτόν. καὶ τὰ κεραύνια δὲ ὁμοίως ὄρη κλείει πρὸς αὐτὸν, τοῦ ἰονίου κόλπου. καὶ ἔστιν τὸ δίαρμα ὅσον ψ σταδίων ἀπ' αὐτοῦ, πρός τε τὰ κεραύνια καὶ πρὸς τὸ λακίνιον. περίπλους δὲ τάραντός ἐστιν ἐπὶ βρεντέσιον. μέχρι μὲν βάρεντος πολίχνης χ στάδιοι. καλοῦσι δὲ βάριν, οἱ νῦν. ἐνθένδε εἰς τὰ λευκὰ, στάδια π, πολίχνιον καὶ τοῦτο, ἐν ᾧ δείκνυται πηγὴ δυσώδους ὕδατος. ἐκ δὲ τῶν λευκῶν εἰς ὑδροῦντα πολίχνην στάδια ρν. ἐντεῦθεν δ' εἰς βρεντέσιον υ. οἱ δὲ ἴσοι, καὶ εἰς σάσωνα τὴν νῆσον, ἥ τις μέση πως ἵδρυται, τῆς τε ἰαπυγίας καὶ τῶν κεραυνίων τῆς ἠπείρου. ΟΤΙ ἡ ἀπὸ βρεντεσίου ὁδὸς εἰς τάραντα, τουτέστιν ὁ ἰσθμὸς, στάδια σ, ἀφορίζων γῆν, ἣν μεσσαπίαν τε καὶ ἰαπυγίαν καὶ καλαβρίαν καὶ σαλεντίνην, κοινῶς οἱ πολλοὶ καλοῦσι χερρόνησον οὖσαν. ΟΤΙ εὐλιμενώτερα ἐστιν ἡ πόλις, τὸ βρεντέσιον. ἑνὶ γὰρ στόματι, πολλοὶ κλείονται λιμένες ἄκλυστοι, κόλπων ἀπολαμβανομένων ἐντός. ὥστ' ἐοικέναι κέρασιν ἐλάφου τὸ σχῆμα ἀφ' οὗ καὶ τοὔνομα. σὺν γὰρ τῇ πόλει κεφαλῇ μάλιστα ἐλάφου προσέοικεν ὁ τόπος. τῇ δὲ μεσσαπίᾳ γλώττῃ, βρεντέσιον, ἡ κεφαλὴ τοῦ ἐλάφου καλεῖται. εἰσὶν ἀπὸ ῥώμης εἰς βρεντέσιον, μίλια τξ. ΟΤΙ ἀπὸ βρεντεσίου, πλοῦς ἐστιν εἰς τὴν περαίαν, δίπλους. ὁ μὲν ἐπὶ τὰ κεραύνια καὶ τὴν ἤπειρον. ὁ δὲ εἰς δυρράχιον μείζων τοῦ προτέρου. ἔστιν γὰρ ,αω σταδίων. τέτευχε δ' ἑκάτερος τούτων, διὰ τὸ τὴν πόλιν εὐφυῶς κεῖσθαι, πρός τε τὰ τῶν ἰλλυρικῶν ἔθνη καὶ τὰ τῶν μακεδόνων. ΟΤΙ τὸ παλαιὸν ἐκαλεῖτο τὸ ἀργυρίππειον ἡ πόλις, ὕστερον ἀργυρίππα. εἶτα ὕστερον ἐκλήθη ἄρποι, κτίσμα διομήδους. ΟΤΙ τῆς σαυνίας περὶ λόφον τινὰ δείκνυται ἡρῷα. τὸ μὲν κάλχαντος, ἐπ' ἄκρᾳ τῇ κορυφῇ. ἐναγίζουσι δ' αὐτῷ, μέλανα κριὸν οἱ μαντευόμενοι, ἐγκοιμώμενοι ἐν τῷ δέρματι. τὸ δὲ ποδαλειρίου, κάτω πρὸς τῇ ῥίζῃ, διέχον τῆς θαλάττης

p στάδια

Bares
Baris V.
Leuca . ort
Hydrus.V.
Sason.ins.

Brundusiū unde

περαία

Argyripiū
Argyrippa
Harpi
Sammiū

Calchas
Podalirius

στάδια ρ. ὁ δὲ τόπος, καλεῖται δρίον. πρόκειται δὲ τοῦ κόλπου τούτου, πελάγιον ἀκρωτήριον πρὸς ἀνατολάς, ἄχρι τ ἀνατεῖνον σταδίους, τὸ γάργανον. οὗ πλησίον, αἱ διομήδειαι νῆσοι. περὶ δὲ τὸν διομήδην, διαφόρως ἱστορεῖται. οἱ μὲν φασιν, ὅτι μετάπεμπτος γενόμενος ἐν ἄργει ἐτελεύτησεν. οἱ δὲ αὐτοῦ ἐν ἄρποις τῆς δαυνίας. οἱ δέ, ἐν μιᾷ τῶν νήσων αὐτοῦ ἀφανισθῆναι. οἱ δέ, ὅτι ἐν ἐνετοῖς ἀπεθεώθη. ΟΤΙ ἡ ἰταλία ἀσφαλῶς ᾤκηται, νήσου δίκην περίκλυστος οὖσα. καὶ πάλιν αἱ ἄλπεις, κρημνώδεις εἰσίν, καὶ τείχεσι πεφραγμέναι. ΟΤΙ στράβων ὁ γεωγράφος, ἤκμαζεν ἄχρι τῶν χρόνων τιβερίου καίσαρος, καὶ τῶν παίδων αὐτοῦ δρούσου καὶ γερμανικοῦ.

## ΧΡΗΣΤΟΜΑΘΕΙΑΙ ΕΚ ΤΩΝ Στράβωνος γεωγραφικῶν βιβλίου ἑβδόμου.

ΟΤΙ ἀπὸ τοῦ ἀδριατικοῦ μυχοῦ, ἕως τοῦ ἴστρου τῶν ὄχθων, στάδιοί εἰσιν α. ΟΤΙ γερμανοί, μικρὸν ἐξαλλάττουσι τοῦ κελτικοῦ φύλου, τῷ τε πλεονασμῷ τῆς ἀγριότητος, καὶ τοῦ μεγέθους, καὶ τῆς ξανθότητος. τἆλλα δὲ παραπλήσιοι καὶ μορφαῖς καὶ νόμοις, ὅθεν καὶ γερμανοὶ ὑπὸ ῥωμαίων καλοῦνται. δηλοῦται δὲ τὸ ὄνομα γνήσιοι. ΟΤΙ μάρσοι καὶ σούγαμβροι, ἔθνη εἰσὶν γερμανικὰ δυσμικά. ΟΤΙ ὁ ἑρκύνιος δρυμός, τῆς γερμανίας ἐστίν, περὶ σουήβους ἔθνος μέγα. ΟΤΙ τὰ βορειότερα ἔθνη τῶν γερμανῶν, ἁμαξόβιά ἐστιν καὶ νομαδικά, καὶ ῥαδίως μεταναστεύειν ἕτοιμα, διὰ τὸ μὴ θησαυρίζειν. ΟΤΙ δροῦσος ὁ τιβερίου παῖς, πολεμῶν καὶ κατορθῶν περὶ τὸν ῥῆνον, ἐτελεύτα. ΟΤΙ διέχει ὁ ῥῆνος ἀπὸ τοῦ ἄλβιδος ποταμοῦ, στάδια γ εὐθυποροῦντι. ΟΤΙ ὁ ἑρκύνιος δρυμός, πυκνότερός τέ ἐστιν καὶ μεγαλόδενδρος, ἐν χωρίοις ἐρυμνοῖς κύ-

κλον

Drio
Garganu
Diomedeæ insu.
Strabo q̃ tẽpore floruit
ὄχθων
Germani unde
Marsi
Sicambri
Sueui
Rhenus Albis fl
μεταναστεύειν



κλον περιλαμβάνων μέγαν. ἐν μέσῳ δὲ ἵδρυται χώρα, καλῶς οἰκεῖσθαι δυναμένη. ἔστιν δὲ πλησίον αὐτοῦ, ἥ τε τοῦ ἴστρου πηγὴ καὶ ἡ τοῦ ῥήνου, καὶ ἡ μεταξὺ ἀμφοῖν λίμνη, καὶ τὰ ἕλη τὰ ἐκ τοῦ ῥήνου διαχεόμενα. ἔχει δ᾽ ἡ λίμνη τὴν περίμετρον στάδια τ. νοτιώτερα δ᾽ ἐστὶν τῶν τοῦ ἴστρου πηγῶν, καὶ αὕτη, καὶ ὁ ἑρκύνιος δρυμός, ὥστε ἀνάγκη τὸν ἀπὸ τῆς κελτικῆς ἄχρι τὸν ἑρκύνιον δρυμὸν ἰόντα, πρῶτον μὲν διαπερᾶσαι τὴν λίμνην. ἔπειτα τὸν ἴστρον, εἶτα δεῖ δι᾽ εὐπρεπεστέρων χωρίων ἄχρι τὸν δρυμὸν ἐλθεῖν, δι᾽ ὀροπεδίων. ΟΤΙ ἔστιν καὶ ἑτέρα ὕλη μεγάλη ἐν γερμανίᾳ γαβρῆτα, ἐπὶ τάδε τῶν σοήβων. ἐπέκεινα δ᾽ ὁ ἑρκύνιος δρυμός. ἔχεται δὲ κἀκεῖνος, ὑπ᾽ αὐτῶν. ΟΤΙ κίμβροι καλοῦνται, οἱ παρωκεανῖται γερμανοί, οἱ τινὲς ἐστρατεύσαν ποτὲ εἰς τὴν μαιῶτιν, καὶ ἀπ᾽ αὐτῶν ὡς ἔοικεν καὶ οἱ τὸν βόσπορον οἰκοῦντες, κιμμέριοι ἐκλήθησαν, ὧν καὶ ὅμηρος μέμνηται. οἱ δὲ ἕλληνες, τὸ ὄνομα σολοικίζοντες λέγουσιν. ΟΤΙ ταῖς τῶν κίμβρων γυναιξί, συστρατευούσαις τοῖς ἀνδράσι, παρηκολούθουν γυναῖκες προμάντεις ἱέρειαι πολιότριχες, λευχείμονες, καρπασίνας ἐφαπτίδας ἐπιπεπορπημέναι, ζῶσμα χαλκοῦν ἔχουσαι, γυμνόποδες. τοῖς οὖν αἰχμαλώτοις διὰ τοῦ στρατοπέδου συνήντων ξιφήρεις. καταστρέψασαι δ᾽ αὐτούς, ἦγον ἄχρι κρατῆρα χαλκοῦν, ὅσον ἀμφορέων κ. εἶχον δ᾽ ἀναβάθραν. ἣν ἀναβᾶσα ὑπερπετὴς τοῦ λέβητος, ἐλαιμοτόμει ἕκαστον μετεωρισθέντα. ἐκ δὲ τοῦ προχεομένου αἵματος εἰς τὸν κρατῆρα, μαντείαν τινὰ ἐποιοῦντο. ἄλλαι δὲ διασχίσασαι ἐσπλάγχνευον, ἀναφθεγγόμεναι νίκην τοῖς οἰκείοις. ἐν δὲ τοῖς ἀγῶσιν, ἔτυπτον τὰς βύρσας τὰς περιτεταμένας τοῖς γέρροις τῶν ἁρμαμαξῶν, ὥστε ἀποτελεῖσθαι ψόφον ἐξαίσιον. ΟΤΙ οἱ παλαιοὶ ἕλληνες τοὺς γέτας καὶ τοὺς μυσοὺς οἰκοῦντας περὶ τὸν ἴστρον, θρᾷκας ὑπελάμβανον. καὶ τοὺς ἀποίκους τῶν ἐκ θρᾴκης μυσῶν ἐν τῇ ἀσίᾳ, οἰκοῦντας μεταξὺ φρυγῶν καὶ λυδῶν καὶ τρώων. καὶ αὐτοὶ δὲ οἱ φρύγες, βρίγες εἰσίν, θρᾴ-

ρ 2 κιον

Hercyni salt
Gabreta syl
Cimbri
Homero
Cimmerij ponti à cimbris dicti
ἐφαπτίδας
ἐσπλάγχνευον
βύρσας
γέρροις
Thraces
ἔπειτα δε

κιόν τι ἔθνος, καθάπερ καὶ μυγδόνες καὶ βέβρυκες καὶ μεθοβιθυνοὶ καὶ βιθυνοὶ καὶ θυνοὶ καὶ μαριανδυνοί. ἀλλ' οὗτοι μὲν, τελέως τὴν εὐρώπην ἐξέλιπον, πλὴν μυσῶν, ὧν καὶ ὅμηρος ἐμνήσθη. καὶ γάρ εἰσίν τινες τῶν ταύτῃ θρακῶν καὶ μυσῶν, ἀπεχόμενοι κρεοφαγίας καὶ γάμου, διὰ ὁσιότητα. οὓς λέγει ἀγαυοὺς ἱππημολγούς, γαλακτοφάγους ἀβίους τε. τουτέστιν ἀγάμους, ἄνευ συμβιώσεως γυναικῶν. καὶ συμβαίνει αὐτοῖς δικαιοπραγεῖν, διὰ τὸ ἀγύνητας εἶναι. εἰκὸς δὲ καὶ τὸν ζάμολξιν ὕστερον τοὺς γέτας ἀναπεῖσαι πυθαγορίζειν, εὑρόντα ἑτοίμους πρὸς φιλοσοφίαν. ΟΤΙ ὁ εὔξεινος νῦν πόντος, ἄξεινος τὸ πρὶν ἐκαλεῖτο, διὰ τὸ τὰ ἐνοικοῦντα ἔθνη ἄγρια εἶναι, καὶ ξενοκτονεῖν τοὺς περὶ τὴν ταυρικήν. ΟΤΙ οἱ σκύθαι, πάντα κοινὰ εἶχον καὶ αὐτὰς τὰς γυναῖκας, πλὴν ξίφους καὶ ποτηρίου. διὰ δὲ τὸ εἶναι ἄβιοι, δικαιότατοί εἰσιν. ἡ γὰρ ἀδικία, διὰ τὴν τῶν χρημάτων κτῆσιν, καὶ διὰ τὰ συμβόλαια. οἱ γὰρ παλαιοὶ σκύθαι, ἀγνῶτες ἦσαν. καὶ ὅμηρος μαρτυρεῖ καὶ ἡρόδοτος, περὶ τῶν τοῦ δαρείου βασιλεῖ τῶν περσῶν σκυθῶν, γράφων τῆς τε αὐταρκείας καὶ λιτότητος αὐτῶν. καὶ δρομιχαίτης ὁ γετῶν βασιλεύς, ζωγρήσας λυσίμαχον τὸν στρατηγὸν τῶν μακεδόνων, συστρατεύσαντά ποτε ἀλεξάνδρῳ, ἀπέλυσεν δείξας αὐτῷ πρότερον τὴν τῶν γετῶν πενίαν, καὶ εἰπών. ὅτι οὐ δεῖ τοῖς τὴν τοιαύτην ἀγνίαν ἀσκοῦσι γέταις πολεμεῖν, ἀλλὰ φίλοις κεχρῆσθαι. ΟΤΙ τῆς μεταξὺ εὐξείνου πόντου καὶ γερμανῶν γῆς, διχῆ διαιρουμένης. τὸ μὲν πρὸς ἀνατολάς τε καὶ τὸν εὔξεινον, γέται νέμονται. τὸ δὲ πρὸς δύσιν, δακοὶ καὶ δάοι. ἀφ' οὗ καὶ ἐπιπολάζει ἐν ἀθήναις τὸ τῶν δούλων ὄνομα. ΟΤΙ τοῦ ἴστρου ποταμοῦ, τὰ μὲν ἄνω καὶ πρὸς ταῖς πηγαῖς μέρη μέχρι τῶν καταρακτῶν, δανούβιον προσηγόρευον οἱ παλαιοί, ἃ μάλιστα διὰ τῶν δακῶν φέρεται. τὰ δὲ κάτω μέχρι τοῦ πόντου τὰ παρὰ τοὺς γέτας, ἐκάλουν ἴστρον. ὁμόγλωττοι δ' εἰσὶν οἱ δακοί, τοῖς γέταις. ΟΤΙ μεταξὺ τῆς ποντικῆς θαλάττης τῆς ἀπὸ ἴστρου ἐπὶ τύραν, καὶ ἡ τῶν γετῶν ἐρη-



Mygdones
Bebryces
Methobithyni
Bithyni
Vni
Mariandyni
Homer
Zamolxis
Euxinus
Axenus
Homer
Herodot
Getae
Daci
Daoe
Danubius
Ister
Tyra

ἀβίους qd apud homerū
ἄβιοι · ἢ · πένητες



ρημία πρόκειται, πεδιὰς πᾶσα καὶ ἄνυδρος. ἐν ᾗ δαρεῖος ἀποληφθεὶς ὁ ὑστάσπεω, καθ' ὃν καιρὸν διέβη τὸν ἴστρον ἐπὶ τοὺς σκύθας, ἐκινδύνευσεν πανστρατιᾷ δίψῃ φθαρῆναι.

ΟΤΙ μεταξὺ τῆς πεύκης ἥ ἐστιν νῆσος ὑπὸ τῶν τοῦ ἴστρου στομάτων ἀπολαμβανομένη, ἕως τῶν τοῦ τύρα ἐκβολῶν, στάδιοί εἰσιν ϡ. τὸ δὲ ἀπὸ ἱεροῦ στόματος τοῦ ἴστρου, ὅ ἐστιν νοτιώτατον, ἕως τοῦ βορειοτάτου, τουτέστιν ἡ τῆς πεύκης βάσις τριγώνου οὔσης, στάδιοί εἰσιν τ. ΟΤΙ ἡ λευκὴ νῆσος ἀπὸ τῆς πεύκης ἀπέχει πρὸς ἀνατολάς, στάδια φ εἰς τὸ πέλαγος ἱερὰ ἀχιλλέως. ΟΤΙ ὁ βορυσθένης ποταμός, εἶτα πρὸς βορρᾶν καὶ ἀνατολὰς ὁ ὕπανις ποταμός, ἀπὸ τοῦ τύρα ποταμοῦ. καὶ πρὸ αὐτῶν, νῆσος βορυσθένης. ἀναπλεύσαντι δὲ τὸν βορυσθένη στάδια σ. πόλις ἐστὶν ὁμώνυμος τῷ ποταμῷ. ἡ δ' αὐτὴ καὶ ὀλβία καλεῖται, κτίσμα μιλησίων ἐμπορεῖον μέγα. μεταξὺ δὲ τοῦ ἴστρου ποταμοῦ καὶ τοῦ βορυσθένους, πρώτη ἐστὶν ἡ τῶν σκυθῶν ἐρημία. εἶτα τυραγέται. εἶτα ἰάζυγες σαρμάται, καὶ οἱ βασίλειοι λεγόμενοι σκύθαι. ΟΤΙ ἡ προσάρκτιος πᾶσα, ἀπὸ γερμανίας μέχρι τῆς κασπίας θαλάσσης, πεδιάς ἐστιν, ἣν ἴσμεν.

ΟΤΙ ῥωξολανοὶ περὶ τὴν μαιῶτιν οἰκοῦντες, ἐπολέμουν πρὸς τοὺς τοῦ εὐπάτορος μιθριδάτου στρατηγούς, ἔχοντες ἡγεμόνα τάσιον. ΟΤΙ αἱ τοῦ βορυσθένους ποταμοῦ ἐκβολαί, ἐν τῷ μυχῷ κεῖνται τοῦ ταμυρακοῦ κόλπου, καὶ ἡ βορυσθένους νῆσος. ὁ δὲ καρκινίτης ποταμός, ἐν τῷ μυχῷ ἐκδίδωσι τοῦ ὁμωνύμου κόλπου. καὶ περιέχεται μεταξὺ τῶν δύο κόλπων τούτων, ἡ ταυροσκυθία χερρονησίζουσα. ἧς τὰ νότια μέρη, εὐθεῖα ἐστὶν αἰγιαλός, ὁ ἀχίλλειος δρόμος. ΟΤΙ τὰ περὶ μαιῶτιν χωρία διὰ τὴν ψύξιν, ὄνους οὐ τρέφει. δύσριγον γὰρ τὸ ζῶον. οἵ τε βόες, οἱ μὲν, ἄκοροι γίνονται. τῶν δὲ, ἀπορεινῶσιν τὰ κέρατα. καὶ γὰρ τοῦτο δύσριγον τὸ μέρος. οἵ τε ἵπποι, μικροὶ γίνονται. τὰ δὲ πρόβατα μεγάλα. ὁ δὲ διάπλους τοῦ βοσπόρου, ἁμαξεύεται ἐκ τοῦ παντικαπαίου εἰς φαναγορείαν, ὥστε καὶ πηλὸν εἶναι



ἀπορρινῶσι

Darius
Peuce insu
Sacrū os
Leuce ins.
Borysthenes
Hypanis
Borysthenes
Olbia
Idē
Tyragetae
Jazyges
Basileij
Roxani
Tamyracus sinus
Carcinites fl. & sinus
Tauroscyth
Achilleos dromos
Bosphori traiectus a pātic paeo ad phanagoria

καὶ ὀδόντι. ὀρυκτοί τέ εἰσιν ἰχθύες, οἱ ἀποληφθέντες ἐν τῷ κρυστάλλῳ, θηρευτοὶ γαγγάμῃ τῷ ἐργαλείῳ. καὶ μάλιστα οἱ ἀντακαῖοι, δελφῖσι πάρισοι τὸ μέγεθος. ἡ δὲ ἄμπελος, χειμῶνος κατορύττεται. τὰ δὲ καύματα, τοῦ θέρους σφοδρὰ γίνονται. τάχα μὲν τῶν σωμάτων ἀηθιζομένων. τάχα δὲ τῶν πεδίων νηνεμούντων. ἢ καὶ τοῦ πάχους τοῦ ἀέρος ἐκθερμαινομένου πλέον. καθάπερ ἐν τοῖς νέφεσιν οἱ παρήλιοι ποιοῦσιν.

ΟΤΙ μετὰ τὴν νῆσον τὸν βορυσθένη ἑξῆς πρὸς ἀνατολὰς ἐν τῇ ἠπείρῳ, ψιλὸν χωρίον, καλούμενον ἄλσος ἱερὸν ἀχιλλέως. εἶτα ὁ ἀχίλλειος δρόμος, ἀλιτενὴς χερσόννησος. ἔστι γὰρ ταινία τις, ὅσον ͵α σταδίων μῆκος ἐπὶ τὴν ἕω. πλάτος δὲ τὸ μέγιστον, δυεῖν σταδίων. τὸ δὲ ἐλάχιστον, πλέθρων δ´, διέχουσα τῆς ἑκατέρωθεν τοῦ αὐχένος ἠπείρου τῇ θαλάσσῃ, σταδίους ξ´, ἀμμώδης, ὕδωρ ἔχουσα ὀρυκτόν. κατὰ μέσην δέ, ὁ τοῦ ἰσθμοῦ αὐχήν, ὅσον μ´ σταδίων. τελευτᾷ δέ, πρὸς ἄκραν ἣν ταμυράκην καλοῦσιν, ἔχουσαν ὕφορμον. μεθ᾽ ἥν, ὁ καρκινίτης κόλπος εὐμεγέθης, ἀνέχων πρὸς τὰς ἄρκτους, ὅσον ἐπὶ σταδίους ͵α, μέχρι τοῦ μυχοῦ. τὸν δὲ κόλπον, καὶ ταμυράκην καλοῦσιν ὁμωνύμως τῇ ἄκρᾳ. ἐνταῦθα δ᾽ ἐστὶν ὁ ἰσθμός, ὁ διείργων τὴν σαπρὰν λεγομένην λίμνην ἀπὸ θαλάττης, σταδίων μ´, καὶ ποιῶν τὴν ταυρικὴν καὶ σκυθικὴν λεγομένην χερρόνησον. οἱ δὲ τξ´, τὸ πλάτος τοῦ ἰσθμοῦ φασίν. ἡ δὲ σαπρὰ λίμνη, σταδίων μὲν εἶναι ͵δ λέγεται. μέρος δ᾽ ἐστὶ τῆς μαιώτιδος τὸ πρὸς δύσιν. συνεστόμωται γὰρ αὐτῇ στόματι μεγάλῳ, καὶ ἐστὶν ἑλώδης σφόδρα, καὶ ῥαπτοῖς πλοίοις μόγις πλόϊμος. οἱ γὰρ ἄνεμοι τὰ τενάγη ῥᾳδίως ἀνακαλύπτουσιν. εἶτα πάλιν πληροῦσιν. ὥστε τὰ ἕλη, τοῖς μείζοσι σκάφεσιν οὐ περάσιμά ἐστιν. ἀλλ᾽ ἐνίσχεται αὐτόθι. ΟΤΙ χερρόνησος πόλις ἐν τῇ ταυρικῇ, πρότερον αὐτόνομος ἦν. κατατρεχομένη δ᾽ ὑπὸ τῶν βαρβάρων, ἠναγκάσθη προστάτην ἑλέσθαι μιθριδάτην τὸν εὐπάτορα, καὶ στρατηγιῶντα, ἐπὶ τοὺς ὑπὲρ τοῦ ἰσθμοῦ μέχρι βορυσθέ-

νους

Margin notes (manuscript): γαγγάμη · Antacaei · παρήλιοι · Borysthenes insula · Luc[us] sacer achillis · Achilleos dromos · Tamyrace pro[montorium] · Carcinites sin[us] · Tamyraces · Sapra palus · Taurica seu scythica cherronesus · Cherronesus. V · Mithridates · ὕφορμον



τοῦ ποταμοῦ βαρβάρους, καὶ τοῦ ἀδρίου. ταῦτα δ᾽ ἦν ἐπὶ ῥωμαίους παρασκευή. ἐκεῖνος μὲν οὖν κατὰ ταύτας τὰς ἐλπίδας, ἅσμενος πέμψας εἰς τὴν χερρόνησον στρατείαν, ἐπολέμει πρὸς τοὺς σκύθας, καὶ τούτους ἐχειρώσατο, καὶ βοσπόρου κατέστη κύριος. παρ᾽ ἑκόντος λαβὼν παιρισάδου, τοῦ κατέχοντος τότε. ἐξ ἐκείνου διὰ τοῦ χρόνου τοῖς τοῦ βοσπόρου δυνάσταις, ἡ τῶν χερρονησιτῶν πόλις, ὑπήκοος μέχρι νῦν ἐστιν.

ΟΤΙ μετὰ τὸν συμβούλων λιμένα ἐν τῇ ταυρικῇ, ὅς ἐστι δυσμικὸς καὶ βόρειος, ἡ ταυρικὴ πρὸς νότον τοῦ εὐξείνου παραλία ͵α οὖσα σταδίων τὸ μῆκος, τραχεῖα καὶ ὀρεινὴ καὶ καταιγίζουσα τοῖς βορέαις. ἵδρυται ἡ θεοδοσία πόλις ἐν τῷ βοσπόρῳ. ἐν δὲ τῷ μέσῳ τῆς παραλίας ταύτης, ἀκρωτήριόν ἐστι τὸ καλούμενον κριοῦ μέτωπον, ἀντικρὺς παφλαγονίας καὶ τοῦ ἀκρωτηρίου αὐτῆς καράμβιδος. τὸ δὲ δίαρμα τὸ μεταξὺ καράμβιδος, καὶ κριοῦ μετώπου, στάδιοι ͵β σ̄. ἀπὸ δὲ θεοδοσίας εἰς παντικάπαιον μητρόπολιν τῶν βοσπορανῶν, πᾶσα ἡ χώρα εὔγειος καὶ εὔφορος σίτου, στάδια φλ´. ἡ δὲ παντικάπαια πόλις, ἵδρυται ἐπὶ τῷ στόματι τῆς μαιώτιδος λίμνης. τὸ δὲ παντικάπαιον, λόφος ἐστὶ πάντῃ περιοικούμενος ἐν κύκλῳ σταδίων κ´, κτίσμα μιλησίων. ΟΤΙ τὰ τοῦ ταναΐδος δύο στόματα διέχει ἀλλήλων, ὡς στάδια ξ´. ἔνθα ἐστὶ πόλις ὁμώνυμος τῷ ποταμῷ, μέγιστον ἐμπορεῖον τῶν βαρβάρων μετὰ τὸ παντικάπαιον. ἀπὸ δὲ τοῦ παντικαπαίου, πρὸς βορρᾶν στάδια κ´ ἀνιόντι, μυρμήκιόν ἐστι πολίχνιον. εἶτα κώμη παρθένιον, ἀπὸ σταδίων μ´ τοῦ μυρμηκίου. ἀπὸ δὲ παντικαπαίου, ξ´. ἔστι δὲ κατὰ μὲν τὸ παντικάπαιον, ὁ πορθμός, τοῦτ᾽ ἔστι τὸ πλάτος τοῦ βοσπόρου, σταδίων ο´. ἀπὸ δὲ τοῦ παρθενίου, ὅπου καὶ τὸ στενότατόν ἐστι τοῦ πορθμοῦ, στάδια κ´. ἔχει δ᾽ ἐνταῦθα ἀντικειμένην ἐν τῇ ἀσίᾳ κώμην, ἀχίλλειον καλουμένην. ἐντεῦθεν δὲ τὸ μῆκος τῆς λίμνης, ἐπὶ τὸν τάναϊν τὴν πόλιν καὶ τὴν νῆσον, στάδια ͵β σ̄. ὁ δὲ κατὰ τὴν ἀσίαν περίπλους καὶ τὰ δεξιὰ μέρη, ὀλίγῳ τι

ὑπερ-

Margin notes (manuscript): Parisades · συμβούλων λιμήν · Theodosia. V · Criu metopon · Carambis · Panticapea · Panticapaeum collis · Tanaidis ostia · Tanais. V · Myrmecion · Parthenium · Achilleum · Tanais fl. & insula & V

ὑπερβάλλει τῶν ͵β ͵α σταδίων. ὁ δὲ ἀριστερὸς καὶ ἐνθάδε τὴν εὐρώπην, ὑπὲρ τοὺς ͵ζ ἔγγιστα. ὥς εἶναι τὴν τῆς συμπάσης λίμνης περίμετρον ͵θ ἔγγιστα σταδίων. ἧς τὰ μὲν εὐρωπαῖα μέρη, ἔρημα. τὰ δ᾽ ἀνατολικὰ οἰκεῖται. ἡ δὲ ταυρικὴ χερρόνησος, ἔοικεν καὶ κατὰ τὸ μέγεθος καὶ κατὰ τὸ σχῆμα, τῇ πελοποννήσῳ. τὴν δὲ πλείστην μέχρι τοῦ ἰσθμοῦ καὶ τοῦ κόλπου τοῦ καρκινίτου, ταῦροι σκυθικὸν ἔθνος ᾤκουν, καὶ ἐκαλεῖτο πάλαι ἡ χώρα αὕτη πᾶσα, σχεδὸν δ᾽ ἔτι καὶ ἔξω τοῦ ἰσθμοῦ μέχρι βορυσθένους, μακρὰ σκυθία. τῆς δὲ χερρονήσου τῆς ταυρικῆς, πλὴν τῆς ὀρεινῆς τῆς παραλίου μέχρι θεοδοσίας, ἡ ἄλλη πεδιὰς καὶ εὔγειός ἐστιν πᾶσα. σίτῳ δὲ καὶ σφόδρα εὐτυχής. λ γοῦν ἀποδίδωσι, διὰ τοῦ τυχόντος ὀρυκτοῦ σχιζομένη. φόρον δ᾽ ἔφερον μιθριδάτῃ τῷ εὐπάτορι, οὗτοι. ἐντεῦθεν φασίν, καὶ τὰ σιτοπόμπια τοῖς ἕλλησιν εἶναι. καὶ λεύκωνα φασὶν πέμψαι ἐντεῦθεν ἀθηναίοις, σίτου μεδίμνους μυριάδας ιε. διὰ δὲ τὸ νομάδας εἶναι τοὺς βορειοτέρους, γεωργοὶ οὗτοι ἐκαλοῦντο ἰδίως. ΟΤΙ ἴδιόν ἐστιν σκυθῶν καὶ σαρματῶν, τὸ τοὺς ἵππους ἐκτέμνειν εὐπειθείας χάριν. μικροὶ μὲν γάρ εἰσιν, ὀξεῖς δὲ σφόδρα καὶ δυσπειθεῖς.

ΟΤΙ ἐν σκυθίᾳ, ἀετὸς οὐ γίνεται. γίνεται δὲ καὶ ζῶόν τι ἐνταῦθα ὁ καλούμενος κόλος, μεταξὺ ἐλάφου τε καὶ κριοῦ τὸ μέγεθος, λευκός. ὀξύτερος τούτων, κατὰ δρόμον, πίνων τοῖς ῥώθωσιν εἰς τὴν κεφαλήν. εἶτ᾽ ἐντεῦθεν εἰς ἡμέρας ταμιεύων πλείους, ὥστ᾽ ἐν τῇ ἀνύδρῳ νέμεσθαι ῥᾳδίως. τοιαύτη μὲν, ἡ μεταξὺ ῥήνου καὶ τανάϊδος ποταμῶν χώρα, ἡ ἐκ τοῦ ἴστρου ποταμοῦ, ὑπὸ τῆς ποντικῆς θαλάσσης ἀφοριζομένη. ΟΤΙ παράλληλά ἐστιν τρόπον τινὰ τῷ ἴστρῳ ποταμῷ, τά τε ἰλλυρικὰ καὶ τὰ παιονικὰ καὶ τὰ θρᾴκια ὄρη μίαν πως γραμμὴν ἀποτελοῦντα, διήκουσαν ἀπὸ τοῦ ἀδρίου, μέχρι πρὸς τὸν πόντον. ἧσπερ προσάρκτια μὲν, τὰ μεταξὺ ἴστρου ποταμοῦ καὶ τῶν ὀρῶν. πρὸς νότον δὲ, ἥ τε ἑλλὰς καὶ ἡ συνεχὴς βάρβαρος μέχρι τῆς ὀρεινῆς. πρὸς μὲν οὖν τὸν πόντον, ὁ αἷμον ἐστὶν ὄρος μέγιστον τῶν ταύτῃ καὶ ὑψηλότατον

τον

Taur. cher. similis & magnitudine & figura pelopo.

Scythia parua

Leuco

Georgi

Agla in Scythia no inuenitur

Colos animal

Hæmu. M.



τον, μέσην πως διαιροῦν τὴν θρᾴκην. πρὸς δὲ τῷ ἀδρίᾳ, πᾶσα ἡ ἀρδία σχεδόν τι. μέση δ᾽ ἡ παιονία, καὶ αὕτη πᾶσα ὑψηλή. ἐφ᾽ ἑκάτερα δ᾽ αὐτῆς, ἔνθα μὲν τὰ θρᾴκια, ἡ ῥοδόπη, ὅμορον, ὑψηλὸν ὄρος μετὰ τὸν αἷμον. ἔνθα δὲ θάτερα πρὸς ἄρκτον, τὰ ἰλλυρικὰ, ἥ τε τῶν αὐταριατῶν χώρα καὶ ἡ δαρδανική. αἱ δ᾽ ἄλπεις διατείνουσι, μέχρι τῶν ἰαπόδων, κελτικοῦ τε ἅμα καὶ ἰλλυρικοῦ ἔθνους. ἡ δὲ ὄκρα, ταπεινότατον μέρος τῶν ἀλπεών ἐστιν, τῶν διατεινουσῶν ἀπὸ τῆς ῥαιτικῆς μέχρι ἰαπόδων. ἐντεῦθεν δ᾽ ἐξαίρεται τὰ ὄρη πάλιν ἐν τοῖς ἰάποσι καὶ καλεῖται ἄλβια. μεταξὺ δ᾽ ὄκρας καὶ ἀλβίων ὀρέων ἐν τῇ ἰστρίᾳ, τὰ ὄρη τὰ καρούαγκα ἐπ᾽ εὐθείας. τὰ δὲ βέβια, ἔτι ἀνατολικώτερα τῶν ἀλβίων. ὡς εἶναι κατὰ τὸ ε κλίμα σχεδὸν ἐπ᾽ εὐθείας τὰ ὄρη ταῦτα, ὄκραν, καρούαγκα, ἄλβια, βέβια. εἶτα, τὰ τῆς ἄνω μυσίας ὄρη. εἶτα, ὁ αἷμος ὁ θρᾴκιος, ἕως τοῦ εὐξείνου πόντου. αὕτη οὖν ἡ κατὰ τὰ προκείμενα ὄρη εὐθεῖα, παράλληλός ἐστιν τῷ ἴστρῳ σχεδόν.

ΟΤΙ ἀρχὴ τῆς ἰλλυρικῆς παραλίας ἐστὶν ἡ ἰστρία, συνεχὴς οὖσα τοῖς τε κάρνοις καὶ τῇ ἰταλίᾳ. καὶ εἰσὶν ω στάδιοι ἀπὸ τοῦ μυχοῦ τοῦ ἀδρίου ἕως τῆς πόλας. τοσοῦτοι δὲ, ἀπὸ τοῦ αὐτοῦ ἕως ἀγκῶνος πόλεως ἰταλικῆς. ὁ δὲ πᾶς τῆς ἰστρίας παράπλους, ἕως τῶν ἀλβίων ὀρῶν, στάδιοι ͵α τ. ἑξῆς δέ ἐστιν ὁ ἰαποδικὸς παράπλους, σταδίων ͵α. ΟΤΙ οἱ ἰάποδες, ἵδρυνται ἐνθάδε τῷ ἀλβίῳ ὄρει, τελευταίῳ ὄντι τῶν ἀλπεων καὶ ὑψηλῷ σφόδρα. τῇ μὲν ἐνθάδε τοὺς παννονίους καὶ τὸν ἴστρον καθήκοντες, τῇ δὲ ἐνθάδε τὸν ἀδρίαν. κατάστικτοι δέ εἰσιν, ὁμοίως τοῖς ἄλλοις ἰλλυριοῖς τε καὶ θρᾳξίν. ΟΤΙ μετὰ τὸν τῶν ἰαπόδων παράπλουν, ὁ λιβυρνικός ἐστιν σταδίων ͵α φ. νήσων ἀριθμὸν ἔχων πρὸ αὐτοῦ, πλείους μ. τῶν δὲ ἰαπόδων νῆσος πρόκειται, ἡ κυρηκτική. τῶν δὲ ἰστρίων, αἱ ἀψυρτίδες νῆσοι. ἔνθα φασὶν τὴν μήδειαν τὸν ἀδελφὸν ἄψυρτον ἀνελεῖν. καὶ ἡ τραγούριον δὲ, καὶ ἡ φάρος, πρὸ τῆς λιβυρνίας εἰσὶν νῆσοι ἐπίσημοι, καὶ ἡ ἴασσα νῆσος.

ΟΤΙ ἴδιον τῶν δαλματέων τὸ διὰ ὀκταετηρίδος ἀνα-

q δασ

κατάστικτοι

Ardia

Rhodope

Hæmus. M

Autariatæ

Dardanica

Ocra. M.

Albia. M.

Caruanga

Bebia

Pola. V.

Anco

Iapodes

Pannony

Liburnic

Cyrectice in

Absyrtides in

-su

Tragurriu

Pharos

Iassa. insul.

Adrio. M.
Naro. fl.
Melæna ins.
Cercyra
Boij
Scordistæ
Autariatæ
Ardæi
Dardanij
Triballi
Macedons
Thraces
Pleræi
Rizæ sinus.
Rizo. V.
Drilo. fl.
Dyrrachiũ V. & cherronesus
Hapsus. fl.
Apollonia
Loos. fl.
Balliace
Ceraunij. M.
Chaons
Saso. ins.

διασμὸν ποιεῖσθαι τῆς χώρας. τὸ δὲ μὴ χρῆσθαι νομίσμασι, πρὸς μὲν τοὺς ἐν τῇ παραλίᾳ ταύτῃ, ἴδιον. πρὸς ἀλλήλους δὲ, τῶν βαρβάρων πολλοῖς, κοινόν. ΟΤΙ ὄρος ἐστὶν ἀδρίειον, μέσον τέμνον τὴν δαλματικήν. τὴν μὲν ἐπιθαλάττιον. τὴν δὲ ἐπὶ θάτερα. εἶτα ὁ νάρων ποταμὸς, καὶ περὶ αὐτὸν ἡ μέλαινα νῆσος, ἥ τις καὶ κόρκυρα καλεῖται, κνιδίων κτίσμα. ΟΤΙ πολλὰ ἔθνη ἐξέλιπον, καὶ ἐκλείπουσι. γαλατῶν μὲν, βόϊοι καὶ σκορδίσκαι. ἰλλυριῶν δὲ αὐταριᾶται καὶ ἀρδιαῖοι καὶ δαρδάνιοι. θρᾳκῶν δὲ τριβαλλοί. νῦν δ' οὐδ' ὄνομά ἐστιν μακεδόνων ἢ θρᾳκῶν.

ΟΤΙ μετὰ τὴν τῶν ἀρδιαίων καὶ πληραίων παραλίαν, ῥιζαῖος κόλπος ἐστὶν, καὶ ῥίζων πόλις, καὶ δρίλων ἐφεξῆς πρὸς νότον ποταμὸς, ἀνάπλουν ἔχων πρὸς ἕω μέχρι τῆς δαρδανικῆς, συνάπτει τοῖς τε μακεδονικοῖς καὶ τοῖς παιονικοῖς ἔθνεσι πρὸς μεσημβρίαν. εἶτα δυρράχιον, ὁμώνυμος τῇ χερρονήσῳ πόλις, κερκυραίων κτίσμα. εἶτα ἄψος ποταμός. εἶτα ἀπολλωνία πόλις, κορινθίων κτίσμα. εἶτα λῷος ποταμός. εἶτα βαλλιακὴ πόλις, καὶ τὰ κεραύνια ὄρη, καὶ χάονες, ἡ ἀρχὴ τοῦ ἰονίου κόλπου, καὶ νῆσος σάσων. καὶ ἔστιν τὸ μὲν ἰόνιον ὄνομα, ἡ ἀρχὴ τοῦ κόλπου. τὸ δὲ ἀδρίας, τοῦ ἔσω μέρους τοῦ μυχοῦ. νῦν δὲ, σύμπας ὁμοίως καλεῖται. καὶ εἰσὶν ἀπὸ λιβυρνίας εἰς τὰ κεραύνια ὄρη ἡ παραλία, στάδια δισχίλια. ἡ δὲ ἀπὸ τοῦ μυχοῦ τοῦ ἀδρίου ὁδὸς, ἕως τῶν κεραυνίων ὀρέων πεζῇ, ἡμερῶν πλειόνων ἢ λ. κατὰ δὲ θάλασσαν ὁ πλοῦς, ἡμερῶν ἕξ. καὶ ἐστὶν πᾶσα ἡ παραλία αὕτη, εὔγειος καὶ πάμφορος καὶ εὐάμπελος καὶ εὐλίμενος. ΟΤΙ ἡ ὑπερκειμένη τῆς παραλίας ἰλλυρία, πᾶσά ἐστιν ὀρεινὴ καὶ ψυχρὰ καὶ νιφόβολος. ἡ δὲ προσάρκτιος, καὶ μᾶλλον. ὥς τε καὶ τῶν ἀμπέλων σπάνιν εἶναι. ταῦτα δὲ τὰ χωρία, παννόνιοι κατέχουσι. πρὸς νότον μὲν μέχρι δαλματαίων καὶ ἀρδιαίων. πρὸς ἄρκτον δὲ, μέχρι τοῦ ἴστρου ποταμοῦ. πρὸς ἕω δὲ, σκορδίσκοις συνάπτοντα. τῇ δὲ, παρὰ τὰ ὄρη τὰ μακεδόνων καὶ θρᾳκῶν.

ΟΤΙ ἐν αὐταριάταις ἔθνει ἰλλυρικῷ ἐπισήμῳ, ὕδωρ ἐστὶν ῥέον



Intra p[er] Istrũ parua Scythi[a]

ῥέον ὑπὸ ἄγκει τινὶ τοῦ ἔαρος. ἀρυσάμενοι δὲ τὸ ὕδωρ καὶ ἀποθέντες, ἡμέρας ε ἔχον. εἶτα ἐξεπήγνυτο, καὶ ἦσαν ἅλες.

ΟΤΙ μετὰ τὴν τῶν σκορδίσκων χώραν, ἡ τῶν τριβαλλῶν καὶ μυσῶν ἐστιν χώρα, παρὰ τὸν ἴστρον οὖσα, καὶ τὰ ἕλη τὰ τῆς ἐντὸς ἴστρου μικρᾶς σκυθίας. ΟΤΙ ἀπὸ τοῦ νοτιωτάτου στόματος τοῦ ἴστρου ὅπερ ἱερὸν καλεῖται, ἐπὶ νότον ἰόντι τὴν τοῦ πόντου παραλίαν, ἴστρος ἐστὶν πολίχνιον ἀπὸ φ σταδίων μιλησίων κτίσμα. εἶτα ἕτερον πολίχνιον τόμις, ἀπὸ σν σταδίων. εἶτα πόλις κάλλατις, ἀπὸ σπ σταδίων, ἡρακλεωτῶν κτίσμα. εἶτα πόλις ἀπολλωνία, ἀπὸ ,ατ καλλάτιδος σταδίων, κτίσμα μιλησίων. ἐν δὲ τῷ μεταξὺ ἀπολλωνίας καὶ καλλάτιδος, ὀδησσός ἐστιν. εἶτα τὰ τοῦ αἵμου ὄρους ἀνατολικὰ πέρατα, ἀρξάμενον ἀπὸ τῶν ἀλπέων. εἶτα μεσημβρία, μεγαρέων κτίσμα. εἶτα ἀγχιάλη πόλις. εἶτα ἀπολλωνία. πάλιν δ' ἀπὸ τῆς ἀπολλωνίας ἐπὶ κυανέας, στάδιοί εἰσιν ,αφ. ἐν δὲ τῷ μεταξὺ, ἥ τε θυνιὰς, καὶ σαλμυδησσός, αἰγιαλὸς ἔρημος καὶ λιθώδης, ἀλίμενος, ἀναπεπταμένος πολὺς πρὸς τὸν βορρᾶν, σταδίων ὅσον υ, μέχρι κυανέων τὸ μῆκος. αἱ δὲ κυανέαι, νησίδιά εἰσιν δύο, πρὸς τῷ στόματι τοῦ πόντου. τὸ μὲν τῇ εὐρώπῃ προσεχὲς, τὸ δὲ τῇ ἀσίᾳ, διειργόμενα πορθμῷ, ὅσον κ σταδίων. τοσοῦτον δὲ διέχει καὶ τὸ ἱερὸν τὸ βυζαντίων, καὶ τὸ ἱερὸν τὸ χαλκηδονίων, ὅπερ ἐστὶν τὸ στενότατον τοῦ θρᾳκίου βοσπόρου, καὶ τὸ τοῦ πόντου στόμα. ΟΤΙ θρᾳκιστὶ καλεῖται ἡ πόλις, βρία. διὸ μεσημβρία μὲν, ἡ τοῦ μένσιος βρία. σηλυμβρία δὲ, ἡ τοῦ σήλυος βρία. ἡ δὲ αἶνος ποτὲ, πολτυοβρία ἐκαλεῖτο τοῦ πόλτυος βρία. ΟΤΙ μεγαρεῦσι χρωμένοις ποτὲ περὶ ἀποικίας, ἔχρησεν ὁ θεὸς κτίζειν πόλιν, ἀπέναντι τῶν τυφλῶν, λέγων τὸ βυζάντιον. τοὺς γὰρ χαλκηδονίους τυφλοὺς ἐκάλει, διὰ τὸ πρὸ δεκαεπτὰ ἐτῶν ἐλθόντας, οὐκ ἐπινοῆσαι ὡς τυφλοὶ δῆθεν τὴν ἀμείνω χώραν ἐκλέξασθαι τὸ βυζάντιον. ἀλλ' ἐκτίσαι τὴν χείρω, τὴν χαλκηδόνα. ΟΤΙ ἡ πηλαμὺς, γεννᾶται μὲν ἐν τοῖς ἕλεσι τῆς μαιώτιδος λίμνης. εἶτα ἐκεῖ ὀλί-



Triballi
Mysi
Sacrũ os istr[i]
Ister. V.
Tomis
Callatis
Apollonia
Odessus
Mesembria
Anchiale
Cyaneæ
Thynia
Hierõ byza[n]
Hierõ Chal[c]
Mesembria m[...] de
Selybria ude
Aenos
Poltyobria
Chalcedonij cæci
Pelamys

Thracũ lingua bria dicitur lingua ciuitas

γον αὐξηθεῖσα, κατέρχεται εἰς τὸν πόντον. εἶτα τὰ ἀσιανὰ μέρη ἀναλαβοῦσα ἕως τραπεζοῦντος, διὰ τὴν μικρότητα οὐ θηρεύεται. ἐντεῦθεν δ' ἕως σινώπης, ἄρχεται θηρεύεσθαι. καὶ κατὰ μικρὸν αὐξηθεῖσα, ἐν βυζαντίῳ ἤδη ὡραία ἐστὶν, καὶ θηρεύεται μάλιστα, καὶ εἰς τὸ κέρας τὸ κατὰ βυζάντιον, κολπωθὲν πρὸς δυσμὰς ἀνάχυμα τῆς θαλάσσης, εἰσέρχεται, καὶ ἀγρεύεται μάλιστα.

ΟΤΙ τὸ κατὰ βυζάντιον κέρας ὠνόμασται. διὰ τὸ ἐοικέναι ἐλάφου κέρατι τὴν ταύτῃ θάλασσαν. ἔχει γὰρ κόλπους τινὰς, ὡς ἂν ἀποφύσεις. ΟΤΙ ἡ νῦν ἑλλὰς χώρα, βαρβάρων ἦν πρότερον κατοικία. οἷον πέλοπος μὲν, ἐκ τῆς φρυγίας ἐπαγαγομένου λαὸν, εἰς τὴν ἀπ' αὐτοῦ κληθεῖσαν πελοπόννησον. δαναοῦ δ' ἐξ αἰγύπτου. δρυόπων δὲ, καὶ καυκώνων, καὶ πελασγῶν, καὶ λελέγων, καὶ ἄλλων τοιούτων, κατανειμαμένων τὰ χωρία τῆς ἑλλάδος. τήν τε γὰρ ἀττικὴν, οἱ μετὰ εὐμόλπου θρᾷκες ἔσχον. τῆς δὲ φωκίδος τὴν δαυλίδα, τηρεύς. τὴν δὲ καδμείαν, οἱ μετὰ κάδμου φοίνικες. αὐτὴν δὲ τὴν βοιωτίαν, ἄονες καὶ τέμβικες καὶ ὕαντες. καὶ ἀπὸ τῶν ὀνομάτων δ' ἐνίων, τὸ βάρβαρον ἐμφαίνεται, κέκροψ, κόδρος, ἔκλος, κόθος, δρύμας, κρίνακος. καὶ νῦν δὲ πᾶσαν ἤπειρον καὶ ἑλλάδα σχεδὸν καὶ πελοπόννησον καὶ μακεδονίαν, σκύθαι σκλάβοι νέμονται, καὶ ἡ ἰωνία δὲ ὑπὸ καρῶν καὶ λελέγων ἐκρατεῖτο. ΟΤΙ ὑπὸ τὸ ἔκτον κλίμα κεῖται, ἡ ἄλπις τὸ ὄρος, καὶ πρὸς ἀνατολὰς σχεδὸν ἐπ' εὐθείας διήκει ἡ ὀρεινὴ αὕτη ῥάχις, ἕως αἵμου ὄρους, τοῦ εἰς τὸν εὔξεινον λήγοντος. ὠνόμασται δὲ καθ' ἕκαστον ἔθνος, οὕτως. ἄλπις, ὄκρα, καρούαγκα, ἄλβις, βεβία. καὶ ταῦτα μὲν, τὰ ἰλλυρικὰ ὄρη. τὰ δὲ μακεδονικὰ, βερτίσκος, σκάρδον, ὄρβηλος, ῥοδόπη, αἷμος. ταῦτα δὲ τὰ ἔσχατα δύο, θρᾴκια εἰσίν. μεταξὺ δὲ τῆς ῥάχεως ταύτης καὶ τοῦ ἴστρου, κάθηνται ἔθνη ταῦτα, ῥαῖτοι, οὐινδέλικοι, νώρικοι, παννόνιοι οἱ ἄνω. παννόνιοι οἱ κάτω, σκορδίσκοι, δαλμάται, μυσοὶ οἱ ἄνω, μυσοὶ οἱ κάτω, διήκοντες ἕως τῆς πεύκης νήσου. οἱ δὲ ἰλλυρικοὶ καὶ οἱ μακεδόνες καὶ οἱ θρᾷκες, πρὸς νότον εἰσὶν τῆς ῥάχεως ταύτης

Ceras.i. Cornu byzantij unde sic dictum.
Pelops
Danai
Dryopes
Caucones
Pelasgi
Leleges
Aones
Eumolpus
Tereus
Sclabi scythae
Alpium processus & nomina
Alpes
Ocra
Caruanca
Albis
Bebia
Bertiscus
Scardon
Orbelus
Rhodope

Que nunc hellas. antea barbarorum sedes. Nota

Sclabi scythae unde nunc sclauonia



ταύτης. ΟΤΙ ἀπὸ ἀπολλωνίας τῆς ἐν τῷ ἀδρίᾳ ταυλαντίων τῶν μακεδονικῶν πόλεως, ἣ ἐστὶν πλησίον δυρραχίου, ἄρχεται ἡ ἐγνατία ὁδὸς, πρὸς ἕω βεβηματισμένη κατὰ μίλιον καὶ κατεστηλοθετημένη, μέχρι κυψέλων καὶ ἕβρου ποταμοῦ. μιλίων δ' ἐστὶν φλε΄. καὶ ἐὰν ἡ τὸ μίλιον στάδια η΄. γίνεται αὕτη ἡ ὁδὸς σταδίων ,δ σπ΄. ἐὰν δὲ ὡς πολύβιος βούλεται, ὑποβάλλῃ τὸ μίλιον τοῦ ὀκτασταδίου δίπλεθρον, ὅ ἐστιν τριτημόριον τοῦ σταδίου. τὸ γὰρ πλέθρον ἑκτημόριόν ἐστιν τοῦ σταδίου, προσθετέον τοῖς ,δ σπ΄ σταδίοις, τὸ τρίτον τῶν φλε΄. τοῦτ' ἐστιν ροη΄, καὶ γίνονται ,δ υνη΄. ΟΤΙ πτολεμαῖος μὲν τὸ τῆς μακεδονίας βόρειον πέρας εἶναι λέγει, τὴν γραμμὴν τὴν διὰ βερτίσκου ὄρους καὶ σκάρδου καὶ ὀρβήλου ἐκβαλλομένην. πρὸς ἀνατολὰς μὲν, ἕως μέσης τῆς προποντίδος. πρὸς δυσμὰς δὲ, ἕως τῶν ἐκβολῶν δρίλωνος ποταμοῦ, τοῦ ἐκ τοῦ βερτίσκου ὄρους ἀνίσχοντος. ἵνα τὰ βορειότερα τῶν ὀρέων τούτων καὶ τῆς γραμμῆς ταύτης ᾖ, τὰ μὲν ἰλλυρικὰ, τὰ δὲ θρᾴκια. ὁ δὲ στράβων, οὐχ οὕτως. ἀλλὰ τὴν ἐγνατίαν ὁδὸν, μεθόριον τίθησιν ἰλλυρίας καὶ τῆς ἠπείρου, ἀπὸ ἀπολλωνίας ἕως πόλεως λυχνιδίου, καὶ τόπου καλουμένου οὕτως πυλῶνος. τὰ δὲ λοιπὰ τῆς ὁδοῦ ταύτης, διά τε ἡρακλείας καὶ λυγκηστῶν καὶ ἐορδῶν, εἰς ἔδεσσαν καὶ πέλλαν, ἕως θεσσαλονικείας. μίλια δ' εἰσὶν ταῦτα, σξζ΄. τὰ δὲ λοιπὰ ἕως ποταμοῦ ἕβρου, τοσαῦτα. ΟΤΙ ἀπὸ ἀπολλωνίας πόλεως ἡ ἐγνατία ὁδὸς, διορίζει πρὸς νότον τὴν ἤπειρον, περιεχομένην ὑπὸ τοῦ ἀδριατικοῦ πελάγους, ἕως τοῦ κόλπου τοῦ ἀμβρακικοῦ. ἀπὸ δὲ τοῦ ἀμβρακικοῦ κόλπου πρὸς ἕω, ἕως αἰγαίου, ἑλλάς ἐστιν, πρὸς νότον ἔχουσα τὴν πελοπόννησον.

ΟΤΙ ὁ στρυμὼν ποταμὸς, διορίζει μακεδονίαν καὶ θρᾴκην. ἡ δὲ θρᾴκη, κλυζομένη αἰγαίῳ τε πελάγει, καὶ τῷ μέλανι κόλπῳ, καὶ ἑλλησπόντῳ, καὶ προποντίδι, καὶ βοσπόρῳ, καὶ εὐξείνῳ πόντῳ, εἰς τὸν αἷμον τὸ ὄρος περατοῦται. ἡ δὲ βόρειος τῆς θρᾴκης πλευρὰ, ὁ αἷμός ἐστιν καὶ ἡ ῥοδόπη καὶ ὁ ὄρβηλος τὰ ὄρη. ἡ

 δὲ δυ

Taulatij
Apollonia
Egnatia via
Milio
Cypseli
Ebrus fl
Ptolemaeus
Miliu quot stadia fit.
Dissensio inter Strabone & ptolemaeum
Lychnidium
Heraclea
Pylon
Lyncestae
Eordi
Edessa
Pella
Thessalonica
Hellas quae
Aegeum quod
Strymo fl
Thraciae termini

βεβηματισμένη
κατεστηλοθετημένη

Miliu quot stadia complectatur
f 8

δὲ δυσμικὴ πλευρά, ὁ στρυμὼν ποταμός ἐστιν.

ΟΤΙ τὸ μυρτῷον πέλαγος περιέχεται, ἀπὸ σουνίου ἕως κορίνθου, καὶ τοῦ σαρωνικοῦ κόλπου. εἶτα τῇ ἀνατολικῇ τῆς πελοποννήσου πλευρᾷ, ἕως μαλέας καὶ κυθήρων καὶ κρήτης τῶν βορείων μερῶν, ἐν ᾧ πελάγει, καὶ αἱ κυκλάδες εἰσίν.

ΟΤΙ ἡ δωδώνη, ἐν τῇ τῶν μολοττῶν χώρᾳ ἐστίν, τῶν ἐν ἠπείρῳ. ΟΤΙ ἀπὸ τῶν κεραυνίων ὀρέων καὶ χαόνων, ὁ ἐπὶ τὴν ἕω παράπλους, σταδίων ἐστὶν ͵ατ, ἕως τοῦ στόματος τοῦ ἀμβρακικοῦ κόλπου, ἔνθα καὶ ἡ ἤπειρος περατοῦται.

ΟΤΙ ἀπὸ κασσιόπης λιμένος τῆς ἐν κερκύρᾳ, ἕως βρεντεσίου, στάδια ͵αψ. ΟΤΙ τοῦ ἀμβρακικοῦ κόλπου, τὸ μὲν στόμα, σταδίων ἐστὶν δ. ὁ δὲ περίπλους, τ σταδίων ἐστίν. περιοικοῦσι δ' αὐτόν, ἀμφίλοχοι μὲν πρὸς βορρᾶν. ἀκαρνᾶνες δὲ πρὸς ἀνατολάς. κασσωπαῖοι δὲ καὶ νικόπολις αὐγούστου κτίσμα, πρὸς δυσμάς. ἐν δὲ τῷ μυχῷ τοῦ κόλπου, ἀμπρακία ἐστὶ πόλις, ἐξ ἧς ὁ κόλπος ὠνόμασται, ὀλίγον ἀπὸ θαλάσσης. ἣν πύρρος ὁ ἠπειρώτης ἐπίσημον ἐποίησεν, βασιλείῳ ταύτῃ χρησάμενος. κτίσμα δ' ἐστὶν, γόργου τοῦ κυψέλου παιδός, ἡ ἀμπρακία πόλις. ΟΤΙ τὰ ἄκτια πενταετηρικὸς ἀγών ἐστιν ἐν νικοπόλει. ἔνθα ὁ αὔγουστος ἀντώνιον καταναυμαχήσας περὶ τὸ ἄκτιον, τήν τε πόλιν ἐκάλεσεν νικόπολιν, καὶ περὶ τὸ ἄκτιον τὰ ἄκτια ἀγῶνα ἔθηκεν. ΟΤΙ μετὰ τὴν τῶν ἐπιγόνων εἰς θήβας στρατείαν, ἀλκμαίων παρακληθεὶς ὑπὸ διομήδους, συνῆλθεν εἰς αἰτωλίαν αὐτῷ, καὶ συγκατεκτήσαντο, ταύτην τε τὴν ἀμφιλοχίαν, καὶ τὴν αἰτωλίαν, καὶ τὴν ἀκαρνανίαν. καλοῦντος δ' αὐτοὺς ἐπὶ τὸν τρωϊκὸν πόλεμον ἀγαμέμνονος, ὁ μὲν διομήδης ἐπορεύθη. ὁ δὲ ἀλκμαίων, μείνας ἐν τῇ ἀκαρνανίᾳ, τὸ ἄργος ἔκτισεν, καλέσας ἀμφιλοχικὸν ἐπώνυμον τοῦ ἀδελφοῦ. ἴναχον δέ, τὸν διὰ τῆς χώρας ῥέοντα ποταμὸν εἰς τὸν κόλπον, ἀπὸ τοῦ κατὰ τὴν ἀργείαν προσηγόρευσεν. ΟΤΙ πλησίον τῆς τε μακεδονίας καὶ τῆς θετταλίας, περὶ τὸ πίνδον ὄρος καὶ τὴν πίν-

δον





δον, αἴθικές τε καὶ αἱ τοῦ πηνειοῦ πηγαί. τὸ δὲ ἐν δωδώνῃ μαντεῖον, ἐν τῇ θεσπρωτίᾳ ἐστίν. καὶ οἱ ποιηταί, θεσπρωτίδα τὴν δωδώνην ἔφασαν. κεῖται δὲ ὑπὸ τῷ τομάρῳ ὄρει, καὶ ἀπὸ τοῦ τομάρου ὄρους, καὶ οἱ τοῦ διὸς ὑποφῆται ἀνιπτόποδες, τόμουροι ἐκαλοῦντο. ἐν συγκοπῇ ἀπὸ τοῦ τομάρουροι. ὡς ἂν τοῦ τομάρου φύλακες. καὶ τὸ ἐν τῇ ὀδυσσείᾳ ὑπὸ ἀμφινόμου λεγόμενον.

εἰ μέν κ' αἰνήσωσι διὸς μεγάλοιο θέμιστες,
εἰ μέν κ' αἰνήσωσι διὸς μεγάλοιο τόμουροι.

οὐδαμοῦ γὰρ τὰ μαντεῖα θέμιστας καλεῖ ὅμηρος, ἀλλ' ἐπὶ τῶν πολιτικῶν καὶ νομίμων ἐθῶν εἴωθεν καλεῖν τὸ θέμιστας. πρότερον μὲν ὑπὸ ἀνδρῶν προφητῶν ἐκρατεῖτο. ὕστερον δὲ ὑπὸ τριῶν γυναικῶν γραιῶν. ἦν δὲ πρότερον, περὶ σκότουσαν πόλιν τῆς πελασγιώτιδος τὸ χρηστήριον. ἐμπρησθέντος δ' ὑπό τινων τοῦ δένδρου, μετηνέχθη κατὰ χρησμὸν τοῦ ἀπόλλωνος ἐν δωδώνῃ. ἐχρησμῴδει δ' οὐ διὰ λόγων, ἀλλὰ διά τινων συμβόλων, ὥσπερ τὸ ἐν λιβύῃ ἀμμωνιακόν. ἴσως δέ τινα πτῆσιν αἱ τρεῖς περιστεραὶ ἐπέτοντο ἐξαίρετον, ἐξ ὧν αἱ ἱέρειαι παρατηρούμεναι προεθέσπιζον. φασὶν δὲ καὶ κατὰ τὴν τῶν μολοττῶν καὶ θεσπρωτῶν γλῶτταν, τὰς γραίας πελίας καλεῖσθαι, καὶ τοὺς γέροντας πελίους. καὶ ἴσως οὐκ ὄρνεα ἦσαν αἱ θρυλούμεναι πελειάδες, ἀλλὰ γυναῖκες γραῖαι τρεῖς, περὶ τὸ ἱερὸν σχολάζουσαι.

ΟΤΙ ἡ παροιμία τὸ ἐν δωδώνῃ χαλκεῖον, ἐντεῦθεν ὠνομάσθη. χαλκεῖον ἦν ἐν τῷ ἱερῷ, ἔχον ὑποκείμενον ἀνδριάντα, κρατοῦντα μάστιγα χαλκῆν, ἀνάθημα κορκυραίων. ἡ δὲ μάστιξ, ἦν τριπλῆ ἁλυσιδωτή, ἀπηρτημένους ἔχουσα ἐξ αὐτῆς ἀστραγάλους. οἳ πλήττοντες τὸ χαλκεῖον συνεχῶς ὁπότε αἰωροῖντο ὑπὸ τῶν ἀνέμων, μακροὺς ἤχους ἀπειργάζοντο. ἕως ὁ μετρῶν τὸν χρόνον ἀπὸ τῆς ἀρχῆς τοῦ ἤχου μέχρι τέλους, καὶ ἐπὶ υ προελθεῖν. ὅθεν καὶ ἡ παροιμία ἐλέχθη, ἡ κορκυραίων μάστιξ.

ΟΤΙ ἡ κόρκυρα, τὸ παλαιὸν εὐτυχὴς ἦν, καὶ δύναμιν ναυτικὴν πλείστην εἶχεν, ἀλλ' ὑπὸ πολέμων τινῶν καὶ τυράννων, ἐφθά-

Marginalia (p. 126): Myrtou mare quos term. ht · Saronicus sin? · Cyclades in myrtoo mari · Cassiope Cercyrae portus · Amphilochi · Acarnanes · Cassopaei · Nicopolis · Ambracia · Actiaci ludi · Actiū pmō · Epigoni cōtra the · Alcmaeo · Argos amphilochicō V. acarn. · Inach? fl. acarn. · Pyrrhus nobilitauit ambraciam regia illa usus.

Marginalia (p. 127): Penei fl. fon · Aethices · Dodoneū ora · Tomarus M. · Tomuri sacerdotes · Homer? · θέμιστες qd apud home · Scotussa V. · Columbae dod · Paroemia · ἐν Δωδώνῃ χαλκεῖον · Κερκυραίων μάστιξ

ἐφθάρη. καὶ ὕστερον ὑπὸ ῥωμαίων ἐλευθερωθεῖσα, οὐκ ἐπῃνέθη. ἀλλ' ἐπὶ λοιδορίᾳ, παροιμίαν ἔλαβεν. ἐλευθέρα κόρκυρα χέζε ὅπου θέλεις. ΟΤΙ ἡ μακεδονία περιορίζεται. ἐκ μὲν δυσμῶν, τῇ παραλίᾳ τοῦ ἀδρίου. ἐξ ἀνατολῶν δὲ τῇ παραλλήλῳ ταύτης μεσημβρινῇ γραμμῇ, τῇ διὰ τῶν ἐκβολῶν ἕβρου ποταμοῦ καὶ κυψέλων πόλεως. ἐκ βορρᾶ δὲ, τῇ νοουμένῃ εὐθείᾳ γραμμῇ, τῇ διὰ βερτίσκου ὄρους, καὶ σκάρδου, καὶ ὀρβήλου, καὶ ῥοδόπης, καὶ αἵμου. τὰ γὰρ ὄρη ταῦτα, ἀρχόμενα ἀπὸ τοῦ ἀδρίου, διήκει κατὰ εὐθεῖαν γραμμὴν ἕως τοῦ εὐξείνου, ποιοῦντα χερρόνησον μεγάλην πρὸς νότον, τήν τε θρᾴκην ὁμοῦ καὶ μακεδονίαν καὶ ἤπειρον καὶ ἀχαΐαν. ἐκ νότου δὲ, τῇ ἐγνατίᾳ ὁδῷ, ἀπὸ δυρραχίου πόλεως πρὸς ἀνατολὰς ἰούσῃ, ἕως θεσσαλονικείας. καὶ ἔστιν τὸ σχῆμα τοῦτο τῆς μακεδονίας, παραλληλόγραμμον ἔγγιστα.

ΟΤΙ ὁ πηνειὸς ποταμὸς ῥέων διὰ τῶν τεμπῶν καὶ ἀρχόμενος ἀπὸ τοῦ πίνδου ὄρους, καὶ διὰ μέσης θεσσαλίας καὶ τῶν λαπιθῶν καὶ περραιβῶν, δεχόμενός τε τὸν εὐρώπον ποταμὸν ὃν ὅμηρος τιταρήσιον ὠνόμασεν, διορίζει μακεδονίαν μὲν, πρὸς βορρᾶν. θεσσαλίαν δὲ πρὸς νότον. αἱ δὲ τοῦ εὐρώπου ποταμοῦ πηγαί, ἐκ τοῦ τιταρίου ὄρους ἄρχονται, ὅ ἐστιν συνεχὲς τῷ ὀλύμπῳ. καὶ ἔστιν ὁ μὲν ὄλυμπος, τῆς μακεδονίας. ἡ δὲ ὄσσα, τῆς θεσσαλίας, καὶ τὸ πήλιον. ΟΤΙ ὑπὸ ταῖς ὑπωρείαις τοῦ ὀλύμπου, παρὰ τὸν πηνειὸν ποταμὸν, γυρτὼν ἐστὶ πόλις περραιβικὴ καὶ μαγνῆτις. ἐν ᾗ πειρίθους τε καὶ ἰξίων ἦρξαν. ἀπέχει δ' ἡ γυρτὼν τῆς τύρρωος, πόλεως κραννῶν. καὶ φασὶν ὅταν εἴπῃ ὁ ποιητής. τὼ μὲν ἄρ ἐκ θρῄκης, ἐφύρους μὲν λέγεσθαι τοὺς κραννωνίους. φλεγύας δὲ τοὺς γυρτωνίους.

ΟΤΙ τὸ δῖον ἡ πόλις οὐκ ἐν τῷ αἰγιαλῷ τοῦ θερμαίου κόλπου ἐστὶν, ἐν ταῖς ὑπωρείαις τοῦ ὀλύμπου, ἀλλ' ὅσον ζ ἀπέχει σταδίους. ἔχει δ' ἡ πόλις τὸ δῖον, κώμην πλησίον, πίμπλειαν. ἔνθα ὀρφεὺς διέτριβεν. ΟΤΙ τὸ παλαιὸν οἱ μάντεις, καὶ μουσικὴν εἰργάζοντο. ΟΤΙ μετὰ τὸ δῖον πόλιν, ὁ ἁ-

λιά-

ἐλευθέρα κόρκυρα χέζε ὅπου θέλεις

Macedoniae termini

Cypsela

Egnatia uia

Peneus · fl.

Lapithae

Peraebi

Europus · fl. ab homero uocatus titaresius

Citariu(m) · M.

Olympus, Ossa, Pelius · M.

Gyrto · V.

Crannonij, Ephyri idē

Gyrtonij, Phlegyes idē

Dium

ἐλευθέρα κόρκυρα χέζε ὅπου θέλεις

Amphaxitis est propior ... ergo Bottiaea thessaliae propior



λιάκμων ποταμός ἐστιν, ἐκβάλλων εἰς τὸν θερμαῖον κόλπον. καὶ τὸ ἀπὸ τούτου, ἡ πρὸς βορρᾶν τοῦ κόλπου παραλία, πιερία καλεῖται. ἕως τοῦ ἀξιοῦ ποταμοῦ. ἐν ᾗ καὶ πόλις πύδνα ἣ νῦν κίτρον καλεῖται. εἶτα μεθώνη καὶ ἄλωρος πόλις. εἶτα ἐρίγων καὶ λουδίας ποταμοί. ἀπὸ δὲ λουδίου, εἰς πέλλαν πόλιν ἀνάπλους, στάδια ρκ. ἀπέχει δ' ἡ μεθώνη τῆς μὲν πύδνης, στάδια μ. τῆς ἀλώρου δὲ, ο στάδια. ἡ μὲν οὖν πύδνα, πιερική ἐστιν πόλις. ἡ δὲ ἄλωρος, βοττιαϊκή. ἐν μὲν οὖν τῷ πρὸ τῆς πύδνης πεδίῳ, ῥωμαῖοι περσέα καταπολεμήσαντες, καθεῖλον τὴν τῶν μακεδόνων βασιλείαν. ἐν δὲ τῷ πρὸ τῆς μεθώνης πεδίῳ, γενέσθαι συνέβη φιλίππῳ τῷ ἀμύντου τὴν ἐκκοπὴν τοῦ δεξιοῦ ὀφθαλμοῦ καταπελτικῷ βέλει, κατὰ τὴν πολιορκίαν τῆς πόλεως.

ΟΤΙ τὴν πέλλαν οὖσαν μικρὰν πρότερον, φίλιππος εἰς μῆκος ηὔξησε τραφεὶς ἐν αὐτῇ. ἔχει δὲ λίμνην πρὸ αὐτῆς, ἐξ ἧς ὁ λουδίας ποταμὸς ῥεῖ. τὴν δὲ λίμνην, πληροῖ τοῦ ἀξιοῦ τι ποταμοῦ ἀπόσπασμα. εἶτα ὁ ἀξιός, διαιρῶν τήν τε βοττιαίαν καὶ τὴν ἀμφαξῖτιν γῆν. καὶ παραλαβὼν τὸν ἐρίγωνα ποταμὸν, ἐξίησι μεταξὺ χαλέστρας καὶ θέρμης. ἐπίκειται δὲ τῷ ἀξιῷ ποταμῷ χωρίον ὅπερ ὅμηρος ἀμυδῶνα καλεῖ. καί φησιν τοὺς παίονας ἐντεῦθεν εἰς τροίαν ἐπικούρους ἐλθεῖν.

τηλόθεν ἐξ ἀμυδῶνος ἀπ' ἀξιοῦ εὐρὺ ῥέοντος.

ἀλλ' ἐπεὶ ὁ μὲν ἀξιὸς θολερός ἐστιν, κρήνη δέ τις ἐξ ἀμυδῶνος ἀνίσχουσα καὶ ἐπιμιγνυμένη αὐτῷ καλλίστου ὕδατος, διὰ τοῦτο τὸν ἑξῆς στίχον,

ἀξιοῦ οὗ κάλλιστον ὕδωρ ἐπικίδναται αἶαν.

μεταγράφουσιν οὕτως.

ἀξιοῦ ᾧ κάλλιστον ὕδωρ ἐπικίδναται αἴης.

οὐ γὰρ τὸ τοῦ ἀξιοῦ ὕδωρ κάλλιστον, τῆς γῆς τῇ ὄψει κίδναται, ἀλλὰ τῆς γῆς τῷ ἀξιῷ. ΟΤΙ μετὰ τὸν ἀξιὸν ποταμὸν, ἡ θεσσαλονίκη ἐστὶν πόλις, ἣ πρότερον θέρμη ἐκαλεῖτο. κτίσμα δ' ἐστὶν, κασσάνδρου. ὃς ἐπὶ τῷ ὀνόματι τῆς ἑαυτοῦ γυναικὸς, παι-

r δός

Haliacmo · fl

Pieria

Axius · fl.

Pydna · V.

Citro

Methone · V.

Alor

Erigo, Ludias · fl

Pella · V.

Bottiaea

Amphaxitis

Hom. Chalestra

Therma

Amydo hom

Homer

Thessalonica

Therme

Cassander

Therme · V. unde thermaic(us) sinus puto.

Homeri locus insignis & notandus

Philipp' | Chalastra | Aenea | Cissos | Homer | Beroea V. | Bermius M. | Pallene cherron. | Potidaea | Cassandrea | Phlegra | Idem | Gigantes | Aphytis | Mende | Scione | Sane | Olynthus | Mecyperna | Torone | Sinus | Cantharolethro | Canastro prom. | Derrhis prom. | Cophos portus | Toronaeus sinus | Atho | Aegei sinus | Maliacus | Singiticus | Pagasiticus | Strymonicus | Thermaeus

λὸς δὲ φιλίππου τοῦ ἀμύντου, ὠνόμασεν. μετῴκισεν δὲ τὰ πέριξ πολίχνια εἰς αὐτήν. οἷον χαλάστραν, αἰνέαν, κισσόν, καί τινα καὶ ἄλλα. ἐκ δὲ τοῦ κισσοῦ τούτου, ὑπονοήσειεν ἄν τις γενέσθαι, καὶ τὸν παρ᾽ ὁμήρῳ ἀμφιδάμαντα, οὗ ὁ πάππος κισσεὺς ἔθρεψεν αὐτὸν, φησὶν ἐν θρήκῃ, ἣ νῦν μακεδονία καλεῖται.

ΟΤΙ ἡ βέρροια πόλις, ἐν ταῖς ὑπωρείαις κεῖται τοῦ βερμίου ὄρους. ΟΤΙ ἡ παλλήνη, χερρόνησος. ἧς ἐν τῷ ἰσθμῷ κεῖται, ἡ πρὶν μὲν ποτίδαια, νῦν δὲ κασσάνδρεια, φλέγρα τὸ πρὶν ἐκαλεῖτο. ᾤκουν δ᾽ αὐτὴν οἱ μυθευόμενοι γίγαντες, ἔθνος ἀσεβὲς καὶ ἄνομον. οὓς ἡρακλῆς διέφθειρεν. ἔχει δὲ πόλεις δ΄, ἄφυτιν, μένδην, σκιώνην, σάνην. ΟΤΙ τῆς ὀλύνθου ἐπίνειόν ἐστιν, μηκύπερνα ἐν τῷ τορωναίῳ κόλπῳ.

ΟΤΙ πλησίον ὀλύνθου, χωρίον ἐστὶν κοῖλον καλούμενον κανθαρώλεθρον, ἐκ τοῦ συμβεβηκότος. τὸ γὰρ ζῷον ὁ κάνθαρος πέριξ τῆς χώρας γινόμενος, ἡνίκα ψαύσῃ τοῦ χωρίου ἐκείνου, διαφθείρεται. ΟΤΙ ἀντικρὺ κανάστρου ἄκρου τῆς παλλήνης, ἡ δέρρις ἐστὶν ἄκρα, πλησίον κωφοῦ λιμένος, καὶ ὁ τορωναῖος κόλπος, ὑπὸ τούτων ἀφορίζεται. καὶ πρὸς ἀνατολὰς αὖθις κεῖται τὸ ἄκρον τοῦ ἄθωνος, ὃ ἀφορίζει τὸν σιγγιτικὸν κόλπον, ὥς εἶναι ἐφεξῆς κόλπους τοῦ αἰγαίου πελάγους πρὸς βορρᾶν, ἀλλήλων ἀπέχοντας οὕτως, μαλιακόν, παγασιτικόν, θερμαῖον, τορωναῖον, σιγγιτικόν, στρυμονικόν. τὰ δὲ ἄκρα, ποσείδιον μὲν, τὸ μεταξὺ μαλιακοῦ καὶ παγασιτικοῦ. τὸ δὲ ἐφεξῆς πρὸς βορρᾶν, σηπιάς. εἶτα, τὸ ἐν παλλήνῃ κάναστρον. εἶτα δέρρις. εἶτα, νυμφαῖον ἐν τῷ ἄθωνι, πρὸς τῷ συγγιτικῷ. τὸ δὲ πρὸς τῷ στρυμονικῷ, ἀκρόαθως ἄκρον. ὧν μεταξὺ, ὁ ἄθων. οὗ πρὸς ἀνατολὰς, ἡ λῆμνος. πρὸς δὲ βορρᾶν ἀφορίζει τὸν στρυμονικὸν κόλπον, ἡ νεάπολις. ΟΤΙ ἄκανθος πόλις ἐν τῷ σιγγικῷ κόλπῳ ἐστὶν παράλιος, πλησίον τῆς τοῦ ξέρξου διώρυχος. ἔχει δ᾽ ὁ ἄθως, ε΄ πόλεις, δῖον, κλεωνάς, θύσσαν, ὀλόφυξιν, ἀκροαθώους. αὕτη δὲ, πρὸς τῇ κορυφῇ τοῦ ἄθωνος κεῖται. ἔστιν δ᾽ ὁ ἄθως, ὄρος μαστοειδὲς

Promo. | Posidio | Sepias | Canastro | Derrhis | Nympheo | Acrathos

Lemnus ins. | Neapolis | Acanthus V. | Xerxis fossa | Dio | Cleonae | Thyssa



δὲς. ὀξύτατον. ὑψηλότατον. οὗ οἱ τὴν κορυφὴν οἰκοῦντες, ὁρῶσι τὸν ἥλιον ἀνατέλλοντα, πρὸ ὡρῶν γ΄ τῆς ἐν τῇ παραλίᾳ ἀνατολῆς. καὶ ἔστιν ἀπὸ πόλεως τῆς ἀκάνθου ὁ περίπλους τῆς χερρονήσου, ἕως σταγείρου πόλεως τοῦ ἀριστοτέλους, στάδια υ΄. ἐν ᾗ λιμὴν ὄνομα κάπρος, καὶ νησίον ὁμώνυμον τῷ λιμένι. εἶτα αἱ τοῦ στρυμόνος ἐκβολαί. εἶτα φάγρης, γαληψός, ἀπολλωνία, πᾶσαι πόλεις. εἶτα τὸ νέστου στόμα, τοῦ διορίζοντος μακεδονίαν καὶ θρᾴκην, ὡς φίλιππος καὶ ἀλέξανδρος ὁ τούτου παῖς διώριζον, ἐν τοῖς κατ᾽ αὐτοὺς χρόνοις. εἰσὶν δὲ περὶ τὸν στρυμονικὸν κόλπον πόλεις καὶ ἕτεραι. οἷον μύρκινος, ἄργιλος, δραβίσκος, δάτον. ὅπερ καὶ ἀρίστην ἔχει χώραν καὶ εὔκαρπον, καὶ ναυπηγία, καὶ χρυσοῦ μέταλλα. ἀφ᾽ οὗ καὶ παροιμία δάτον ἀγαθόν, ὡς καὶ ἀγαθῶν ἀγαθίδες. ΟΤΙ πλεῖστα μέταλλα ἐστὶν χρυσοῦ ἐν ταῖς κρηνίσιν, ὅπου νῦν οἱ φίλιπποι πόλις ἵδρυται, πλησίον τοῦ παγγαίου ὄρους. καὶ αὐτὸ δὲ τὸ παγγαῖον ὄρος, χρύσεια καὶ ἀργύρεια ἔχει μέταλλα, καὶ ἡ πέραν, καὶ ἡ ἐντὸς τοῦ στρυμόνος ποταμοῦ, μέχρι παιονίας. φασὶν δὲ καὶ τοὺς τὴν παιονίαν γῆν ἀροῦντας, εὑρίσκειν χρυσοῦ τινα μόρια.

ΟΤΙ ὁ στρυμὼν ποταμὸς, ἄρχεται ἐκ τῶν περὶ τὴν ῥοδόπην ἀγριάνων. ΟΤΙ ὁ παρ᾽ ὁμήρῳ ἀστεροπαῖος υἱὸς πηλεγόνος, ἐκ παιονίας ὢν τῆς ἐν μακεδονίᾳ ἱστορεῖται. διὸ καὶ πηλεγόνος υἱός. οἱ γὰρ παίονες, πελαγόνες ἐκαλοῦντο.

ΟΤΙ ἡ νῦν φίλιπποι πόλις κρηνίδες ἐκαλοῦντο, τὸ παλαιόν. ΟΤΙ σίντοι ἔθνος θρακικὸν, κατῴκει τὴν λῆμνον νῆσον. ὅθεν ὅμηρος σίντιας αὐτοὺς καλεῖ, λέγων, ἔνθα με σίντιες ἄνδρες. ΟΤΙ μετὰ τὸν νέστον ποταμὸν πρὸς ἀνατολὰς, ἄβδηρα πόλις ἐπώνυμος ἀβδήρου. ὃν οἱ τοῦ διομήδους ἵπποι ἔφαγον. εἶτα, δικαία πόλις πλησίον, ἣ ὑπέρκειται λίμνη μεγάλη ἡ βιστονίς. εἶτα, πόλις μαρώνεια. ΟΤΙ ὁ νῦν ποταμὸς ῥιγινία ἐν θρᾴκῃ καλούμενος, ἐρίγων κῶ καλούμενος.

ΟΤΙ τὴν σαμοθρᾴκην, ἰασίων καὶ δάρδανος ἀδελφοὶ



δάτον ἀγαθόν

ἀγαθῶν ἀγαθίδες

Athos M. | Stagiro V. | Capros por. & insula | Phagres | Galepsus | Apollonia | Nessi fl. ost. | Myrcinus | Argilus | Drabiscus | Dato | Philippi V. | Pangaeus M. | Agriam | Paeonia macedoniae | Hom. | Paeones | Pelagones | Philippi | Crenides | Sinti | Lemnus | Sinties | Abdera V. | Dicaea | Bistonis pal. | Maronea V.

ᾤκουν. κεραυνωθέντος δὲ Ἰασίωνος διὰ τὴν εἰς Δήμητρα ἁμαρτίαν, ὁ Δάρδανος ἀπάρας ἐκ Σαμοθράκης, ἐλθὼν ᾤκησεν ἐν τῇ ὑπωρείᾳ τῆς Ἴδης, τὴν πόλιν Δαρδανίαν καλέσας. καὶ ἐδίδαξεν τοὺς Τρῶας τὰ ἐν Σαμοθράκῃ μυστήρια. ἐκαλεῖτο δὲ ἡ Σαμοθράκη, Σάμος πρίν. ΟΤΙ ἡ ἐν Θράκῃ Χερρόνησος, τρεῖς ποιεῖ θαλάσσας. τὴν Προποντίδα, ἐκ Βορρᾶ. Ἑλλήσποντον, ἐξ ἀνατολῶν. καὶ τὸν Μέλανα κόλπον, ἐκ νότου. ὅπου καὶ ὁ Μέλας ποταμὸς βάλλει, ὁμώνυμος τῷ κόλπῳ. ΟΤΙ ἐν τῷ ἰσθμῷ τῆς Χερσονήσου τρεῖς πόλεις κεῖνται. πρὸς μὲν τῷ Μέλανι κόλπῳ, Καρδία. πρὸς δὲ τῇ Προποντίδι, Πακτύη. πρὸς δὲ τῇ μεσογαίᾳ, Λυσιμαχία. μῆκος τοῦ ἰσθμοῦ στάδια μ.

ΟΤΙ ἡ πόλις ὁ Ἐλεοῦς, ἀρσενικῶς λέγεται. τάχα δὲ καὶ ὁ Τραπεζοῦς. ΟΤΙ ἡ ἅπασα Ἑλλάς, χερρονήσοις ὁρίζεται. ὧν πρώτη ἡ Πελοπόννησος ἰσθμῷ κλειομένη μ σταδίων. δευτέρα δὲ ἡ καὶ ταύτην περιέχουσα ἧς ἰσθμός ἐστιν, ὁ ἐκ Παγῶν τῶν Μεγαρικῶν, εἰς Νισαίαν τὸ Μεγαρέων ἐπίνειον. ὑπερβολὴ σταδίων ρκ ἀπὸ θαλάττης τῆς Κορινθίας, ἐπὶ θάλατταν τὴν Σαρωνικήν. τρίτη δ' ἡ καὶ ταύτην περιέχουσα, ἀπὸ τοῦ μυχοῦ τοῦ Κρισαίου κόλπου, μέχρι Θερμοπυλῶν, ἡ ἐπινοουμένη εὐθεῖα γραμμὴ ὅσον φη σταδίων. τὴν μὲν Βοιωτίαν ἅπασαν ἐντὸς ἀπολαμβάνουσα. τὴν δὲ Φωκίδα τέμνουσα λοξήν, καὶ τοὺς Ἐπικνημιδίους Λοκρούς. τετάρτη δ' ἡ ἀπὸ τοῦ Ἀμβρακικοῦ κόλπου διὰ τῆς Οἴτης καὶ τῆς Τραχινίας, εἰς τὸν Μαλιακὸν κόλπον καθήκοντα ἔχουσα τὸν ἰσθμὸν καὶ τὰς Θερμοπύλας ὅσον ω ὄντα σταδίων. πλειόνων δὲ ἢ ͵α ἄλλος ἐστίν, ἀπὸ τοῦ αὐτοῦ κόλπου τοῦ Ἀμβρακικοῦ, διὰ Θετταλῶν καὶ Μακεδόνων, εἰς τὸν Θερμαῖον διήκων μυχόν. ΟΤΙ ὁ Πύλος, ἔστιν μὲν καὶ πόλις.

οἳ δὲ Πύλον Νηλῆος ἐϋκτίμενον πτολίεθρον.

ἔστιν δὲ καὶ ἡ χώρα. ὅς τ' εὐρὺ ῥέει Πυλίων διὰ γαίης.

περὶ δὲ τὴν πόλιν τὴν Πύλον ῥεῖ ποταμὸς Ἄμαθος καλούμενος. ὅθεν τό, Πύλοιο ἄναξ ἦν ἠμαθόεντος.

ἡ δὲ

*Margin notes (manuscript): Jasio fulminatus · Dardan · Dardania V. · Samothracia · Samos · Melas fl. · Melan. sinus · Cardia · Pactya · Lysimachia · Quod uniuersa graecia cherronesis distinguitur · Eleus, Trapezus Masculi generis · Pylos V. · Hom · Amathus fl. · Homerus · Eleus — Mas. gene. Trapezus*



Ἦλις, ἡ χώρα ἐστίν. οὔπω γὰρ ἦν ἐπὶ τῶν Ὁμήρου χρόνων, ἡ νῦν Ἦλις πόλις κτισθεῖσα. ΟΤΙ Τριφυλία ἡ περὶ τὴν Ἦλιν χώρα ἐκλήθη, διὰ τὰ τρία γένη. τό, τε τῶν ἀπ' ἀρχῆς Ἐπειῶν κατασχόντων τὴν χώραν. καὶ τὸ τῶν ἐποικησάντων Μινυῶν. καὶ τρίτον, τὸ τῶν Ἠλείων, τῶν ὕστατα ἐπικρατησάντων.

ΟΤΙ Κυλλήνη ἐπίνειόν ἐστιν Ἠλείων ἀπέχουσα τῆς Ἤλιδος πόλεως στάδια ρκ. μέμνηται δὲ τῆς Κυλλήνης ταύτης, καὶ Ὅμηρος λέγων. Ὦτον Κυλλήνιον ἀρχὸν Ἐπειῶν.

οὐ γὰρ ἀπὸ τοῦ Ἀρκαδικοῦ ὄρους ὄντα, ἤμελλεν ἡγεμόνα τῶν Ἐπειῶν ἀποφῆναι. ΟΤΙ μετὰ τὴν Κυλλήνην πρὸς νότον, ὁ Σελλήεις ἐστὶν ποταμός, ῥέων ἐκ Φολόης διὰ πόλεως Ἐφύρας, ἑτέρας οὔσης τῆς Θετταλικῆς, καὶ τῆς Θεσπρωτικῆς, καὶ τῆς Κορίνθου. καὶ περὶ ταύτης λέγει Ὅμηρος,

τὴν ἄγετ' ἐξ Ἐφύρης ποταμοῦ ἄπο Σελλήεντος.

ἐκεῖ δὲ καὶ ὁ Ὀδυσσεὺς ᾤχετο, φάρμακον ἀνδροφόνον διζήμενος.

καὶ δὴ καὶ περὶ ταύτης λέγουσιν οἱ μνηστῆρες.

ἠὲ καὶ εἰς Ἐφύρην ἔλθοι πίειραν ἄρουραν,
ὄφρ' ἔνθεν θυμοφθόρα φάρμακ' ἐνείκῃ.

ἐκεῖθεν ἦν καὶ ἡ τοῦ Αὐγείου θυγάτηρ,

ἣ τόσα φάρμακα ᾔδει ὅσα τρέφει εὐρεῖα χθών.

περὶ δὲ αὐτοῦ, καὶ ὁ Μήνιος ποταμός ἐστιν. εἶτα ἡ Χελωνάτις ἄκρα πρὸς νότον. καὶ Πύλος, ἕτερος τοῦ Μεσσηνιακοῦ τοῦ Νέστορα θρέψαντος. τρεῖς γάρ εἰσιν Πύλοι, ὡς καὶ τὸ ἔπος δηλοῖ.

ἔστι Πύλος πρὸ Πύλοιο, Πύλος γε μέν ἐστι καὶ ἄλλος.

ὅ, τε Μεσσηνιακός, καὶ ὁ τῆς Ἤλιδος, καὶ ὁ Τριφυλιακός.

ΟΤΙ εἴωθεν Ὅμηρος, τὰ μέρη, πολλάκις τοῖς ὅλοις συναριθμεῖν. οἷον ἀν' Ἑλλάδα καὶ μέσον Ἄργος. καὶ ἀν' Ἑλλάδα Φθίην τε. καὶ οἱ δ' ἐκ Δουλιχίοιο Ἐχινάων θ' ἱεράων. καὶ Κουρῆτές τ' ἐμάχοντο καὶ Αἰτωλοί. τοιοῦτόν ἐστιν καὶ τὸ οἳ δ' ἄρα Βουπράσιόν τε καὶ Ἤλιδα δῖαν ἔναιον. τὸ γὰρ Βουπράσιον, μέρος ἐστὶν τῆς Ἤλιδος μοίρας. ΟΤΙ ἔστιν τις ποταμὸς

r 3 ἀχε-

*Margin notes (manuscript): Elis regio apud homerum non V. · Triphylia · Apees Epei · Minyae · Elei · Cyllene · Selleis fl. · Pholoe M. · Ephyra · Hom · Hom · Hom. · Menius fl · Chelonetis prom. · Pylos · Pyli urbes 3 · Buprasio · Homeri loc · Homeri mos*

ἀχελῷος, περὶ δύμην πόλιν τῆς ἤλιδος, ὁμώνυμος τῷ κατὰ τὴν ἀκαρνανίαν ποταμῷ, ἀχελώῳ καλουμένῳ.

ΟΤΙ ἀπὸ φειᾶς πόλεως τῆς ἐν ἤλιδι ἕως ὀλυμπίας, ἀπὸ θαλάσσης ἄνοδος στάδιοι ρκ΄ τὸ ἐγγυτάτω.

ΟΤΙ ἀπὸ τοῦ αὐτοῦ τόπου ἄρχεται εὐρώτας τε καὶ ἀλφειός, ἐξ ἀσέας κώμης τῆς μεγαλοπολιτιδος. διέχοντες δὲ ἀλλήλων συχνοὺς σταδίους, ἀνατέλλουσι πάλιν. καὶ ὁ μὲν εἰς τὴν λακωνικήν, ὁ δὲ εἰς τὴν πισάτιν κατάγεται. ΟΤΙ ὁ ἀλφειὸς ποταμός, παραλαβὼν τόν τε κελάδοντα καὶ ἐρύμανθον καὶ ἄλλους ποταμούς, καὶ διελθὼν παρὰ τὴν ὀλυμπίαν, ἐκβάλλει εἰς τὴν σικελικὴν θάλασσαν. ΟΤΙ πρὸς ἀνατολὰς τοῦ πύλου ἠμαθόεντος, ὄρος ἐστὶν καλούμενον μίνθη. φασὶ δὲ τὴν μίνθην, παλλακίδα οὖσαν τοῦ ἅδου πρίν, ἀπατηθεῖσαν μὲν ὑπὸ τῆς κόρης, μεταμορφωθεῖσαν δὲ εἰς τὸ φυτὸν τὴν μίνθην, ὅπερ ἐστὶ τὸ ἡδύοσμον. ΟΤΙ ὁ πρὸ τοῦ πύλου αἰγιαλός, θινώδης ἐστὶ καὶ ξηρός, ὅθεν ἠμαθόεις ὁ πύλος. ΟΤΙ λέπρεον, πόλις τῆς μεσσηνίας, ἀφ᾽ οὗ ὁ ἠμαθόεις πύλος λεπρεάτης.

ΟΤΙ ἔνθα ὁ τηλέμαχος κατέλαβεν τὸν νέστορα θύοντα, τὸ ἱερόν ἐστι τοῦ σαμίου ποσειδῶνος. ἡ δὲ σάμος, κώμη ἐστὶ τῆς μεσσηνίας. ΟΤΙ τὴν θρυόεσσαν πόλιν αἰπεῖαν κολώνην, καὶ θρύον ἀλφειοῖο πόρον, τὴν αὐτὴν λέγει εἶναι ὅμηρος. καὶ γὰρ ἐκεῖ, πορεύσιμος γίνεται ὁ ἀλφειὸς ποταμός. ἀλφειὸς δὲ ὠνόμασται, διὰ τὸ δύναμιν ἔχειν τοὺς ἀλφοὺς ἰᾶσθαι.

ΟΤΙ ἡ οἰχαλία πόλις ἡ τοῦ εὐρύτου οἰχαλιέως, ἡ νῦν καλουμένη ἀνδανία, πολίχνιον ἀρκαδικόν, ὁμώνυμον τῷ θετταλικῷ καὶ τῷ εὐβοϊκῷ. ΟΤΙ οἱ μὲν ἄλλοι πύλοι, παραθαλάσσιοί εἰσιν. ὁ δὲ τοῦ νέστορος ὁ τριφυλιακὸς καὶ ἀρκαδικὸς καὶ λεπρεατικός, ὑπὲρ τοὺς λ΄ σταδίους τῆς θαλάσσης ἀπέχει, ὡς δηλοῖ ὁ πεισίστρατος καὶ ὁ τηλέμαχος, μὴ εἰσελθόντων εἰς τὴν πόλιν μετὰ τοῦ ἅρματος, ἀλλὰ παραλλαξάντων.

ΟΤΙ ὁ τηλέμαχος ὑφορώμενος τὴν τῶν μνηστήρων ἐνέδραν,

ἔπλεεν

Achelo? ... dyme · Phia · Asea vicus · Celado. Erymanthus fl. · Minthe. M. & fabula de herba · Lepreo · Pylos lepreats · Samij nept. t. · Samos vicus · Thryoessa. V. · Αἰπὺ καὶ κολώνην · Θρύον. Thryo · Alpheus Homer unde. · Oechalia · Andania · Pylus nestoris mediterranea



ἔπλεεν. πρῶτον μὲν πρὸς βορρᾶν, ἕως ἤλιδος. εἶτα ἐκεῖθεν διὰ τῶν ἐχινάδων νήσων, ἕως τοῦ ἀμβρακικοῦ κόλπου, πορευθεὶς πρὸς ἀνατολάς. ἐκεῖθεν αὖθις ἔκαμψεν πρὸς νότον, καὶ παρήλλαξεν τὴν ἐνέδραν.

ΟΤΙ ὁ ἐν ὀλυμπίᾳ ζεὺς μέγιστος ἐλεφάντινος, ἔργον φειδίου τοῦ χαρμίδου ἀθηναίου θαυμασιώτατον. ἐποίησεν δ᾽ αὐτὸν ὁ φειδίας ὡς ἔλεγεν, πρὸς τὸ παρ᾽ ὁμήρῳ παράδειγμα τό,

ἦ καὶ κυανέῃσιν ἐπ᾽ ὀφρύσι νεῦσε κρονίων.  
ἀμβρόσιαι δ᾽ ἄρα χαῖται ἐπερρώσαντο ἄνακτος,  
κρατὸς ἀπ᾽ ἀθανάτοιο, μέγαν δ᾽ ἐλέλιξεν ὄλυμπον.

ἐνδείκνυται γὰρ διὰ τούτων, τὴν τῆς δυνάμεως ὑπερβολήν, συμπαθούντων καὶ τῶν τειχῶν. ἐπὶ δὲ τῆς ἥρας, διὰ τὴν ὕφεσιν φησὶ τῆς δυνάμεως, λέγει ὅμηρος.

εἵσατο δ᾽ ἐν θρόνῳ, ἐλέλιξε δὲ μακρὸν ὄλυμπον.

πολὺ γὰρ ὑπερβάλλει, τῷ νεύματι μόνῳ σείειν, καὶ τὸ ὅλην αὐτὴν σείεσθαι ἐν τῷ θρόνῳ, καὶ ποιεῖν τὸ αὐτό.

ΟΤΙ οἱ μετὰ ὀξύλου καὶ τῶν ἡρακλειδῶν κατελθόντων αἰτωλοὶ εἰς πελοπόννησον, συνῴκησαν ἠλείοις. καὶ αὐτοί εἰσιν, οἱ τὸν ἐν ὀλυμπίᾳ ἀγῶνα πρῶτοι διαθέντων, καὶ τὰς ὀλυμπιάδας διὰ τετραετηρίδος ὁρισάντων, μετὰ ἠλείων. καὶ ἕως μὲν τῆς κϛ΄ ὀλυμπιάδος, ἦρχον οἱ ἠλεῖοι τοῦ ἀγῶνος. εἶτα οἱ πισᾶται καθυπερτερησάντων, παρέλαβον τὸν ἀγῶνα ἐπὶ ἔτη πολλὰ ἀγωνοθετούντων. εἶτα πάλιν λακεδαιμόνιοι ἀφελόμενοι τοὺς πισάτας, παρέδοσαν τοῖς ἠλείοις. καὶ τὸν πύλον τὸν τοῦ νέστορος καθελόντων, εἰς λέπρεον συνῴκισαν. τοῦτο δ᾽ ἐποίησαν, διότι τοῖς μεσσηνίοις ἔναντι λακεδαιμονίων, συνεμάχουν πισᾶται καὶ πύλιοι. ΟΤΙ σαλμωνεύς, οἰνόμαος, πέλοψ, καὶ οἱ πελοπίδαι, ἐν πίσῃ κατῴκουν, ἡ νῦν βίσα καλεῖται. νῦν δέ, οὐδὲ ὄνομά ἐστι πισατῶν καὶ καυκώνων καὶ πυλίων. ἅπαντα γὰρ ταῦτα σκύθαι νέμονται.

ὅτι ὁ

παρήλλαξεν vitauit clus. · Salmoneus · Oenoma · Pelops

παρήλλαξεν elusit.

ΟΤΙ ὁ ἐν πελοποννήσῳ, ἐνιπεὺς ποταμὸς ῥέων ἐκ σαλμώνης κρήνης, ἐμβάλλει εἰς τὸν ἀλφειόν. ἄλλος δ' ἐστὶν ἐνιπεὺς, ποταμὸς θετταλίας. ὃς ῥέων ἀπὸ τῆς ὄθρυος, δέχεται τὸν ἀπιδανὸν ποταμόν, ῥέοντα ἀπὸ πόλεως φαρσάλου.

ΟΤΙ ὑπὸ σαλμωνέως ἐκπεσὼν ἐκ πελοποννήσου αἰτωλός, ᾤκησεν τὴν ἀπ' αὐτοῦ αἰτωλίαν. τούτου δ' ἀπόγονος, ὄξυλος ὢν, τοῖς περὶ τήμενον ἡρακλείδαις, ἡγήσατο τὴν ὁδὸν αὐτοῖς καθιοῦσιν εἰς πελοπόννησον, καὶ διένειμεν αὐτοῖς τὴν δορίκτητον χώραν. ἀντέλαβεν δὲ χάριν, τὴν εἰς τὴν ἠλείαν κάθοδον προγονικὴν οὖσαν. ἀπαντησάντων δὲ τῶν ἐπειῶν μεθ' ὅπλων τοῖς ἀμφὶ ὄξυλον αἰτωλοῖς, προεβλήθησαν, ἐξ αἰτωλῶν μὲν πυραίχμης, ἐξ ἐπειῶν δὲ, δέγμενος, ἐπὶ διαλύσει τῶν ὅλων. τοῦ δὲ πυραίχμου σφενδόνῃ τὸν δέγμενον ἀνελόντος, παρέδοσαν τοῖς αἰτωλοῖς οἱ ἐπειοί, τὴν πατρῴαν χώραν, καὶ τὴν τοῦ ὀλυμπίασι διὸς τοῦ ἱεροῦ ἐπιμέλειαν τοῦ ἀγῶνος, ὃν ἴφιτος διέθηκεν.

ΟΤΙ τῇ μοθώνῃ, συνεχής ἐστιν ὁ ἀκρίτας ἄκρα, οὖσα ἀρχὴ τοῦ μεσσηνιακοῦ κόλπου. καλεῖται δ' ἀσιναῖος, ἀπὸ ἀσίνης πόλεως τῆς ἐν τῷ κόλπῳ, ὁμωνύμου τῇ ἑρμιονικῇ. πρὸς ἕω δὲ, ἑτέρα ἄκρα τοῦ αὐτοῦ κόλπου, καλουμένη θυρίδες, ὅμοροι τῇ κατὰ ταίναρον λακωνικῇ. εἶτα καρδαμύλη. εἶτα φηραί. εἶτα θουρία, ἡ παρ' ὁμήρῳ αἴπεια. εἶτα γερήνιον. ἀφ' οὗ γερήνιος ὁ νέστωρ, διὰ τὸ ἐνταῦθα σωθέντα ἀπὸ τοῦ καθ' ἡρακλέα πολέμου, τραφῆναι.

ΟΤΙ ἡ ἰθώμη πόλις, ἐμφερής ἐστι τῇ κορίνθῳ. περὶ ἧς δημήτριος ὁ φαληρεύς, πρὸς φίλιππον τὸν δημητρίου εἶπεν. ὅτι δεῖ σε τούτων τῶν δύο ἔχεσθαι πόλεων, εἴπερ ἐπιθυμεῖς τῆς πελοποννήσου ἄρξαι. κρατήσας γάρ φησι τῶν κεράτων ἀμφοῖν, καθέξεις τὸν βοῦν. ΟΤΙ αἱ θυρίδες ἐν τῷ μεσσηνιακῷ εἰσὶ κόλπῳ ἐντὸς τοῦ ταινάρου. μεταξὺ δὲ τοῦ ταινάρου καὶ τῆς μαλέας, ὁ λακωνικός ἐστι κόλπος. ΟΤΙ ἀπὸ ταινάρου, εἰς φυκοῦντα ἄκραν τῆς κυρηναίας πρὸς νότον, δίαρμά ἐστι σταδίων ͵γ. εἰς δὲ πάχυνον τῆς σικελίας ͵δ χ. εἰς δὲ μαλέαν

πρὸς

Enipeus duplex
Salmone fons
Apidanus fl.
Aetolia unde
Aetolus
Temenus
Oxylus
Pyraechmes
Acritas promot.
Messeniacus sinus
Asinaeus sinus
Asina v.
Asina hermionica
Thyrides promo.
Cardamyla
Phera
Thurea
Aepea
Gerenia
Homer
Demetrius phalereus
Gerenius nestor unde dictus.
Ithome
Laconicus sinus
Tenarus p.





πρὸς ἀνατολὰς χο κατακολπίζοντι. εἰς δὲ ὄνου γνάθον, ταπεινὴν χερρόνησον ἐνδοτέρω τῆς μαλέας φκ.

ΟΤΙ ὅμηρος ὥσπερ λέγει κρῖ, τὸ κριθόν, καὶ τὸ δῶμα, δῶ κατὰ ἀποκοπήν, οὕτως λέγει καὶ ἄλκιμον, τὸν ἀλκιμέδοντα. καὶ μέσσην, τὴν μεσσήνην. τὸ δὲ βριαρὸν ἡσίοδος, βρῖ, καὶ τὸ βριθὺ ὡσαύτως. σοφοκλῆς δὲ καὶ ἴων, τὸ ῥᾴδιον, ῥᾶ. ἐπίχαρμος δὲ, τὸ λίαν, λί. συρακὼ δὲ, τὰς συρακούσας. ἐμπεδοκλῆς δὲ, μίαν λέγει συλλαβὴν, ὄψ. τοῦτ' ἔστιν ὄψις. καὶ παρ' ἀντιμάχῳ, δήμητρός τοι ἐλευσινίης ἱερὴ ὄψ. καὶ ἄλφιτον, ἄλφι. εὐφορίων δὲ καὶ τὸν ἥλιον λέγει, ἧλι. δωδὼ δὲ, τὴν δωδώνην, ἄλλος ποιητής.

ΟΤΙ ἡ μαλέα ἄκρα, μεταξὺ κεῖται τῶν δύο κόλπων, λακωνικοῦ τε καὶ ἀργολικοῦ. ΟΤΙ τὸ ἄργος παρ' ὁμήρῳ, πολλὰ σημαίνει. οἷον, ἡ πόλις αὐτή, ἄργος τε σπάρτη τε. καὶ ἄργος ἡ πελοπόννησος. οἷον, ἡμετέρῳ ἐνὶ οἴκῳ ἐν ἄργεϊ. καὶ ἄργος ἡ θετταλία. οἷον, νῦν αὖ τοὺς ὅσσοι τὸ πελασγικὸν ἄργος ἔναιον. καὶ ὅλη δὲ ἡ ἑλλάς, οὕτως καλεῖται παρ' αὐτῷ ἄργος. ἀργείους γὰρ καλεῖ τοὺς ἕλληνας πάντας, ὡς καὶ δαναοὺς καὶ ἀχαιούς. ΟΤΙ ὥσπερ τὰ κροκύλεια ὄντα τῆς ἀκαρνανίας, συγκαταριθμεῖ ὅμηρος ταῖς νήσοις, οὕτως καὶ τὴν μάσητα τῇ αἰγίνῃ, τῆς ἀργολικῆς οὖσαν. ΟΤΙ ὁ κρισαῖος κόλπος τῆς θαλάσσης, ὁ κορινθιακός ἐστι. περιοριζόμενος ὑπό τε φωκίδος καὶ βοιωτίας καὶ μεγαρίδος καὶ ἰσθμοῦ καὶ τοῖς βορειοτέροις τε καὶ δυσμικωτέροις τῆς πελοποννήσου. ὁ δὲ κιθαιρὼν καὶ ἑλικὼν τὰ ὄρη, ἐκ βορρᾶ εἰς αὐτὸν καθήκουσιν. καὶ ὁ μὲν κιθαιρών, ἐν τῇ μεγαρίδι, πρὸς τῇ ἀρχῇ τοῦ ἰσθμοῦ. ὁ δὲ ἑλικὼν, πρὸς δυσμαῖς.

ΟΤΙ τινὸς τεγεάτου χρωμένου ἐν δελφοῖς, εἰ ἄμεινον αὐτῷ μετοικίζειν εἰς τὸν κόρινθον, ἀνεῖλεν ὁ θεός. εὐδαίμων, ὁ κόρινθος. ἐγὼ δ' εἴην τεγεάτης. ΟΤΙ ἡ κορινθία χώρα, οὐκ εὔγεως ἐστὶν, ἀλλὰ σκολιά τε καὶ τραχεῖα. ἀφ' οὗ πάντες, ὀφρυόεντα κόρινθον καλοῦσι, καὶ παροιμιάζονται. κόρινθος ὀφρυᾷ τε καὶ κοιλαίνεται. ΟΤΙ ἡ κρομμυωνία ὗς, μήτηρ



Asini maxilla
κρῖ. δῶ. βρῖ. λί. ὄψ.
Homer
Hesiodus
Sopho.
Epichar.
Ion
Empedocles
Antima.
Euphor.
Hom.
Malea
Argos quot significat
Crocylea
Mases
Crisaeus sinus
Corinthiacus
Ide
Cromyonia porca

μετοικίζειν migrare

τὴν τοῦ ἐρυμανθίου κάπρου. ΟΤΙ ἐν αἰγαῖς τῆς πελοποννήσου γέγονεν ἡ τὸν δία θηλάσασα αἴξ. ἣν καὶ ἄρατος λέγει, ὠλενίαν καλεῖσθαι. πλησίον γὰρ ἡ ὤλενος τῶν αἰγῶν.

ΟΤΙ ἡ κασταλία, κρήνη ἐστὶν ἐν δελφοῖς, μαντικὸν ἔχουσα ὕδωρ. ΟΤΙ ἐπιφανῆ ὄρη πελοποννήσου ταῦτα, κυλλήνη, φολόη, λύκαιον, μαίναλος, παρθένιον, καθῆκον ἐπὶ τὴν ἀργείαν ἀπὸ τῆς τεγεάτιδος. ΟΤΙ ὁ ἐρασῖνος ποταμὸς, ἐκδίδωσιν ἐκ τῆς στυμφαλίδος λίμνης, εἰς τὴν ἀργείαν. πρότερον δὲ οὐκ ἐφαίνετο, διὰ τὸ τετυφλῶσθαι τοὺς ἐκ τῆς λίμνης εἰς αὐτὸν πόρους. καὶ ἡ τῶν στυμφαλίων πόλις, ἐπὶ τῆς λίμνης ἦν. ἐπεὶ δὲ οἱ πόροι ὑπὸ σεισμῶν ἀνεστομώθησαν, ἀπέχει νῦν ἡ πόλις τῆς λίμνης, στάδια ὑπὲρ τὰ ν. ΟΤΙ τῶν ἐν πελοποννήσῳ οἰκήσεων, οἰκισταὶ γεγόνασι μετὰ τὴν τῶν ἡρακλειδῶν κάθοδον. κορίνθου μὲν ἀλήτης, σικυῶνος δὲ φάλκης, ἀχαΐας δὲ τισαμενός, ἤλιδος δὲ ὄξυλος, μεσσήνης δὲ κρεσφόντης, λακεδαίμονος δὲ εὐρυσθένης καὶ προκλῆς. ἄργους δὲ τήμενος καὶ κισσός. τῶν δὲ περὶ τὴν ἀκτὴν δηϊφόντης.

## ΧΡΗΣΤΟΜΑΘΕΙΑΙ ΕΚ ΤΩΝ Στράβωνος γεωγραφικῶν βιβλίου θ.

ΟΤΙ περὶ τὰς ἐν μεγαρίδι σκιρωνίδας πέτρας, τὰ ἱστορούμενα γεγονέναι φασίν. οἷον τὰ περὶ πιτυοκάμπτην καὶ τὰ κατὰ σκίρωνα τοὺς τυράννους, οὓς ἀνεῖλεν θησεύς. ΟΤΙ ἀπὸ μεγάρων ιη σταδίους ἀπέχει, ὁ κατὰ νισαίαν λιμὴν τὸ ἐπίνειον.

ΟΤΙ ὅμηρος ὅταν φῇ,
ἔνθα δὲ βοιωτοὶ καὶ ἰάονες ἑλκεχίτωνες.
τοὺς ἀθηναίους λέγει ἰάονας, ὧν μέρος ἐστὶν καὶ ἡ μεγαρίς. ὡς καὶ τὸ ὑπὸ τοῦ θησέως ἐν κρομμυῶνι τοῦ ἰσθμοῦ μεθόριον δηλοῖ, τοιαύτην

Erymanthi aper · Capra Aegea uel olenia · Aratus · Castalius fons · Cyllene · Pholoe · Lyceū · Mænalus · Partheniū · Mōtes · Erasinus fl. · Stymphalis pa. · Stymphalus V. · Scironides petræ · Pityocāptē · Scirō · Thesëus · Nisæa · Homer · Iaones · Atheniēses · Megarenses pars atheniensiū · Cromyonis isthmi inscriptio



τὴν ἐπιγραφὴν ἔχον. ἐπὶ μὲν τὰ νότια. τάδ' ἐστὶ πελοπόννησος οὐκ ἰωνία. ἐπὶ δὲ τὰ βόρεια, τάδ' οὐχὶ πελοπόννησος, ἀλλ' ἰωνία. ἀλλὰ καὶ τῶν πανδιονιδῶν τεσσάρων ὄντων, αἰγέως, πάλλαντος, λύκου, νίσου, καὶ διὰ τοῦτο τῆς ἀττικῆς εἰς δ μέρη διαιρεθείσης, ὁ νῖσος τὴν μεγαρίδα ἔλαχε, καὶ τὴν νισαίαν ἔκτισεν.

ΟΤΙ πρὸ τοῦ σουνίου τῆς ἀττικῆς, νῆσος ἐστὶν τραχεῖα καὶ ἔρημος, ἑλένη ὄνομα. καὶ φασὶν περὶ αὐτῆς λέγειν τὸν ὅμηρον,
νήσῳ δ' ἐν κρανάῃ ἐμίγην φιλότητι καὶ εὐνῇ.

ΟΤΙ τῆς ἀττικῆς, ὄρη εἰσὶν ὀνομαστὰ ε ὑμηττός, πάρνης, κορυδαλλός, βριλησσός, λυκαβηττός. ΟΤΙ ἡ βοιωτία, τριθάλασσός ἐστιν. κλύζεται γὰρ τῇ τε κρισαίᾳ, ἐκ νότου, καὶ τῇ μυρτῴᾳ, ἀπὸ γεραιστοῦ μέχρι εὐρίπου, καὶ τῇ μαλιακῇ, ἀπὸ εὐρίπου μέχρι ποταμοῦ σπερχειοῦ. ΟΤΙ παροιμία ἐστὶν, θρᾳκία παρεύρεσις. οἱ γὰρ θρᾷκες ἐν σπονδαῖς πελασγοῖς γεγονότες ἐπί τινας ἡμέρας, νύκτωρ ἐπέθεντο. ἀποκριθέντες δ' ὑπὸ πελασγῶν, καὶ τὰ ἑξῆς ἐγκαλούμενοι, ἔφασαν. ἀλλ' οὐχὶ ταῖς νυξὶν ἄγειν εἰρήνην ὠμόσαμεν. ΟΤΙ πολεμούντων βοιωτοῖς καὶ πελασγοῖς, ἦλθον θεωροὶ ἐξ ἀμφοῖν εἰς δωδώνην. ἀνελούσης δὲ τῆς προφήτιδος, ὅτι τὸν μὲν τῶν πελασγῶν, οὐχ εὑρεῖν τὸν χρησμόν. τῶν δὲ βοιωτῶν εἰπούσης; ὅτι δεῖ αὐτοὺς ἀσεβήσαντας πράξειν, ὑποτοπήσαντες οἱ βοιωτοὶ κατὰ τὸ τῶν πελασγῶν συγγενὲς κακουργῆσαι τὴν πρόμαντιν, ἁρπάσαντες διεχρήσαντο τὴν ἄνθρωπον καὶ εἰς πῦρ ἔβαλλον, δικαιοῦντες. ὅτι εἰ μὲν παρεχρήσατο, ἔχει τὴν δίκην. εἰ δὲ ἀληθῶς ἔλεξεν, καὶ οὕτως ἀσεβῆσαι αὐτοὺς ἔδει. ἀνθ' ὧν ἐχρήσθη αὐτοῖς, κατ' ἐνιαυτὸν κλέπτοντας ἕνα τῶν παρ' αὐτοῖς τριπόδων, ἀποκομίζειν εἰς δωδώνην. ΟΤΙ πένθιλος, ἐκ βοιωτίας, τὴν αἰολικὴν ἀποικίαν ἤγαγεν. ΟΤΙ μεθόριον ἀττικῆς καὶ βοιωτίας, πρὸς τῇ εὐβοϊκῇ θαλάττῃ, ἐστὶν ὁ ὠρωπός. καὶ ὁ ἱερὸς λιμὴν ὃν καλοῦσι δελφίνιον, ἀντιπέραν ἐρετρίας τῆς ἐν εὐβοίᾳ, ἀπὸ σταδίων τὸ δίαρμα ξ. εἶτα δήλιον, ταναγραίων πολίχνιον, ἀπέχον σταδίους τῆς αὐλίδος, λ. εἶτα λιμὴν βαθύς. εἶτα αὐλὶς



Inscriptio · Nisus · Nisæa a Nīso cōdita · Homer · Helena insula · Atticæ M · Boeotia trimaris · θρᾳκία παρεύρεσις · Oropus V · Sacer port · Delphinia · Deliū · Confinia atticæ & boeotiæ · δικαιοῦντες · παρέχρησεν

πετρώδους χωρίου. εἶτα εὔριπος. εἶτα σαλγανεὺς, ἐπώνυμον χωρίον σαλγανέως τινὸς Βοιωτοῦ ἀνδρὸς ἐκεῖσε ταφέντος, μετὰ τὸ ἀναιρεθῆναι ὑπὸ τῶν περὶ μεγαβάτην περσῶν, ὡς δῆθεν κακῶς αὐτοῖς ὑφηγησαμένου τὴν ἀπὸ μαλιακοῦ κόλπου θάλασσαν, λαβυρινθώδη καὶ ἄπορον. μεταγνόντων δ' οἱ πέρσαι ὕστερον, ὡς ἀδικηθέντα τὸν σαλγανέα, ἔθαψαν μεγαλοπρεπῶς.

ΟΤΙ τὸ ἀμφιαράου ἱερὸν, ἐν τανάγρᾳ ἐστὶ τῆς Βοιωτίας. ἐκ νωπίας δὲ τῆς θηβαικῆς, μεθιδρύθη κατὰ χρησμὸν δεῦρο.

ΟΤΙ ἀνθηδὼν πόλις μετὰ τὸν σαλγανέα, ἐσχάτη τῆς Βοιωτίας κεῖται, καὶ ἀπ' αὐτῆς, εἰς τὴν ἐν εὐβοίᾳ αἰγὰς πόλιν τὸ δίαρμα, στάδιοι ρκ΄. καὶ ἐγγὺς τῶν αἰγῶν, αἱ ὀροβίαι. ἐκ δὲ ἀνθηδόνος, ἦν γλαῦκος, ὃν μεταβαλεῖν φασιν εἰς κῆτος θαλάσσιον.

ΟΤΙ ἡ Βοιωτία, στραγγώδης οὖσα καὶ ὕπαντρος, ποιεῖ σεισμοὺς ἐν αὐτῇ ἐξαισίους, πρὸς τινας τῶν πόρων ἀποτυφλοῦσθαι, καὶ τινὰς διευρύνεσθαι. καὶ διὰ τοῦτο, λίμναι τέ τινες ὑφίστανται, καὶ αὖθις λήγουσι. διὸ καὶ πλάταια μὲν καὶ πλαταιεῖς, παρὰ λίμνην ποτὲ ἦσαν, καὶ διὰ τὴν τῶν κωπῶν πλάτην, οὕτως ὠνομάσθησαν. ἔτι δὲ ἕλος τε καὶ ἐλεών. νῦν δὲ, ἠπείρωνται.

ΟΤΙ ὁ κηφισσὸς ποταμὸς, ἐκ τῶν φωκικῶν ὀρέων ἄρχεται ἐκ λιλαίας πόλεως, καὶ εἰς τὴν κωπαΐδα λίμνην ἐκδίδωσιν. ἔνθα καὶ ὁ περμησσὸς καὶ ὁλμειὸς ἐκ τοῦ ἑλικῶνος ῥέοντες, εἰς τὴν αὐτὴν ἐμβάλλουσι λίμνην περὶ πόλιν ἁλίαρτον. ἡ δὲ τῆς λίμνης περίμετρος, στάδιοι τπ΄.

ΟΤΙ ἡ κωπαῒς λίμνη, πολλοὺς δεχομένη ποταμοὺς, ἔξοδον οὐκ ἔχει, πλὴν τοῦ ὑπὸ γῆν τὸν κηφισσὸν δεχομένου αὐτὸν χάσματος.

ΟΤΙ σκῶλος ἐστὶν, κώμη τῆς παρασωπίας ὑπὸ τῷ κιθαιρῶνι, τόπος τραχὺς, ἀφ' οὗ καὶ ἡ παροιμία λέλεκται. εἰς σκῶλον μήτ' αὐτὸς ἰέναι, μήτ' ἄλλῳ ἕπεσθαι. καὶ τὸν πενθέα, ἐνταῦθα φασὶν διασπασθῆναι. ἔστι δὲ καὶ ἐν ἡρακλείᾳ τῇ τραχινίᾳ, κώμη σκῶλος, παρ' ἣν ποταμὸς ῥεῖ ἀσωπός. καὶ ἐν σικυῶνι, ἄλλος ἐστὶν ποταμὸς ἀσωπός. ΟΤΙ θεσπιαὶ, πόλις ἐστὶν πρὸς τῷ ἑλι-

Euripus
Salganeus
Megabates
Amphiarai t.
tanagræ
Nopia
Anthedō
Glaucus
Orobiæ
Platæa unde
Helos
eleon
Cephisus fl.
Lilæa V.
Copais lacus
Permessus
Olmeus fl.
Aliartus V.
Copais lacus
Pentheus
Scolos
Parasopia
Scolos altera
Asopus fl. duplex

Paroemia
Ad scolō nec ipse uades nec alteri comes ibis



ἑλικῶνι νοτιωτέρα, ὑποκειμένη τῷ κρισαίῳ κόλπῳ καὶ αὐτὴ καὶ ὁ ἑλικών. πλησίον δὲ, καὶ ἡ τοῦ ἡσιόδου πατρὶς ἄσκρη.

ΟΤΙ ὁ παρνασσὸς τὸ ὄρος, σπήλαια ἔχει πολλὰ ἱερὰ, ὧν ἐστὶν ἓν καὶ τὸ κωρύκιον ἱερὸν νυμφῶν, ὁμώνυμον τῷ κιλικίῳ.

ΟΤΙ τὸ ἑσπέριον τοῦ παρνασσοῦ πλευρὸν νέμονται, αἰτωλοί τε οἱ ὀζόλαι καὶ δωριεῖς. καὶ αἰτωλοὶ, κατὰ τὸν κόρακα αἰτωλικὸν ὄρος. τὸ δὲ πρὸς ἕω, δωριεῖς καὶ φωκεῖς.

ΟΤΙ ὁ κρισαῖος κόλπος, ἕως τοῦ ἀκτίου περαιοῦται.

ΟΤΙ φωκέων, δύο εἰσὶν πόλεις ἐπίσημοι, δελφοί τε καὶ ἐλάτεια. ἡ μὲν, διὰ τὸ ἀρχαιότατον μαντεῖον τοῦ ἀπόλλωνος. ἡ δὲ, διὰ τὸ περὶ κύφον περραιβικὸν ὄρος καὶ πόλιν εἶναι. γουνεὺς δ' ἐκ κύφου ἦγεν. ΟΤΙ περραιβοὶ, τὰ δυτικὰ τοῦ ὀλύμπου ᾤκουν, μακεδόνων ἐγγύς.

ΟΤΙ ἕτερος μόψος, ἀφ' οὗ ἡ ἀττικὴ μοψοπία, καὶ ἄλλος ὁ μάντις τῆς τειρεσίου θυγατρὸς παῖς, ἀφ' οὗ μοψουεστία πόλις κιλικίας. ΟΤΙ μεταξὺ σηπιάδος καὶ κασθανβίας τοῦ πηλίου ἀκρωτηρίων, αἰγιαλός ἐστιν ἔρημος. ἔνθα ὁ ξέρξου στρατὸς, ὑπὸ ἀπηλιώτου συνετρίβη.

ΟΤΙ τὸ περὶ λάρισσαν πεδίον, πελασγικὸν ἐκαλεῖτο πρίν. πυρραία δὲ, ἀπὸ πύρρας τῆς δευκαλίωνος γυναικός. αἱμονία δὲ, ἀπὸ αἵμονος. θετταλία δὲ, ἀπὸ θετταλοῦ τοῦ αἵμονος.

## ΧΡΗΣΤΟΜΑΘΕΙΑΙ ΕΚ ΤΩΝ Στράβωνος γεωγραφικῶν βιβλίου ι΄.

ΟΤΙ ἡ εὔβοια μῆκος ἔχει σταδίων ,ασ΄. ἀπὸ κηναίου ἄκρου τοῦ κατὰ θερμοπύλας, ἕως γεραιστοῦ, κατὰ σουνίον. τὸ δὲ πλάτος τὸ μέγιστον, ρν΄ σταδίων. καὶ ἔστιν ἀντίπορθμος, τῇ τε ἀττικῇ, καὶ τῇ βοιωτίᾳ, καὶ τῇ λοκρίδι, καὶ τοῖς μαλιεῦσιν. διὰ δὲ τὸ μῆκος, μακρὶς ἐκα-



Hesiod
Thespiæ
Ascra
Parnassus
Corycium antr.
Ozolæ ætoli
Corax M.
Delphi V.
elatea V.
Cyphos
Perrhæbi
Mopsi duo
Mopsopia
Manto
Tiresias
Mopsoestia
Sepias
Casthabia
Pelasgicus camp.
Pyrrhæa
Hæmonia
Thessalia
Euboea
Cenæu. pm
Geraestus
Macris

λεῖτο, ὕστερον δὲ ἀβαντίς. τὰ δὲ μεταξὺ καφηρέως καὶ γεραίστου, τὰ κοῖλα εὐβοίας καλεῖται. ΟΤΙ ὁ ὠρεός, ἱστιαία ἐκαλεῖτο, καὶ οἱ ὠρεῖται, ἱστιαιεῖς. ΟΤΙ τὸ δῖον, καὶ ὁ ὠρεὸς ἔτι ἡ κήρινθος καὶ τὸ ἀρτεμίσιον καὶ ὁ βούδορος ποταμός, πάντα ταῦτα τῆς εὐβοίας παραθαλάσσια εἰσίν, πρὸς τὸν βορρᾶν τετραμμένα, καὶ τὴν σκῦρον νῆσον καὶ λῆμνον.

ΟΤΙ κάρυστος καὶ στύρα καὶ ἐρέτρεια, πρὸς νότον εἰσίν, ἀντιπέραν ἀττικῆς. ΟΤΙ ἐν καρύστῳ φύεται λίθος ἡ ξαινομένη καὶ ὑφαινομένη, ὥστε τὰ ὕφη χειρόμακτρα γίνεσθαι. ῥυπωθέντα δὲ εἰς φλόγα βάλλεσθαι καὶ ἀποκαθαίρεσθαι λέγουσιν, παραπλησίως τῇ τῶν λινῶν πλύσει. ὁ δὲ γεραίστος ἀρσενικόν.

ΟΤΙ περὶ τὸ λήλαντον πεδίον τῆς εὐβοίας, μέταλλα ἦν χαλκοῦ καὶ σιδήρου ἅπερ νῦν ἐκλέλοιπεν, ὥσπερ καὶ ἀθήνησι τἀργύρεια. ΟΤΙ ἡ ἐρέτρεια πόλις, δύναμιν εἶχεν ποτὲ μεγάλην. ὥστε ἡνίκα πομπὴν ἦγον, ͵γ μὲν ὁπλῖται ἦσαν, χ δὲ ἱππεῖς. ξ δὲ ἅρματα. ἐπῆρχεν δὲ ἄνδρου τε καὶ τήνου, καὶ τινῶν νήσων ἄλλων. ΟΤΙ τῶν ὅπλων, τὰ μὲν συστάδην ἐστίν, ὡς τὰ ξίφη καὶ τὰ ὀρεκτὰ τῶν ὁμηρικῶν ἀβάντων. τὰ δὲ ἀκοντίζεται δίκην ὀϊστοῦ καὶ παλτοῦ, ὁποία ἦν ἡ τοῦ ἀχιλλέως μελία. τὰ δ᾽ ἐπαμφοτερίζει, οἷον ὁ κοντὸς καὶ ἡ σάρισα καὶ ὁ ὑσσός. ΟΤΙ τῆς εὐβοίας δύο τινὲς εἰσὶ ποταμοί, κηρεὺς καὶ νηλεύς. καὶ τὰ ἐξ αὐτῶν πίνοντα πρόβατα γίνονται, ἐκ μὲν θατέρου λευκά, ἐκ δὲ θατέρου μέλανα.

ΟΤΙ πρὸς ἀνατολὰς τοῦ ἀμβρακικοῦ κόλπου, ἀκαρνᾶνες οἰκοῦσιν, καὶ ἐφεξῆς ὁ ἀχελῷος ἐστὶν ποταμός. εἶτα αἰτωλοὶ ἀνατολικώτεροι. καὶ μετ᾽ αὐτούς, ὀζόλαι λοκροί, καὶ ὁ παρνασσὸς τὸ ὄρος. εἶτα, ἑλικὼν τὸ ὄρος. εἶτα κιθαιρών, κατὰ τὸν κορίνθιον ἰσθμόν. εἶτα ὑμηττός, πρὸς τὰς ἀνατολὰς ἐφεξῆς κείμενα τὰ ὄρη. ἔτι ὑπόκεινται ἐν τῇ μεσογαίᾳ πρὸς βορρᾶν. τῶν μὲν ἀκαρνάνων, ἀμφίλοχοι. εἶτα, δόλοπες. καὶ ἡ πίνδος τὸ ὄρος, ἀφ᾽ οὗ ὁ ἀχελῷος ῥεῖ πρὸς τὰς ἐχινάδας. τῶν δ᾽ αἰτωλῶν, περραιβοὶ πρὸς βορρᾶν

εἰσιν

Abantis
Caphareus ·M·
Caua euboeae
Oreos
Istiaea
Dion
Cerinthus
Artemisiu
Budorus fl.
Carystus
Styra
Eretria
Carystius lapis
Gerastus mas. g.
Lelantu campus
ουσάδην· cominus
Abantes homerici
Armoru differentia

σάρισα, ὑσσός — ἀμφοτερίζοντα
ὀρεκτά
Ceres, Neles — fl. notandi

Gerastus. mas. gen.
πομπή. vulgo alarde
ὀρεκτά



εἰσίν, καὶ ἀθαμᾶνες, καὶ αἰνιάνων τι μέρος, τῶν τὴν οἴτην ἐχόντων. τὸ δὲ νότιον πλευρόν, ἀκαρνάνων τε καὶ αἰτωλῶν, ἡ θάλασσά ἐστιν, ἡ κατὰ τὸν κρισαῖον κόλπον. ἄρχεται δ᾽ ὁ κόλπος οὗτος, ἀπὸ τοῦ στόματος τοῦ ἀχελῴου ποταμοῦ.

ΟΤΙ κόραξ ὄρος αἰτωλικόν, συνάπτει τῇ οἴτῃ ὄρει.

ΟΤΙ τὸ ἄκτιον, δυσμικώτατόν ἐστιν ἄκρον, τοῦ ἀμπρακικοῦ κόλπου. ΟΤΙ ἡ νῦν λευκὰς πόλις, χερρόνησος ἦν πρίν. ὑπὸ δὲ κορινθίων, ἐτμήθη. καλεῖ δ᾽ αὐτὴν ὅμηρος, ἀκτὴν ἠπείροιο τῆς ἀκαρνανίας δηλονότι, ἧς μέρος τὸ νήριτον, ὅπερ λαέρτης ἑλεῖν λέγει. ἀλλὰ καὶ τὰ κροκύλεια καὶ ἡ αἰγίλιψ πόλις, ἐν καταλόγῳ, τῆς λευκάδος εἰσὶν πλησίον. ὡς τὴν νῆσον ὅλην ἔχειν, πόλεις τρεῖς. λευκάδα μέν, ἐν τῷ χειροποιήτῳ πορθμῷ, τὴν πρὶν νήριτον. καὶ κροκύλεια, καὶ αἰγίλιπα.

ΟΤΙ τὴν νῦν κεφαλληνίαν ὅμηρος, καὶ σάμον καλεῖ. οἷον,
οἵ τε ζάκυνθον ἔχον ἠδ᾽ οἳ σάμον ἀμφενέμοντο.
καὶ σάμην. οἷον. δουλίχιόν τε σάμη τε. ἀλλὰ καὶ τὴν ἀκαρνανίαν, μέρος λέγει τῆς κεφαλληνίας καὶ τῆς ἠπείρου. οἷον.
οἵ τ᾽ ἤπειρον ἔχον ἠδ᾽ ἀντιπέραι᾽ ἐνέμοντο.
ἔτι πάλιν, δώδεκ᾽ ἐν ἠπείρῳ ἀγέλαι. ὁμωνύμως δὲ τῇ ὅλῃ νήσῳ, καὶ ἡ ἐν αὐτῇ πόλις, σάμος καὶ σάμη καλεῖται.

ΟΤΙ ἡ τοῦ μέντου πόλις, τάφος πρὶν καλουμένη, νῦν ταφιοῦς καλεῖται. ΟΤΙ σαμαῖοι μὲν οἱ κεφαλλῆνες, ἀπὸ σάμης ἢ σάμου. οἱ δὲ ἴωνες, ἀπὸ σάμου τῆς ἰωνικῆς, σάμιοι.

ΟΤΙ ἐπειοί, κατῴκουν τὰς ὑπὸ τῷ μέγητι ἐχινάδας, ἐξ ἤλιδος ἐλθόντες μετὰ φυλέως. διόπερ καὶ τὸν κυλλήνιον ὦτον μεγαθύμων ἀρχὸν ἐπειῶν, φυλείδεω ἕταρον καλεῖ ὁ ποιητής.

ΟΤΙ ἡ ἰωνικὴ σάμος, πρὶν ἐκαλεῖτο μελάμφυλος. εἶτα ἀνθεμίς. εἶτα παρθενία, ἀπὸ ποταμοῦ ἐν αὐτῇ παρθενίου, ὃς ἴμβρασος μετωνομάσθη. εἶτα σάμος, ἀπὸ τοῦ ὕψους τῶν ὀρέων. οἱ γὰρ παλαιοὶ τὰ ὑψηλὰ ὄρη, σάμους ἐκάλουν.

ΟΤΙ ἀπὸ ζακύνθου νήσου, εἰς ἑσπερίδας τῆς λιβύης

σταδ

Athamanes
Crisaeus sinus
Corax ·M·
Actiu
Leucas ·V·
Homer.
Nerito quod laertes ἑλεῖν dicit
Homer.
Crocylea or.
Aegilips
Neritu
Cephalenia
Samos
Same
Samos
Same — V.
Taphos
Taphius
Samaei
Samii — D.
Samos
Melamphyli
Anthemis
Parthenia
Samos unde

Parthenius, Imbrasus — fl.

στάδιοι ϛ τ̄.

ΟΤΙ τὰς νῦν ὀξείας νήσους τῶν ἐχινάδων, ὅμηρος θοὰς καλεῖ. ἡ μὲν οὖν δουλιχία κεῖται, κατὰ τὰς τοῦ ἀλφειοῦ ἐκβολὰς καὶ οἰνιάδας. ΟΤΙ οἱ τάφιοι καὶ οἱ τηλεβόαι, νήσους κατῴκουν ὁμωνύμως αὐτοῖς καλουμένας, πλησίον τῶν ἐχινάδων.

ΟΤΙ ὁ κατὰ νικομήδειαν τῆς βιθυνίας κόλπος, ἀστακηνὸς καλεῖται, ἀπό τινος πολιχνίου κειμένου ἐν τῷ μυχῷ, ἀστακοῦ καλουμένου. ΟΤΙ τυνδάρεως καὶ ἰκάριος, ἐκπεσόντες σπάρτης ὑπὸ ἱπποκόωντος, ἦλθον εἰς πλευρῶνα παρὰ θέστιον. καὶ μετ᾽ αὐτοῦ συγκατεκτήσαντο πολλὴν χώραν, καὶ τῶν ταφίων καὶ ἐχινάδων νήσων. ἀλλ᾽ ὁ μὲν τυνδάρεως, γήμας λήδαν τὴν θεστίου παῖδα, μετῴκισεν εἰς τὴν οἰκείαν. ὁ δὲ ἰκάριος, ἔγημεν πολυκάστην τὴν λυγαίου παῖδα, καὶ τῆς ἀκαρνανίας ἐκυρίευσεν. ἐξ ὧν πηνελόπη, καὶ ἀδελφοὶ αὐτῆς.

ΟΤΙ ἀκαρνᾶνες, οὐ συνεστράτευσαν αἰτωλοῖς κατὰ τῆς τρωάδος. ὅθεν ὕστερον ἔτεσι πολλοῖς ῥωμαίους ἔπεισαν τοῦτο, καὶ τὴν αὐτονομίαν ἀπέλαβον, διὰ τὸ μὴ συστρατεῦσαι ἕλλησι κατὰ τῶν τρώων, οἵ τινες ἦσαν πρόγονοι ῥωμαίων. ὁ γὰρ αἰνείας, ἐκ τῶν τρώων ἦν. ΟΤΙ οἱ κουρῆτες, οὐκ ἦσαν αἰτωλοὶ, διὰ τὰ ἔπη ταῦτα. κουρῆτές τ᾽ ἐμάχοντο καὶ αἰτωλοί. πάλιν οἱ τοῦ πορθέως παῖδες τρεῖς αἰτωλοὶ ὄντες καὶ τὴν πλευρῶνα καὶ καλυδῶνα οἰκοῦντες, κουρῆτες ἦσαν. οἱ γὰρ πλευρώνιοι, κουρῆτες εἰσὶν, ὅπερ ἀληθέστερον. ἔθος γὰρ ἐστὶν ὁμηρικὸν, τὰ μέρη τοῖς ὅλοις συναριθμεῖν. οἷον. οἳ δ᾽ εὔβοιαν ἔχον χαλκίδα τε. καὶ πάλιν. τρῶες καὶ λύκιοι καὶ μυρμιδόνες καὶ ἀχαιοί. τοιοῦτον οὖν, καὶ τὸ κουρῆτες καὶ αἰτωλοί. φασὶν οὖν, ὅτι κουρήτων ἐχόντων τὴν νῦν αἰτωλίαν, ἐκπεσὼν ἐξ ἤλιδος αἰτωλὸς, μετά τινων ἐπειῶν, ἐκυρίευσεν τῆς ἐξ ἑαυτοῦ κληθείσης αἰτωλίας, καὶ οἱ κουρῆτες, μετῴκησαν εἰς τὴν ἀκαρνανίαν. μετὰ οὖν γενεὰς ι. ὄξυλος μετὰ ἡρακλειδῶν, κατῆλθεν εἰς τὴν ἤλιδα ὡς πατρῴαν, ὡς καὶ τὸ ἐπίγραμμα τὸ ἐν τῇ εἰκόνι αἰτωλοῦ δηλοῖ.

χώρης

Oxiæ · Thoæ · Homer · Dulichia · Oeniadæ · Taphij · Teleboæ · Astacenus sinus · Astacus · Penelope · Curetes · Pleuronij

Homeri mos cũ toto ptẽ connumerare



χώρης οἰκιστῆρα, παρ᾽ ἀλφειοῦ ποτε δίναις
τρεφθέντα, σταδίων γείτον᾽ ὀλυμπιάδος,
ἐνδυμίωνος παῖδ᾽ αἰτωλοὶ τόνδ᾽ ἀνέθηκαν,
αἰτωλὸν σφετέρας μνῆμ᾽ ἀρετῆς ἐσορᾶν.

τὸ δὲ ἐν τῇ ὀξύλου εἰκόνι ἐπίγραμμα, οὕτως ἔχει,

αἰτωλός ποτε τόνδε λιπὼν αὐτόχθονα δῆμον,
κτήσατο κουρῆτιν γῆν, δορὶ πολλὰ καμών.
τῆς δ᾽ αὐτῆς γενεῆς δεκατόσσορος αἵμονος υἱὸς
ὄξυλος, ἀρχαίην ἔκτισε τήνδε πόλιν.

τὸ δὲ ὀξύλου ἐν ἤλιδι κεῖται, τὸ δ᾽ αἰτωλοῦ ἐν αἰτωλίᾳ.

ΟΤΙ χαλκιδεῖς οἱ ἐν εὐβοίᾳ, πόλεμον ἔχοντες πρὸς ἐρετριεῖς περὶ τοῦ ληλαντίου πεδίου, ἐπεὶ πολλάκις κρατούμενοι ἀπὸ τῶν ἐμπροσθίων τριχῶν καὶ καταβαλλόμενοι ὑπὸ τῶν πολεμίων, ἐπετήδευσαν τὰ ἔμπροσθεν κείρεσθαι τῆς κεφαλῆς. διὸ καὶ ὑπὸ ὁμήρου, ὄπιθεν κομόωντες προσηγορεύθησαν. καὶ μεταοικήσαντες εἰς αἰτωλίαν ὕστερον, καὶ μάχῃ νικήσαντες τοὺς ἐνοικοῦντας, ἐδίωξαν πέραν τοῦ ἀχελῴου ποταμοῦ. διὸ ἐκεῖνοι μὲν οἱ εὐβοεῖς, κουρῆτες ἐκλήθησαν, ἀπὸ τοῦ κείρεσθαι. οἱ δ᾽ ἐκβληθέντες, ἀκαρνᾶνες, ὡς μὴ κειρόμενοι. ΟΤΙ ὁ θέστιος, πενθερὸς ἦν τυνδάρεώ τε καὶ οἰνέως. πατὴρ λήδας τε, καὶ ἀλθαίας. καὶ πολέμου ὄντος θεστιάδαις τε καὶ κουρῆσι, πρὸς οἰνέα τε καὶ αἰτωλοὺς καὶ μελέαγρον, ἤτοι περὶ γῆς ὅρων, ἢ μυθικῶς καθ᾽ ὅμηρον, ἀμφὶ συὸς κεφαλῇ καὶ δέρματι, ὁ μελέαγρος ἀνεῖλεν τοὺς τῆς ἀλθαίας ἀδελφούς. ἀνθ᾽ ὧν ἡ ἀλθαία, πολλὰ κατηρᾶτο, συγόρας δ᾽ ἐπεκέκλετ᾽ ἐρινῦς. ΟΤΙ τοὺς ἐν αἰτωλίᾳ κουρῆτας, τετραχῶς ἐτυμολογητέον. ἢ γὰρ διὰ τὴν ἐμπροσθίαν κουρὰν, ὡς εἴρηται. ἢ ἀπὸ ὄρους κουρίου αἰτωλικοῦ. ἢ διὰ τὸ βλακώδεις εἶναι, ὥσπερ αἱ κουραί. ὁποῖοι καὶ ἰώνων ἑλκεχίτωνες λέγονται. ἢ ἀπὸ κουρήτων δαιμόνων, ἐνόπλιον ὀρχουμένων ὄρχησιν. λέγοι γὰρ ἂν, τοὺς ἀνδρειοτάτους καὶ εἰδότας ἐν ὅπλοις ὀρχεῖσθαι. καὶ γὰρ ὅμηρος, εἰσάγει τὸν αἰνείαν λέγοντα.

t μηρι-

Lelanti cãp · Homer · ὄπιθεν κομόωντες · Curetes unde dicti · Acarnanes unde · Curetes ætolia · Curió ætoliæ mons · Curetæ dæmones · Thesti · Ledæ · Althea · Homeri loc

μειζόνη τάχα κἄν σε καὶ ὀρχηστὴν προσέοντα.

ΟΤΙ κοινὸν ἑλλήνων καὶ βαρβάρων ἐστὶ, τὸ τὰς ἱεροποιΐας, μετὰ ἀνέσεως ἑορταστικῆς ποιεῖσθαι. τὰς μὲν σὺν ἐνθουσιασμῷ. τὰς δὲ χωρίς. καὶ τὰς μὲν μετὰ μουσικῆς, τὰς δὲ μή. καὶ τὰς μὲν μυστικῶς, τὰς δ᾽ ἐν φανερῷ. ἡ γὰρ μουσικὴ, φιλοσοφία ἐστί. καὶ πρὸς τὴν τῶν ἠθῶν κάθαρσιν συμβαλλομένη, ὥς φησι πλάτων. ΟΤΙ οἱ ἕλληνες, τῷ διονύσῳ καὶ τῷ ἀπόλλωνι καὶ τῇ ἑκάτῃ καὶ ταῖς μούσαις καὶ δήμητρι, προσέθεσαν τὸ ὀργιαστικὸν πᾶν, καὶ τὸ βακχικὸν καὶ τὸ χορικὸν καὶ μυστικόν.

ΟΤΙ οἱ κουρῆτες, δαίμονές τινές εἰσι περὶ τὸν δία. οὕτως δ᾽ ὠνομάσθησαν, διὰ τὸ κουροτροφῆσαι αὐτόν. τοῦ δὲ διονύσου ὀπαδοὶ δαίμονες, σάτυροί τε καὶ σιληνοὶ καὶ βάκχαι, λῆναί τε καὶ θυῖαι καὶ μιμαλλόνες καὶ ναΐδες καὶ νύμφαι καὶ τίτυροι. ΟΤΙ οἱ βερέκυντες, φρυγίων τι γένος ὂν καὶ ἁπλῶς οἱ φρύγες, ῥέαν τιμῶσι καὶ ὀργιάζουσι ταύτῃ, μητέρα καλοῦντες θεῶν. καὶ ἄγδιστιν, καὶ φρυγίαν θεὸν μεγάλην. ἀπὸ δὲ τῶν τόπων, ἰδαίαν, καὶ δινδυμήνην, καὶ πυλήνην, καὶ κυμήνην, καὶ πεσινουντίδα, καὶ κυβέλην. οἱ δὲ ἕλληνες τοὺς προπόλους αὐτῆς, κουρῆτας λέγουσιν, ὁμωνύμως τοῖς τοῦ διός. τοὺς δ᾽ αὐτοὺς, καὶ κορύβαντας. ΟΤΙ παρὰ τοῖς θραξὶν, ἐνθουσιασμοί εἰσιν, τά τε κοτύττια καὶ τὰ βενδίδεια, παρ᾽ οἷς καὶ τὰ ὀρφικὰ τὴν καταρχὴν ἔσχεν. ΟΤΙ ὄλυμπος ὄρος ἐστὶ, καὶ περὶ τὴν τρωϊκὴν ἴδην, καὶ ὁ μύσιος, καὶ ὁ μακεδονικός, καὶ ὁ παρ᾽ ὁμήρῳ οὐρανὸς ὁ οὐράνιος. ΟΤΙ ταλθύβιος μετὰ τὰ τρωϊκὰ, ἀποικίαν ἔστειλεν εἰς κρήτην. ΟΤΙ τελχῖνες, οἱ ἐν κρήτῃ δακτύλοι ἤτοι οἱ πολεμικοὶ, ὡς τὸ κορυθάϊκι. ἢ οἱ τρίλοφοι, ἐν ταῖς περικεφαλαίαις. ἢ οἱ ὀρχησταί. ἐτεόκρητες δὲ, οἱ αὐτόχθονες. ΟΤΙ ὁ κνωσσὸς πόλις, τὸ πρὶν ἐκαλεῖτο κέρατος, ἀπὸ ποταμοῦ ἐγγὺς ὄντος. ΟΤΙ ἡ δίκτη τὸ ὄρος, ἀνατολικώτερόν ἐστι τῆς ἴδης ἐν κρήτῃ, σταδίους … ἡ δὲ ἴδη νῦν, χρυσόμαλλος καλεῖται. ΟΤΙ ἡ κρήτη ἑκατόμπολις ἦν, ἐν τοῖς

Sacrificia dieb[us] festis semp[er]

Plato

Curetes demones

Bacchi assectatores

dæmones

Satyri

Silem

Bacchæ

Lenæ

Thyiæ

Mimallones

Naides

Home

Nymphæ

Tityri

Berecyntes

Rheæ noia,

Mater deorū

Agestis

Magna dea

Idea

Dyndymene

Pylene

Cymene

Rheæ famuli

Curetes

Corybantes

Cotyttia

Bendichia

Olympi quot

Τελχῖνες

Cteocretes

Cnossos. V.

Ceratos

Ceratos fl.

Ide

Chrysomallos



ἐν τοῖς τοῦ ὁμήρου χρόνοις, μεταγενεστέροις οὖσι τῶν τρωϊκῶν. ἦν δὲ τῶν τρωϊκῶν, … πόλεις εἶχεν ἡ κρήτη. ἐν γὰρ τῷ καταλόγῳ, ὅμηρος, οὐκ εἰσάγει πρόσωπον ἀπαγγέλλον τὰς ρ πόλεις. ἀλλ᾽ αὐτὸς λέγει εἶναι ἑκατόμπολιν. ΟΤΙ ἡ ἐνόπλιος ὄρχησις, κουρήτων μὲν ἐστὶν εὕρεμα, τῶν περὶ τὸν δία δαιμόνων. καλεῖται δὲ, πυρρίχη. ΟΤΙ πρὸς τοὺς προσποιουμένους μὴ εἰδέναι ἃ ἴσασιν, παροιμία ἐτέθη. ὁ κρὴς, ἀγνοεῖ τὴν θάλασσαν. οἱ γὰρ κρῆτες, ἐθαλασσοκράτησαν πρῶτοι ναυτικῷ μεγάλῳ χρώμενοι. ΟΤΙ σίφνος νῆσός ἐστιν εὐτελὴς, ἐφ᾽ ἧ καὶ παροιμία ἐλέχθη. σίφνιος ἀστράγαλος, διὰ τὴν εὐτέλειαν.

ΟΤΙ αἱ κυκλάδες νῆσοι, ιβ ἦσαν πρίν. ὕστερον δὲ, καὶ ἄλλαι ταύταις προσεγένοντο. ἄρχονται δὲ αὗται, ἀπὸ νήσου τῆς πρὸ τοῦ σουνίου ἑλένης καλουμένης, περὶ ἧς ὅμηρος ἔφη.

νήσῳ δ᾽ ἐν κραναῇ ἐμίγην φιλότητι. εἰσὶ δ᾽ αὗται. κέως, κύθνος, σέριφος, μῆλος, σίφνος, κίμωλος, πρεπέσινθος, ὠλίαρος, πάρος, νάξος, σύρος, μύκονος, τῆνος, ἄνδρος, γύαρος. αἱ δὲ σποράδες νῆσοι, ἀνατολικώτεραί εἰσι τῆς κρήτης. οἷαί εἰσιν, αἱ περὶ νίσυρον καὶ κῶν καὶ καλύδνας καὶ λέρον καὶ πάτμον.

ΧΡΗΣΤΟΜΑΘΕΙΑΙ ΕΚ ΤΩΝ

στράβωνος γεωγραφικῶν

βιβλίον ια.

ΟΤΙ τὸ ὄρος ὁ ταῦρος ὃς διαιρεῖ δίχα τὴν ἀσίαν κατὰ μῆκος. πλάτος μὲν ἔχει πολλαχοῦ, καὶ ,γ σταδίων. μῆκος δὲ ὅσον καὶ τῆς ἀσίας, μυριάδων δ καὶ ,ε, ἀπὸ τῆς ῥοδίων περαίας, ἕως τῶν ἄκρων τῆς ἰνδικῆς. ΟΤΙ ἡ παρθυαία καὶ μηδία καὶ ἀρμενία καὶ καππαδοκῶν τινὲς καὶ κίλικες καὶ πισίδαι, ἐν τῷ αὐτῷ ταύρῳ ὄρει κεῖνται. ΟΤΙ ὁ ἰσθμὸς ἀπὸ τοῦ εὐξείνου πόντου ἕως



Saltatio armata curetū inuentū uoca[tur] q: pyrrhic[a]

Paroe.

Cres ignorat mare

Hom.

Siphnus ins[ula]

Paroe.

σίφνιος ἀστράγαλος

Cyclades q[uo]t & earū nomiā

Sporades

Taur[us] M.

Περαία

Cyclades

Sporades

τὸν ὑρκάνιον, στάδια ἐστὶν ͵ϛ. καὶ ἀπὸ τοῦ πρὸς βορρᾶν, οἷον χερρόνησός ἐστιν μεγάλη περιεχομένη ἐκ μὲν δυσμῶν, ὑπό τε εὐξείνῳ, καὶ τῇ μαιώτιδι, καὶ τανάϊδι ποταμῷ, καὶ τῇ ἑξῆς ἐρήμῳ καὶ ἀγνώστῳ γῇ, ἕως τοῦ ὠκεανοῦ. εἰ δὲ καὶ ὁ ὠκεανὸς ἐκ τοῦ βορρᾶ περιέχει τὴν οἰκουμένην, ἀπ' αὐτοῦ αὖθις ἐπὶ νότον ἰόντι, ἕως τῆς κασπίας θαλάσσης τῆς κατὰ ἀλβανίαν. ΟΤΙ πομπήϊος φίλος ἦν ποσειδωνίου. ἐλθὼν οὖν εἰς ῥόδον, ὅτε ἐπὶ τὸν μιθριδατικὸν ἐξώρμα πόλεμον, ἐνέτυχέ τε αὐτῷ, καὶ χρηματίσας ὅσων ἐδεῖτο, ἔφησεν ἔσχατον εἴ τινος δέοιτο. ὁ δὲ ἀπεκρίνατο, βούλομαί σε ὦ πομπήϊε, αἰὲν ἀριστεύειν καὶ ὑπείροχον ἔμμεναι ἄλλων. ἐξ οὗ καὶ τὰ κατὰ ἰβηρίαν καὶ ἀλβανίαν καὶ ἀρμενίαν, ἐπύθετο. ΟΤΙ τὴν ἀσίαν πᾶσαν, διαιρεῖ ὁ στράβων εἰς μέρη ε. πρῶτον μὲν, τὴν ἀπὸ ἰβηρίας τοῦ ἰσθμοῦ ἀρχομένην χερρόνησον, ἐπὶ τὸν βορρᾶν. δεύτερον δὲ, τὴν ἀπὸ τῆς χερρονήσου ταύτης πρὸς ἀνατολὰς γῆν ἀφοριζομένην ὑπὸ τοῦ ταύρου, ἥ τις ἐστὶν ἡ βορεία ἀσία ἕως ἰνδῶν. τρίτον δὲ, τὴν μεταξὺ ταύρου ὄρους καὶ κασπίας θαλάσσης. τοῦτ' ἔστιν μηδία καὶ ἀρμενία, καὶ ἕως ἅλυος ποταμοῦ. τέταρτον δὲ, τὴν ἐντὸς ἅλυος γῆν καὶ αὐτὸν τὸν ταῦρον, ἕως τῆς κιλικίας θαλάσσης καὶ μέχρι ἰωνίας καὶ χαλκηδόνος. πέμπτον δὲ, τήν τε ἰνδικὴν καὶ ἀριανὴν καὶ ἐφεξῆς πρὸς δυσμὰς, ἕως κιλικίας τε καὶ τοῦ νείλου καὶ τοῦ ἀραβίου κόλπου. ΟΤΙ ἡ κολχὶς, μεταξὺ τῶν τε μοσχικῶν καὶ καυκασίων ὀρέων κεῖται.

ΟΤΙ ἀπὸ βοσπόρου τοῦ κιμμερίου, ἕως νήσου ἀλωπεκίας, στάδια μ σ̄. ΟΤΙ ἐν τῇ ἀνατολικῇ πλευρᾷ τῆς μαιώτιδός ἐστιν ποταμὸς, ὁ μέγας ῥομβίτης. εἶτα θεοφάνιος. εἶτα μικρὸς ῥομβίτης. εἶτα οὐαρδάνης. πάντες οὗτοι ποταμοὶ, ἔκ τε τῶν ἱππικῶν ὀρέων ἔρχονται, καὶ ἐκ τῶν καυκασίων.

ΟΤΙ τὸ κιμμέριον ἄκρον τὸ ἐν τῇ μαιώτιδι, πάλαι ἴσχυσεν πλεῖστον, ὥς τε καὶ τὸν βόσπορον κιμμέριον ἐξ αὐτοῦ κληθῆναι. εἶτα ἀπὸ σταδίων κ̄ ἀχίλλειον κώμη, ὅπου καὶ τὸ στενότατον τοῦ

τοῦ

Pompeius
Posidonii
Asiam totã diuidi à Strabone in 5. partes
Colchis
Alopecia insula
Rhombites magn. fl.
Theophani. fl.
Rhombites paruus. fl.
Vardanes
Hippici Montes
Cimmeriũ prom
Achilleũ. Vic
ἄκρον
Caucasij montes

νοταπηλιωτικόν
νοτολυβικόν



πορθμοῦ τοῦ βοσπόρου. ἔχει γὰρ κ̄ σταδίους. οὗ ἀντιπέραν ἐν τῇ εὐρώπῃ, τὸ μυρμήκιόν ἐστιν. τὸ δὲ νοταπηλιωτικὸν τοῦ βοσπόρου στόμα, κοροκονδάμη. τὸ δὲ νοτολυβικὸν, κώμη τίς τῆς παντικαπαίων γῆς, ὄνομα ἄκρα. μῆκος τοῦ βοσπόρου στάδιοι ο̄.

ΟΤΙ ἡ φαναγορία καὶ ἡ ἑρμώνασσα, πόλεις εἰσὶν ἀξιόλογοι περὶ τὰ ἀσιανὰ μέρη. ΟΤΙ παραθαλάσσιος πόλις σινδική ἐστιν, τὸ τῶν σινδῶν βασίλειον.

ΟΤΙ τῶν εὐρωπαίων βοσποριανῶν, μητρόπολίς ἐστιν, τὸ παντικάπαιον. τῶν δὲ ἀσιανῶν, ἡ φαναγορία.

ΟΤΙ ἡνίοχοι καὶ ἀχαιοὶ καὶ ζυγιοὶ, λυπρὰν γῆν οἰκοῦντες, λῃστεύουσι τὴν ποντικὴν θάλασσαν. ἔχοντες πλοῖα κοῦφα μακρὰ, δυνάμενα ἐν τοῖς ὤμοις αἴρεσθαι καὶ ἐν ὕλῃ κρύπτεσθαι, διὰ τὸ ἀλίμενον εἶναι τὴν ταύτῃ θάλασσαν, κρατουμένην ὑπὸ τῶν καυκάσου ἄκρων. καλοῦσι δὲ αὐτὰ, καμάρας.

ΟΤΙ ὁ καύκασος τὸ ὄρος, περικλείει ἀπὸ βορρᾶ, τὰς δύο θαλάσσας κασπίαν τε καὶ πόντον. εἶργον σαρμάτας τε καὶ μαιώτας, ἀπὸ ἰβήρων καὶ ἀλβανῶν. ἔστιν δὲ εὐδενδρότατον τὸ ὄρος. ἀπολήγει δ' αὐτοῦ τὸ νοτολιβυκὸν ἄκρον, κατὰ τὰ μυχὰ τοῦ εὐξείνου, ἔνθα πόλις διοσκουριάς. ἥ τις πόλις, καὶ ἀρχή ἐστιν τοῦ ἰσθμοῦ τοῦ μεταξὺ εὐξείνου καὶ ὑρκανίας, καὶ ἐμπορεῖόν ἐστιν αὕτη ἡ διοσκουρίας, πάντων τῶν ἀνατολικωτέρων ἐθνῶν κοινόν. συνέρχεσθαι γάρ φασιν εἰς αὐτὴν ἔθνη, ἀλλήλων ἑτερόγλωσσα, πλείω τῶν ο̄. ΟΤΙ ἀπὸ φάσιδος ποταμοῦ, ἕως ἀμισοῦ καὶ σινώπης, πλοῦς ἡμερῶν γ̄. καὶ ἔστιν ἡ χώρα αὕτη ἀγαθὴ, πλὴν μέλιτος, πικρίζει γάρ. ΟΤΙ ἡ μοσχικὴ χώρα, τριμερής ἐστιν. τὸ μὲν γὰρ ἔχουσιν αὐτῆς, κόλχοι. τὸ δὲ ἴβηρες. τὸ δὲ ἀρμένιοι. ΟΤΙ τὸ τῶν φθειροφάγων ἔθνος καὶ αὐτὸν σὺν τοῖς ἄλλοις, ἐμπορείῳ χρῆται τῇ διοσκουριάδι. οὕτως δὲ καλοῦνται, διὰ τὸν αὐχμὸν καὶ τὸν πίνον. ΟΤΙ καὶ οἱ σοάνες, οὐδὲν βελτίους τῶν φθειροφάγων ὑπὸ πίνου εἰσίν. ἔχουσι δὲ καὶ μέταλλα χρυσοῦ, ἅ τινα οἱ χείμαρροι καταφέρουσιν. ὑποδέχον-

t 3 ται

Angustissimũ bosphorus ub
Myrmeciũ
Corocandam
Acra
Phænagoria
Hermonassa
Sindice
Sindi
Bosporiani
Panticapæo
Heniochi
Achæi
Zygij
Camaræ naues
Dioscurias
Moschica regio
Colchi
Iberes
Armenij
Phthirophagi
Soanes

Armenij pars moschorũ

∴ ὁ κῦρος ex omnibus.

ται δ' αὐτὰ οἱ σοάνες, φάτναις ὀπὰς ἐχούσαις, ἢ προβάτων μαλλωτῶν δοραῖς. ἀφ' οὗ καὶ ὁ μῦθος ἐπλάσθη τοῦ αἰήτου, ὡς ἔχοι τό τε χρυσόμαλλον δέρας.

Fabula aurei uelleris unde fluxit

ΟΤΙ ὁ κῦρος ποταμός, τὴν ἀρχὴν ἔχων ἐξ ἀρμενίας, παραλαβὼν τὸν ἀράγωνα ἐκ τοῦ καυκάσου ῥέοντα, καὶ ἄλλα ὕδατα ποταμῶν, διὰ στενῆς ποταμίας εἰς τὴν ἀλβανίαν ἐκπίπτει. μεταξὺ δὲ ταύτης τε καὶ τῆς ἀρμενίας, ἐνεχθεὶς πολὺς διὰ πεδίων ἀγαθῶν, δεξάμενός τε πλείστους ποταμούς, ὧν ἐστιν ὅ, τε ἀλαζόνιος καὶ ὁ σανδοβάνης καὶ ὁ ῥοιτάκης καὶ χάνης πλωτοὶ πάντες, εἰς τὴν κασπίαν ἐμβάλλει θάλασσαν.

Cyrus fl. · Arago fl. · Alazonius fl. · Sandobanes, Rhoetacus, Chanes fl.

ΟΤΙ ὁ φᾶσις ποταμὸς ἐξ ἀρμενίας ὁρμώμενος, δέχεται ποταμοὺς τόν τε ἵππον καὶ τὸν γλαῦκον, καὶ ἔξεισιν εἰς τὸν πόντον, πλησίον ὁμωνύμου πόλεως.

Hippus, Phasis, Glaucus fl.

ΟΤΙ οἱ ἀλβανοὶ γῆν νέμονται, δίκην τῆς κυκλώπων ἀγαθωτάτην, οἵαν φησὶν ἐκεῖνος. ἀλλ' ἡ γῆ ἄσπαρτος καὶ ἀνήροτος καρποφορεῖ. καὶ αἱ ἄμπελοι αὐτοῖς, ἄσκαφοι. καὶ διὰ πενταετίας κλαδευόμεναι, φέρουσι τὸν καρπόν. ἡ δὲ χώρα, οὐδὲ σιδήρῳ τέμνεται, ἀλλὰ ὑπὸ τοῦ ἀρότρου ξύλῳ. καὶ ἅπαξ σπαρεῖσα, ὅπου διετίαν ἢ καὶ τριετίαν καρποφορεῖ. οἵ τε ποταμοὶ αὐτοῖς, τὴν γῆν ποτίζουσιν, ὥσπερ ὁ νεῖλος καὶ ὁ εὐφράτης. ὡς ἁπλῶς, ὑπερβολὴν οὐκ ἀπολείπει ἡ χοῦς τῆς ἀλβανίας, εἰς ἀρετὴν καρπογονίας. οὕτως δὲ δεῖ λέγειν καὶ θηλυκῶς, ἡ χοῦς. εἰσὶ δὲ αὐτοῖς, καὶ τὰ κτήνη πολύτοκα. καὶ αὐτοί, καλοί τε τὰς ὄψεις καὶ μεγάλοι καὶ ἁπλοῖ τοῖς ἤθεσι. καὶ διὰ τὴν εὐθηνίαν, οὐκ ἴσασιν τινὲς αὐτῶν ἀριθμεῖν. οἱ δὲ εἰδότες, οὐ πλείω τῶν ρ̄ μετροῦσιν.

ἡ χοῦς

ΟΤΙ περὶ ἀλβανίαν, ἐστὶ χώρα τῶν ἀμαζόνων, πλησίον γαργαρέων, περὶ τὰ καυκάσια ὄρη. αἳ καὶ δύο μόνους μῆνας τοῦ ἐνιαυτοῦ συνιᾶσιν τοῖς γαργαρεῦσι, τεκνοποιίας χάριν. τοὺς δὲ ῑ. καθ' αὑτὰς οἰκοῦσι χωρίς, ἀσκοῦσαι τὰ πολέμια. τῶν δὲ τικτομένων, τὰ μὲν θήλεα, αὐταὶ ἔχουσιν. τὰ δ' ἄῤῥενα, τοῖς γαργαρεῦσιν διδόασι. μαρτυρεῖ καὶ ἀῤῥιανὸς τοῦτο, λέγων ὅτι τῷ βασιλεῖ ἀλεξάνδρῳ, φαρασμάνης ἐδωρήσατο ἀμαζόνας φ̄.

Amazonū regio · Gargarenses · Pharesmanes

ὅτι

στενῆς ποταμι



ΟΤΙ τὰ ὑψηλότατα μέρη τοῦ καυκάσου, τὰ νοτιώτατά ἐστιν, τὰ πρὸς ἀλβανίᾳ καὶ ἰβηρίᾳ καὶ κόλχοις καὶ ἡνιόχοις.

ΟΤΙ αἱ τοῦ καυκάσου κορυφαί, χειμῶνος μὲν ἄβατοι. θέρους δὲ προσβαίνουσιν, ὑποδούμενοι κεντρωτὰ ὠμοβοῖνα δίκην τυμπάνων πλατέα, διὰ τὰς χιόνας καὶ τοὺς κρυστάλλους. καταβαίνουσι δ' ἐπὶ δορᾶς κείμενοι σὺν τοῖς φορτίοις καὶ κατολισθαίνοντες. ὅπερ καὶ κατὰ τὴν ἀτροπατίαν μηδίαν, καὶ κατὰ τὸ μάσιον ὄρος τὸ ἐν ἀρμενίᾳ γίνεται. ἐνταῦθα δέ, καὶ τροχίσκοι ξύλινοι κεντρωτοί, τοῖς πέλμασιν ὑποτίθενται.

δίκην τυμπάνων · Atropatia media · Masiō mons

ΟΤΙ ὁ περίπλους τῆς ὑρκανίας θαλάσσης. ὁ μὲν παρὰ τοὺς ἀλβανοὺς καὶ τοὺς καδουσίους, ἐστὶν ͵ε ῡ σταδίων. ὁ δὲ παρὰ τὴν ἀριακῶν καὶ μαρδῶν καὶ ὑρκανῶν, μέχρι τοῦ στόματος τοῦ ὤξου ποταμοῦ ͵δ ω̄. ἐνθένδε ἐπὶ τοῦ ἰαξάρτου ͵β ῡ. τὰ δὲ λοιπά, ἕως νῦν ἀγνοεῖται.

Iaxartes fl · Ariace · Mardi

ΟΤΙ οἱ παλαιοί, ἠγνόουν τὰ κατὰ γεωγραφίαν. ἡ δὲ τοῦ ἀλεξάνδρου εἰς ἰνδοὺς ἄφιξις, καὶ ἡ τῶν ῥωμαίων καὶ παρθυαίων ἐπικράτεια, πολλὰ τῶν ἀγνοουμένων ἐφανέρωσεν.

ΟΤΙ ἡ ὑρκανία εὐδαιμονεστάτη ἐστίν, καὶ ἡ πλείστη πεδιάς.

ΟΤΙ ὁ ὦξος ποταμός, μέγιστός ἐστιν πάντων τῶν ποταμῶν, ὅσους ὁ ἀλέξανδρος ἴδεν, πλὴν τῶν ἰνδικῶν ποταμῶν. ἐκεῖνοι γάρ, μέγιστοί εἰσιν.

Oxus fl. maximus omniū praeter indicos

ΟΤΙ ἐν ὑρκανίᾳ, πρόκεινταί τινες ἀκταὶ τῆς θαλάττης ὕπαντροι. τούτων δὲ μεταξὺ καὶ τῆς θαλάσσης, ὑπόκειται ταπεινὸς αἰγιαλός. ἐκ δὲ τῶν ὕπερθε κρημνῶν ποταμοὶ ῥέοντες, τοσαύτην προσφέρονται βίαν, ὥς τε ταῖς ἀκταῖς συνάψαντες, ἐξακοντίζουσι τὸ ὕδωρ εἰς τὴν θάλατταν, ἄῤῥαντον φυλάττοντες τὸν αἰγιαλόν, ὥς τε καὶ στρατοπέδοις ὁδεύσιμον εἶναι σκεπαζομένοις τῷ ῥεύματι.

De Araxe hoc Mela

ΟΤΙ ὁ εὐφράτης ποταμός, διαιρεῖ τὰς δύο ἀρμενίας, μικράν τε καὶ μεγάλην.

Euphrates armenias 2 diuidit

ΟΤΙ αἱ πηγαὶ εὐφράτου καὶ τίγριδος, διέχουσιν ἀλλήλων, σταδίους ͵β φ̄. συμβάλλουσι δὲ κατὰ σελεύκειαν πόλιν. καὶ ἔστιν ὁ εὐφράτης, τοῦ τίγριδος μείζων, καὶ πλείονα γῆν ἐπερ-

Seleucia

ἐπέρ-

Tympanorum instar

ἐπέρχεται. ῥέων δ' ἤδη δύσιν διὰ τῆς μεγάλης ἀρμενίας ἕως τῆς μικρᾶς, ἐν ἀριστερᾷ ἔχει τόν τε ἀντίταυρον τὸ ὄρος, καὶ τὴν βαλισηνὴν χώραν καὶ τὴν ἀκλισηνὴν καὶ τὴν σωφηνήν. ἐν δεξιᾷ δὲ τὴν μικρὰν ἀρμενίαν καὶ καππαδοκίαν καὶ τὸν ταῦρον τὸ ὄρος, καὶ μελιτηνὴν χώραν. ἔνθα καὶ μέλας ποταμὸς ἐκ τοῦ ταύρου ὄρους, εἰς τὸν εὐφράτην βάλλει. εἶτα ἐπιστραφεὶς πρὸς νότον, αὖθις τὴν κομμαγηνήν. εἶτα κυρρηστικήν, κατὰ τὸ ἄμανον ὄρος. εἶτα παλμυρηνὴν δυσμικωτέραν τε καὶ πολὺ νοτιωτέραν ἀφείς, κατὰ πόλιν σοῦραν ἤδη τῇ ἀρχῇ τῆς συρίας κειμένην, πρὸς ἀνατολὰς ἐπιστρέφει. ἐν δεξιᾷ μὲν ἔχων καὶ πρὸς νότον, τήν τε ἔρημον ἀραβίαν καὶ βαβυλωνίαν χώραν εὐδαίμονα μάλιστα οὖσαν. ἐν ἀριστερᾷ δὲ καὶ πρὸς βορρᾶν, τόν τε ἀντίταυρον τὸ ὄρος, καὶ τὸν ταῦρον ἐφεξῆς, κατὰ τὴν θωσπῖτιδα καὶ κορδιαίαν χώρας τῆς μεγάλης ἀρμενίας. εἶτα ἐφεξῆς μετὰ τὸν ταῦρον τὸ ὄρος, κατὰ μεσοποταμίαν ἔδεσσάν τε πόλιν καὶ ἀνθεμουσίαν χώραν καὶ χαλκῖτιδα, καὶ ἐπ' ἀγκωβαρῖτιδα ἀντικειμένην τῇ ἐρήμῳ ἀραβίᾳ, συμβάλλει τῷ τίγριδι κατὰ μεσήνην χώραν τῆς σουσιανῆς. εἶτα ἐπιὼν τὴν χαρακηνὴν χώραν, ἐκδίδωσιν εἰς τὸν περσικὸν κόλπον. κατὰ πόλιν μὲν τερηδόνα, κατὰ τὴν χώραν δὲ ἐλυμαΐτιδα τῆς σουσιανῆς. ΟΤΙ ὁ εὐφράτης κατὰ σελεύκειαν πόλιν μεγάλην, ἐπιστρέφει αὖθις πρὸς νότον ἔγγιστα πόλεως μεγάλης κτησιφῶντος, κειμένης ἐν τῷ τίγριδι. ὡς εἶναι τὸ μεταξὺ τῶν δύο ποταμῶν καὶ τῶν δύο πόλεων περὶ στάδια ιβ.

ΟΤΙ ἀπὸ τοῦ ἀντιταύρου ὄρους τῆς μικρᾶς ἀρμενίας, ἐξάρχονταί τινες ἀποσχίδες τῶν ὀρέων πρὸς βορρᾶν, ἄλλοις καὶ ἄλλοις ὀνόμασι χρώμεναι. ὧν ἐστὶν ἓν καὶ ὁ πολυάρρην καλούμενος, καὶ ὁ σκορδίσκος, καὶ τὰ μοσχικά, διήκοντα ἕως ἰβηρίας, διὰ μέσης ἀρμενίας κείμενα τῆς μεγάλης. ΟΤΙ ἐν μεσοποταμίᾳ, ὄρος ἐστὶν ὁ ταῦρος, συνεχὲς ὂν τῷ καππαδοκικῷ ταύρῳ, ὁ διορίζει ἀρμενίαν καὶ μεσοποταμίαν. εἶτα πρὸς ἀνατολάς, τά τε γορδυαῖα ὄρη, καὶ ὁ νιφάτης, ἐξ ὧν ὁ τίγρις ῥεῖ. καὶ τὸ μάσιον ὄρος

Balisena
Aclisena
Sophena
Melitena
Melas fl.
Cōmagene
Cyrestice
Palmyrena
Sura .V.
Thospitis
Coriæa
Edesa .V.
Anthemusia regio
Chalcitis reg.
Ancobaritis
Mesene regio susianæ
Characene .R.
Teredō .V.
Elymaitis susianæ regio
Ctesiphontis .V.
Polyarrhē .M.
Scordiscus .M.
Moschici .M.
Rami antitauri

Taurus a mycale ionica incipit & in ultima indis terminatur. Diuisa tota asia.



ὄρος, τὸ ὑπερκείμενον τῆς νισίβιδος πόλεως. εἶτα ἐφεξῆς πρὸς ἀνατολάς, τὰ χόαθρα ὄρη. εἶτα ὁ ζάγρος. εἶτα ὁ ὀρόντης. εἶτα ὁ κορωνός, ὁ διορίζων ἀπὸ παρθίας τὴν ὑρκανίαν. εἶτα τὰ σάριφα ὄρη τῆς μαργιανῆς, ἐξ ὧν ὁ ὦξος ποταμὸς ῥεῖ. εἶτα τὰ ἰδίως καυκάσια ὄρη, τὰ διείργοντα παροπανισάδας μὲν πρὸς δύσιν, ἰνδοὺς δὲ πρὸς ἀνατολάς. εἶτα τὸ ἴμαον, τὸ διορίζον σογδιανοὺς καὶ ἰνδούς. ταῦτα δὲ τὰ ὄρη πάντα ὡς ἓν λογισθέντα, ὁ ταῦρος ἐστὶ τὸ ὄρος, ὁ διαιρῶν πᾶσαν τὴν ἀσίαν δίχα. ἀπὸ μυκάλης τῆς ἰωνικῆς ἀρξάμενος, ἕως ἰνδῶν ἐσχάτων. ΟΤΙ αἱ κάσπιαι πύλαι, διορίζουσι. μηδίαν μὲν πρὸς δυσμάς. παρθίαν δέ, πρὸς εὖρον. ὑρκανίαν δέ, πρὸς καικίαν ἄνεμον. ΟΤΙ ἔξω τοῦ ταύρου ὄρους, οὐδὲν μέρος ἐστὶν, οὔτε τῆς μηδίας, οὔτε τῆς ἀρμενίας. ΟΤΙ ἡ μηδία, διχῇ διῄρηται. ἔστι γὰρ αὐτῆς, τὸ μὲν ἀνατολικόν, ὃ καὶ μεγάλη καλεῖται. ἧς μητρόπολις τὰ ἐκβάτανα, ὅπερ ἦν βασίλειον τῶν μηδικῶν βασιλέων. ἔνθα καὶ οἱ περσῶν βασιλεῖς, ἐθέριζον. ἐχείμαζον δ' ἐν σελευκείᾳ. τὸ δὲ δυτικόν, ἥ τις καλεῖται ἀτροπατηνή, ἀπὸ ἀτροπάτου σατράπου, ὃς ἐκώλυσε τὴν χώραν ταύτην, ὑπὸ μακεδόσι καὶ ἀλεξάνδρῳ τελέσαι. ἔστι δὲ ἡ χώρα, τῇ μὲν ἀρμενίᾳ καὶ τῇ ματιανῇ, πρὸς ἕω. τῇ δὲ μεγάλῃ μηδίᾳ, πρὸς δύσιν. πρὸς ἄρκτον δ' ἀμφοῖν. τῆς δὲ ἀτροπατηνῆς μέρος, ἥ τε καδουσία, καὶ ἡ παρὰ ξενοφῶντι καρδουχία, καὶ οἱ γῆλοι καὶ μάρδοι, ἕως τοῦ ἀράξου ποταμοῦ, ὃς ὁρίζει ἀρμενίαν καὶ ἀτροπατηνήν. αἱ δὲ κάσπιαι πύλαι, μεθόριόν εἰσιν τῆς τε μεγάλης μηδίας καὶ τῆς παρθυαίας καὶ ὑρκανίας.

ΟΤΙ τῆς ἀτροπατηνῆς χώρας, ὁ ἀτροπάτης ἐβασίλευσεν, ἕως ποταμοῦ ἀράξου, μετὰ τὴν ἀλεξάνδρου τελευτήν, καὶ διήρκεσεν ἤδη πολλὰ ἔτη, ἡ τούτου βασιλεία. ἐν δὲ τῇ ματιανῇ, λίμνη ἐστὶν ἅλας φέρουσα. ΟΤΙ λῃστικὰ ἔθνη δ' ἦν. μάρδοι μέν, πέρσαις γείτονες. οὔξιοι δὲ καὶ ἐλυμαῖοι, πέρσαις τε καὶ σουσίοις. κοσσαῖοι δέ, μήδοις. καὶ πάντες οὗτοι, φόρους ἐπράττοντο τοὺς τῆς ἀσίας βασιλεῖς. κοσσαῖοι δέ, καὶ δῶρα



In urbe ecbatanorū æstatē seleuciæ autē hyemē ducebāt reges mediæ

Imao .Mōs
Choathra mōs
Zagrus
Orontē
Coronus
Sariphа .M
Oxus ex Sariphis fluit
Taur' asiā totam diuidit
Caspiæ port.
Mediæ diuisio
Ecbatana .V
Atropatene
Cadusia
Carduchia
Geli
Mardi
Araxes fl.
Caspiæ .p.
Matiane

ἐλάμβανον, ἡνίκα ὁ βασιλεὺς θερίσας ἐν Ἐκβατάνοις ὑπέστρεφεν. ΟΤΙ ἄλλοι Ἐλυμαῖοι ἐν τῇ Ἐρυθρᾷ, καὶ ἕτεροι περὶ Μηδίαν. ΟΤΙ τὴν Σιτακηνὴν τῆς Ἀσσυρίας, τινὲς Ἀπολλωνιᾶτιν καλοῦσιν. ΟΤΙ ἡ ὑπὸ ταῖς Κασπίαις πύλαις χώρα, ταπεινή τέ ἐστιν καὶ εὐδαίμων καὶ πάμφορος, πλὴν ἐλαίας. ΟΤΙ δύο Κάσπιοί εἰσιν ἔθνη. οἱ μὲν δυσμικώτεροι τῶν Καδουσίων, περὶ τὴν ὁμώνυμον θάλασσαν καὶ τὸν Καμβύσην ποταμόν. οἱ δὲ γείτονες τῶν Παρθυαίων, ὧν εἰσὶν καὶ αἱ Κάσπιαι πύλαι. ΟΤΙ πλησίον τῶν περὶ Παρθυαίους Κασπίων πυλῶν ἐστιν, τὸ Νησαῖον πεδίον ἱππόβοτον. ὅθεν τοὺς Νησαίους ἵππους τοὺς καλλίστους, οἱ τῆς Ἀσίας βασιλεῖς ἤγοντο. φέρει δὲ τὸ πεδίον τοῦτο, βοτάνην πλείστην, ἣν ἡμεῖς Μηδικὴν καλοῦμεν. φέρει δὲ καὶ σίλφιον, ἡ χώρα αὕτη. ἀφ᾽ οὗ ὁ Μηδικὸς καλούμενος ὀπός, πολὺ τοῦ Κυρηναϊκοῦ λειπόμενος. ἔστιν δ᾽ ὅτε καὶ διαφόρων ἐκείνου, εἴτε παρὰ τὸν τόπον, εἴτε παρὰ τὸ φυτόν, εἴτε παρὰ τοὺς ὀπίζοντας καὶ σκευάζοντας. ΟΤΙ Μῆδοι, ἀρχηγέται εἰσὶν Περσῶν. δηλοῖ δὲ ἥ τε τιάρα, καὶ κίταρις, καὶ χειριδωτοὶ χιτῶνες, καὶ αἱ ἀναξυρίδες, ἅπερ τοῖς βορειοτέροις ἔθνεσιν οἰκεῖα διὰ τὴν ψῦξιν. ΟΤΙ Μηδικόν, τὸ μὴ ἐλάττους τῶν ε γυναικῶν, τίθεσθαι γαμετάς. ὡς αὔτως δὲ καὶ γυναιξί, συμφορὰν εἶναι, τὸ νέμειν ἐλάττονας, τῶν ε ἔχοντι γυναῖκας.

ΟΤΙ τῆς ἄλλης Μηδίας εὐδαίμονος οὔσης τελέως, λυπρά ἐστιν ἡ προσάρκτιος ὀρεινή. σιτοῦνται γοῦν ἀπὸ ἀκροδρύων. ἔκ τε μήλων ξηρῶν κοπέντων, ποιοῦνται μάζας. ἀπὸ δ᾽ ἀμυγδάλων φωχθέντων, ἄρτους. ἐκ δὲ ῥιζῶν τινων, οἶνον ἐκθλίβουσι. κρέασι δὲ χρῶνται θηρείοις. ἥμερα δ᾽ οὐ τρέφουσιν θρέμματα τοσαῦτα. ΟΤΙ τῆς Ἀρμενίας ἡ Χορζηνὴ καὶ Καμβυσηνή, προσβορώταταί εἰσιν χῶραι καὶ νιφόβολοι μάλιστα, συνάπτουσαι τῷ Καυκάσῳ καὶ τῇ Ἰβηρίᾳ. ὅπου φασὶν κατὰ τὰς ὑπερβολὰς τῶν ὀρῶν, πολλάκις καὶ συνοδίας ὅλας τῶν ὀρῶν ἐν τῇ χιόνι καταπίνεσθαι, νιφετῶν γινομένων ἐπὶ πλέον. ἔχειν δὲ βακτηρίας πρὸς

τοὺς

Elymæi multiplices — Sitiacene — Appollaniatis — Caspij duplices — Cambyses fl. — Nesæus campus — Nesæi equi — Medica herba — Medicus succus — μάζας — ChorZene — Cambysene

φωχθέντων

συνοδίας τῶν ὀρῶν



τοὺς τοιούτους κινδύνους, παρεξορύττοντας εἰς τὴν ἐπιφάνειαν, ἀναπνοῆς τε χάριν, καὶ τοῦ διαμηνύειν τοῖς ἐπιοῦσιν, ὥστε βοηθείας τυγχάνειν ἐν τῷ ἀνορύττεσθαι καὶ σώζεσθαι. ἐν δὲ τῇ χιόνι, βώλους πήγνυσθαί φασιν κοίλας, περιεχούσας χρηστὸν ὕδωρ ὡς ἐν χιτῶνι. καὶ ζῷα δ᾽ ἐν αὐτῇ γεννᾶσθαι. περισχισθέντων δὲ τῶν χιτώνων, πίνεσθαι. τὴν δὲ γένεσιν τῶν ζῴων, τοιαύτην εἰκάζουσιν, οἵαν τὴν τῶν κωνώπων, ἐκ τῆς ἐν τοῖς μετάλλοις φλογὸς καὶ τοῦ φεψάλου. ΟΤΙ ὁ Τίγρις, ἀπὸ τοῦ Νιφάτου ὄρους ὁρμηθείς, ταχύτατός ἐστιν καὶ ἄμικτος, ὡς καὶ τοὺς ἐγχωρίους καλεῖν Μηδιστὶ τίγριν, τὸ τόξευμα, διὰ τὸ τάχος.

ΟΤΙ ἐν τῇ Ἀκιλισηνῇ τῆς Ἀρμενίας, τιμᾶται ἡ Ἀναῖτις θεά. ᾗ ἀνατιθέασι δούλους καὶ δούλας, παρθένους τε εὐγενεῖς ἀνιεροῦσιν. ἃς πολὺν χρόνον καταπορνευθείσας παρὰ τῇ θεῷ, γῆμαι οὐδεὶς ἀπαξιοῖ. ὃ καὶ ἐν Λυδίᾳ ἔθος γεγενῆσθαι, Ἡρόδοτος ἱστορεῖ.

## ΧΡΗΣΤΟΜΑΘΕΙΑΙ ΕΚ ΤΩΝ Στράβωνος γεωγραφικῶν βιβλίου ιβ.

ΟΤΙ ἡ Καππαδοκία ὁρίζεται, πρὸς νότον μὲν τῷ Κιλικίῳ λεγομένῳ Ταύρῳ. πρὸς ἕω δὲ τῇ Ἀρμενίᾳ καὶ τῇ Κολχίδι, καὶ τοῖς μεταξὺ ἑτερογλώττοις ἔθνεσι. πρὸς ἄρκτον δὲ τῷ Εὐξείνῳ, μέχρι τῶν ἐκβολῶν τοῦ Ἅλυος. πρὸς δύσιν δὲ τῇ τε Παφλαγονίᾳ καὶ Γαλατίᾳ καὶ τῇ τῶν Φρυγίᾳ ὁμόρων, μέχρι Λυκαόνων καὶ Κιλίκων τῶν τὴν Τραχεῖαν Κιλικίαν νεμομένων χώρᾳ. ΟΤΙ τὴν ἐντὸς τοῦ Ταύρου ὄρους γῆν πρὸς δυσμάς, ἰδίως Ἀσίαν καλοῦσιν.

ΟΤΙ τὴν Καππαδοκίαν, εἰς δύο μέρη διαιροῦσι εἰς σατραπείας. ὧν τὴν μὲν μεγάλην φασίν, ἀφοριζομένην πρὸς τῷ Ταύρῳ. τὴν δὲ μικράν, καὶ Ποντοκαππαδοκίαν.



περιεξορύττοντα — Tigris unde dicta — Acilisene Armeniæ — Anaitis dea — Herodotus — Cappadocia — Asia proprie — Pontocappadocia

στρατηγίαι· ε

Melitene
Cataonia
Cilicia
Tyanitis
Garsauritis
Lauinasene
Sargysene
Sarauene
Chamamene
Moramene
Amanus·M· auulsio Tauri Cilicij·
Scordiscus·M·
Pyramus·fl·

καὶ ἑκατέρα, εἰς πέντε στρατηγίας διῃρέθη. ἡ μὲν μεγάλη, εἰς μελιτηνὴν, καταονίαν, κιλικίαν, τυανῖτιν, γαρσαυρῖτιν. ἡ δὲ μικρὰ, εἰς ἑτέρας πέντε, λαουϊνασηνὴν, σαργαυσηνὴν, σαραουηνὴν, χαμανηνὴν, μοραμηνήν. ΟΤΙ ἡ κομμαγηνὴ καὶ κυρρηστικὴ, νοτιώτεραι μέν εἰσιν τῆς σαραουηνῆς. δυσμικώτεραι δὲ τῆς ἀνθεμουσίας τε καὶ χαλκίτιδος τῶν ἐν μεσοποταμίᾳ. ἀνατολικώτεραι δὲ τῆς κατὰ ἰσσὸν κιλικίας. βορειότεραι δὲ χαλκιδικῆς τε καὶ παλμυρηνῆς, περὶ τὸν ἄμανον τὸ ὄρος κείμεναι. ὅς ἐστιν ἀπόσπασμα τοῦ κιλικίου ταύρου, καὶ περικλείων τὸν ἰσσικὸν κόλπον, καὶ κείμενος τῷ ἀντιταύρῳ ὄρει παράλληλος, καὶ ἔτι τῷ κατὰ τὸν πόντον σκορδίσκῳ ὄρει.

ΟΤΙ ὁ πύραμος ποταμὸς, διὰ τῆς καταονίας χώρας ῥεῖ, ἐκ μέσου τοῦ πεδίου τὰς πηγὰς ἔχων. ἔστιν δὲ βόθρος ἀξιόλογος, δι' οὗ καθαρόν ἐστιν τὸ ὕδωρ, ὑποφερόμενον κρυπτῶς μέχρι πολλοῦ διαστήματος ὑπὸ γῆς. εἶτ' ἀνατέλλον εἰς τὴν ἐπιφάνειαν. τῷ δὲ καθιέντι ἀκόντιον ἄνωθεν εἰς τὸν βόθρον, ἡ βία τοῦ ὕδατος ἀντιπράττει τοσοῦτον, ὥστε μόλις βαπτίζεσθαι. τῷ δὲ πλάτει καὶ βάθει πολὺς ἐνεχθεὶς, ἐπειδὰν συνάψῃ τῷ ταύρῳ, παράδοξον λαμβάνει τὴν συναγωγήν. παράδοξος δὲ καὶ ἡ διακοπὴ τοῦ ὄρους ἐστὶν, δι' ἧς ἄγεται τὸ ῥεῖθρον. καθάπερ γὰρ ἐν ταῖς ῥῆγμα λαβούσαις πέτραις καὶ σχισθείσαις δίχα, τὰς κατὰ τὴν ἑτέραν ἐξοχὰς καὶ κοιλότητας, τῇ ἑτέρᾳ ἐοικέναι, οὕτως εἴδομεν καὶ τὰς ὑποκειμένας τοῦ ποταμοῦ πέτρας ἑκατέρωθεν, σχεδόν τι μέχρι τῶν ἀκρωρειῶν ἀνατεινούσας ἐν διαστάσει διπλέθρῳ, ἀντικείμενα ἐχούσας τὰ κοῖλα ταῖς ἐξοχαῖς. τὸ δ' ἔδαφος τὸ μεταξὺ, πᾶν πετρινὸν βαθύ τι καὶ στενὸν τελέως. ἔχον διὰ μέσου ῥῆγμα, ὥστε καὶ κύνα καὶ λαγὼ διάλλεσθαι. ἔστιν δὲ τὸ μῆκος, περὶ χιλίους σταδίους ὀχετοῦ δίκην. τοσαύτην δὲ χοῦν ἐκ τῶν πεδίων κατάγει πρὸς τὴν θάλασσαν, ὥσπερ καὶ ὁ νεῖλος, ὡς καὶ λόγιον εἶναι περὶ αὐτοῦ.

ἔσσεται ἐσσομένοις, ὅτε πύραμος ἀργυροδίνης,





Argaeus·M·
Argeus·M·
Mazaca Caesarea
μίλτος ἀρίστη
Synopica rubrica
Iberica rub·
Onychites lapis
Crystallus
Halys·fl·
Leucosyri
Paphlagoniae termini

ἠιόνα προχέων ἱερὴν ἐς κύπρον ἵκηται.

ΟΤΙ τὸ ἐν καππαδοκίᾳ ὄρος τὸ ἀργαῖον, ὑψηλότατόν ἐστιν πάντων τῶν ἐκείνῃ ὀρῶν, ὡς μηδέποτε λείπεσθαι χιόνος τὰ ἄκρα αὐτοῦ. οἱ δὲ ἀναβάντες εἰς αὐτὰ, ὁρῶσι τὰ δύο πελάγη, τό, τε ποντικὸν καὶ τὸ ἰσσικόν. ΟΤΙ τῆς ἁπάσης σχεδὸν καππαδοκίας οὔσης ὀλιγοξύλου, μόνος ὁ ἀργαῖος τὸ ὄρος ἐστὶ πολύξυλον. ὅμως δ' ἔχει κατὰ γῆς συχνὰ πυρὰ, ἃ τῇ νυκτὶ διαφαίνεται. καὶ πάλιν ἐγγύθεν, ψυχρὰ ὕδατα ἀφανῆ ὑπόγεια. οἱ γοῦν ἔμπειροι τοῦ τόπου, φυλαττόμενοι ξυλεύονται. οἱ δ' ἄπειροι καὶ τὰ κτήνη, κινδυνεύουσι πολλάκις, εἰς λάκκους πυρὸς ἐμπίπτοντες. ΟΤΙ τὰ μάζακα τῆς καππαδοκίας ἀπέχει, τῆς μὲν ποντικῆς θαλάσσης, σταδίους ω. τοῦ δὲ εὐφράτου α φ. τῶν δὲ κιλικίων πυλῶν, ὁδὸν ἡμερῶν ϛ. τῶν δὲ κυβίστρων τ. νῦν δὲ καλεῖται, καισάρεια.

ΟΤΙ τὸ τῆς καππαδοκίας μέγεθος, τὸ μὲν πλάτος ἀπὸ τοῦ πόντου πρὸς τὸν ταῦρον, στάδιοι α ω. μῆκος δὲ ἀπὸ τῆς λυκαονίας καὶ φρυγίας, μέχρι εὐφράτου πρὸς τὴν ἕω καὶ τὴν ἀρμενίαν γ. ΟΤΙ ἐν καππαδοκίᾳ, γίνεται ἀρίστη μίλτος ἡ σινωπικὴ καλουμένη, διὰ τὸ κατάγειν τοὺς ἐμπόρους ταύτην εἰς σινώπην. ἐνάμιλλος δ' ἐστὶν αὐτῇ, καὶ ἡ ἰβηρική. ἔχει δὲ καὶ μέταλλα, πλάκας τε ὀνυχίτου λίθου καὶ κρυστάλλου, πλησίον γαλατῶν. ΟΤΙ ὁ ἅλυς ποταμὸς, ὁρίζει παφλαγόνας καὶ καππάδοκας. ΟΤΙ μιθριδάτης ὁ εὐπάτωρ, ἦρξεν τοῦ πόντου, ἕως ἡρακλείας. τὰ δὲ δυσμικώτερα, ὑπὸ τῷ τῶν βιθυνῶν βασιλεῖ ἐτέλουν. ΟΤΙ ὁ ἅλυς ποταμὸς, διορίζει καππαδοκίαν τὴν τῶν λευκοσύρων, καὶ παφλαγονίαν.

ΟΤΙ λευκόσυροι καλοῦνται, οἱ παράλιοι ἐν τῷ πόντῳ καππάδοκαι, οἱ ἐντὸς τοῦ ταύρου διὰ τὸ χρῶμα. συμβαίνει γὰρ τοὺς νοτιωτέρους καὶ ἀνατολικωτέρους τοῦ ταύρου, μέλανας εἶναι. τούτους δὲ λευκούς. ΟΤΙ διορίζει παφλαγονίαν, ὁ μὲν πόντος ἐκ βορρᾶ, ὁ δὲ ἅλυς ἐξ ἀνατολῶν, ἡ δὲ φρυγία καὶ

γαλατία πρὸς νότον, ἡ δὲ βιθυνία πρὸς δυσμάς. οἱ δὲ λευκόσυροι, ἀνατολικώτεροι εἰσὶν τοῦ ἅλυος ποταμοῦ, παραθαλάσσιοι δέ. ΟΤΙ ἡ ἄμαστρις ἐκλήθη, ἀπὸ γυναικὸς ἀμάστριδος, συμβίου διονυσίου τοῦ ἡρακλείας τυράννου. θυγατρὸς δὲ ὀξυάθρου τοῦ δαρείου ἀδελφοῦ, τοῦ καταπολεμηθέντος ὑπὸ ἀλεξάνδρου. ΟΤΙ σήσαμος ἐκαλεῖτο πρὶν, ἡ νῦν ἄμαστρις πόλις. συνῳκίσθη δὲ ὑπό τε κρώμνης καὶ κυτώρου καὶ τίου, καὶ αὐτῆς σησάμου. ΟΤΙ κύτωρος καλεῖται ἡ πόλις, ἀπὸ κυτώρου τοῦ φρίξου παιδός. ΟΤΙ οὓς καλεῖ ὅμηρος ὑψηλοὺς ἐρυθίνους, δύο εἰσὶν σκόπελοι ἐρυθροὶ τὸ χρῶμα. νῦν δὲ ἐρυθρῖνοι καλοῦνται. ΟΤΙ ἡ ἀρμένη, ἄκρον καὶ λιμὴν πλησίον σινώπης τετειχισμένον ἔρημον. περὶ οὗ παροιμία ἐλέχθη. ὅς ἔργον οὐκ εἶχεν, ἀρμένην ἐτείχισεν. καὶ ἔστιν τὸ μέτρον ἰαμβικόν. ΟΤΙ ἡ σινώπη πόλις, μιλησίων ἐστὶν ἄποικος, καὶ πολλὰ ἴσχυσεν πρὶν, καὶ ἔχει ὑπήκοον χώρας. ὕστερον δ' ἐκυριεύθη ὑπὸ ἀρμενίων, ἕως μιθριδάτου τοῦ εὐπάτορος, ὃς καὶ ἐτέχθη καὶ ἐτάφη ἐν σινώπῃ. ΟΤΙ δὶς ἡ σινώπη ἑάλω. πρὶν μὲν ὑπὸ φαρνάκου, αἰφνιδίως ἐπεισελθόντος. ὕστερον δ' ὑπὸ λευκόλλου, καὶ τοῦ ἐγκαθημένου τυράννου, καὶ ἐντὸς ἅμα καὶ ἐκτὸς πολιορκουμένη. ὁ γὰρ φρούραρχος βακχίδης, ὑπονοῶν ἀεί τινα προδοσίαν ἐκ τῶν ἔνδον, πολλὰς σφαγὰς ἐπετέλει. καὶ διὰ τοῦτο ἀπηγόρευσαν καὶ ἐδουλώθησαν ταῖς γνώμαις οἱ σινωπεῖς, καὶ οὐκ ἠμύνοντο κατὰ ῥωμαίων.

ΟΤΙ μαντεῖον ἦν ἐν σινώπῃ, ὅθεν διογένης τὸν χρησμὸν ἔλαβεν, ἵνα παραχαράξῃ τὸ νόμισμα. ἡ δὲ σινώπη ἤνεγκε, φιλοσόφων μὲν διογένη, καὶ τιμόθεον τὸν πατρίωνα. ποιητῶν δὲ δίφιλον τὸν κωμικόν, συγγραφέων δὲ βάτωνα. ΟΤΙ ὁ ἅλυς ποταμός, ἐκ τῶν ἁλῶν ὀνόμασται δι' ὧν ῥεῖ. αἱ δὲ πηγαὶ αὐτοῦ, ἐκ τῆς μεγάλης καππαδοκίας τῆς ποντικῆς εἰσίν.

ΟΤΙ μετὰ τὸν ἅλυν, ἡ γαδιλωνῖτις ἐστὶν χώρα, εὐδαίμων πᾶσα καὶ πεδιὰς καὶ πάμφορος. ἔχει δὲ καὶ προβατίαν, ὑποδι-

φθέρου

Marginalia (left): Amastris, Sesamus, Cytorus, Homer, Erythini excelsi homero g, Armene, Sinope, Halys unde & ubi eius fontes, Gadilonitis regio

ὃς ἔργον οὐκ εἶχεν ἀρμένην ἐτείχισεν



φθέρου καὶ μαλακῆς ἐρέας. ΟΤΙ ἀμισός, μιλησίων ἐστὶν κτίσμα, χώραν ἔχουσα ἀγαθήν. ΟΤΙ ὁ ἶρις ποταμός, διὰ μέσων κομάνων πόλεως ῥεῖ, καὶ διὰ τοῦ τείχους τῆς ἀμασίας πόλεως. ΟΤΙ στράβων οὗτος ὁ γεωγράφος, ἀπὸ ἀμασίας ἦν πόλεως ποντικῆς. ΟΤΙ ἡ θεμίσκυρα χώρα, κατάρρυτός ἐστιν ποταμοῖς, διὸ καὶ ἀεὶ χλοάζει. τὰ δὲ ὀρεινὰ αὐτῆς, αὐτόφυτα δενδροφόρα ἐστὶν ἡμέρων καὶ ἀγρίων καρπῶν, ὥστε μηδέποτε λείπειν δι' ὅλου τοῦ ἐνιαυτοῦ καρπὸν δενδρῶν ἐκεῖσε.

ΟΤΙ τοὺς νῦν σάννους οἱ παλαιοί, μάκρωνας ἐκάλουν.

ΟΤΙ οἱ νῦν χαλδαῖοι, χάλυβες πρὶν ὠνομάζοντο.

ΟΤΙ στράβων ἀγωνίζεται ἐξηγεῖσθαι, τὰ ὁμηρικὰ ἔπη ταῦτα. αὐτὰρ ἁλιζώνων ὁ δίος καὶ ἐπίστροφος ἦρχον, τηλόθεν ἐξ ἀλύβης. ὡς ὅτι ἁλιζῶνες οὗτοι εἰσίν, οἱ νῦν περὶ τὴν τραπεζοῦντα οἰκοῦντες χαλδαῖοι. οἱ πρὶν μὲν, χάλυβες ἐκαλοῦντο. ἔτι δὲ πρότερον, ἄλυβες ὡς ἔφη ὅμηρος, τηλόθεν ἐξ ἀλύβης. ἔτι δὲ πρότερον ἁλιζῶνες. καὶ γὰρ ὁ χρόνος ῥέων, εἴωθεν τὰς τῶν ἐθνῶν κλήσεις μετασχηματίζειν. σίντιες μὲν γὰρ ἔθνος θρακικόν, τὸ τὴν λῆμνον οἰκῆσαν. εἶτα σίντοι. εἶτα σάϊοι. ὡς ἀρχίλοχος. ἀσπίδα μὲν σαΐων τις ἀγάλλεται. εἶτα σάπαι, νῦν περὶ τὰ ἄβδηρα πόλιν οἰκοῦντες. πάλιν βρύγοι, βρέγες, βρύγες, φρύγες, οἱ αὐτοί. πάλιν μαίονες, μήονες. οὕτως οὖν χαλδαῖοι, χάλυβες, ἄλυβες, τηλόθεν ἐξ ἀλύβης. καὶ τὸ τηλόθεν προσκείμενον σημεῖον ποιεῖται τούτου. τινὲς δὲ περὶ τὴν τοῦ ῥυνδακοῦ ποταμοῦ χώραν φασίν, τοὺς ἁλιζῶνας οἰκεῖν. ἄλλοι, περὶ κύμην τὴν αἰολικήν. ἢ περὶ τὴν μυρλεάτιδα γῆν. ἢ περὶ τὰ πύγελα, τῆς ἐφεσίας ἐγγὺς ἢ πριήνης. ΟΤΙ τὸ τηλόθεν ἐξ ἀλύβης παρέλκειν φασίν, ὡς τὸ τηλ' ἐξ ἀσκανίας. καὶ ἦλθε τοῦ ἀρναίου, τὸ γὰρ θέτο πότνια μήτηρ. καὶ ἦλθε τῆς πηνελόπης, εἵλετο δὲ κληῗδ' εὐκαμπέα χειρὶ παχείῃ, καὶ τὸ οἰωνοῖσί τε πᾶσι. καὶ ἐείκοσι πᾶσαι ἐφύσων. ΟΤΙ ὁ πακτωλὸς ποταμὸς καὶ ὁ ὕλλος, εἰς τὸν ἕρμον ἐμβάλλουσιν. γεννῶνται δὲ ἐκ τοῦ τμώλου ὄρους, πλησίον σάρδεων πόλεως.

ὅτι

Marginalia (right): Amisus, Iris fl., Themiscyra regio, Sanni, Macrones, Hom, Chaldaei, Chalybes, Alizones, Alybes, Sinties, Sinti, Saii, Sapae, Brygi, Breges, Bryges, Phryges, Maeones, Meones, Rhyndacus fl., Paetolus, Hyllus f

ὁ χρόνος ῥέων εἴωθεν τὰς τῶν ἐθνῶν κλήσεις μετασχηματίζειν

ΟΤΙ ἡ μικρὰ ἀρμενία, ἦρξέ ποτε τιβαρηνῶν τε καὶ χαλδαίων καὶ φαρνακίων. ἀλλ' ὁ εὐπάτωρ μιθριδάτης, τούτους ταπεινώσας, τὴν ἀρχὴν αὐτῶν ὑφετερίσατο καὶ ἐπὶ κόλχων ἦρξεν.

ΟΤΙ τῇ φαρνακίᾳ, συνεχής ἐστιν ἡ σιδήνη καὶ ἡ θεμίσκυρα. ταύτῃ δ' ἡ φαναροία ὑπόκειται, ἐλεόφυτος χώρα καὶ εὐδαιμόνων, μεταξὺ κειμένη λύκου τε ποταμοῦ καὶ ἴριδος ποταμοῦ. ΟΤΙ ὑπὲρ τὴν φαναροίαν, τὰ ποντικὰ κόμανα κεῖται, ὁμώνυμα τοῖς ἐν τῇ μεγάλῃ καππαδοκίᾳ.

ΟΤΙ διὰ τὸ πλῆθος τῶν ἐν κορίνθῳ ἑταιρίδων, καὶ τὴν εἰς αὐτὰς δαπάνην, παροιμία γέγονεν. οὐ παντὸς ἀνδρὸς εἰς κόρινθον ἐσθ' ὁ πλοῦς. ἀλλὰ τῶν πλουσίων δηλονότι.

ΟΤΙ ὁ ὀλγασσός, ὄρος ἐστὶν ὑψηλότατον, δυσμικώτερον ἅλυος ποταμοῦ. οὗ ἐγγύς, δομανῖτίς τε καὶ βλαηνὴ χώρα. διὰ δὲ τῆς δομανίτιδος, ἀμνιὸς ῥεῖ ποταμός, ἔνθα μιθριδάτης ὁ εὐπάτωρ, τὰς νικομήδους τοῦ βιθυνοῦ δυνάμεις, ἄρδην ἠφάνισε, διὰ τῶν ἑαυτοῦ στρατηγῶν ὡς πάρεργον ταῦτα πράξας. ὁ δὲ φυγάς, εἰς τὴν ἰταλίαν ἔπλευσε μετ' ὀλίγων. ὁ δὲ ἀκολουθήσας, τήν τε βιθυνίαν εἷλεν ἐξ ἐφόδου, καὶ τὴν ἀσίαν κατέσχε μέχρι καρίας καὶ λυκίας. ΟΤΙ περὶ πιμόλισσαν καὶ πομπηϊόπολιν, ὄρος ἐστὶ τὸ σανδαρακούργιον κοῖλον, ἐκ τῆς μεταλλείας ἐκ διωρύχων μεγάλων. ἔνθα διὰ τὸ νοσῶδες καὶ λοιμικὸν τοῦ ὀρυττομένου χώρου καὶ ἀέρος, πολλῶν φθειρομένων ἐκ τῶν νόσων, ἠμελήθη τὸ μέταλλον. ΟΤΙ ἡ περὶ νίκαιαν πόλιν λίμνη, ἀσκανία καλεῖται, καὶ ἡ χώρα. ΟΤΙ τὴν βιθυνίαν ὁρίζει, ὁ σαγγάριος ποταμὸς καὶ ἡ ποντικὴ παραλία, ἕως τοῦ στόματος καὶ χαλκηδόνος. ἀπὸ δὲ δύσεως, ἡ προποντίς. πρὸς νότον δέ, ἥ τε μυσία, καὶ ἡ ἐπίκτητος καλουμένη φρυγία. ἡ δ' αὐτή, καὶ ἑλλησποντιακὴ φρυγία καλεῖται.

ΟΤΙ ὁ περὶ νικομήδειαν κόλπος, ἀστακηνὸς καλεῖται.

ΟΤΙ τὸ περὶ κίον ὄρος, ἀργανθώνιον καλεῖται, διῆκον ἕως νικομηδείας. ΟΤΙ κίος, ἑταῖρος ἦν ἡρακλέους

εἰς

Pharnacia
Sidene
Themiscyra
Phanaroea
Comana pontica
Comana Cappa.
Oalgassus M.
Domanitis
Blaene
Amnius fl.
Pimolissa
Pompeiopolis
Sandaracurgio M
Nicea
Ascanius lac
Sangarius fl.
Epictetos phry.
Hellespontica — Idē
Astacenus sin
Arganthoniū M.
Ciū V.

Nō omniū nauigare corinthū



εἰς τῶν ἀργοναυτῶν. ὅς τις ἐκ κόλχων ὑποστρέψας, ἔκτισε τὴν ἀφ' ἑαυτοῦ ὀνομασθεῖσαν κίον πόλιν. ΟΤΙ ἀπὸ προύσης πόλεως τὸ ἐθνικόν, προυσιεὺς λέγεται. ΟΤΙ ἡ ἀσκανία, ὑπὸ δύο ἐθνῶν χωρὶς ᾠκεῖτο, φρυγῶν τε καὶ μυσῶν. μαρτυρεῖ δ' ὅμηρος λέγων. μυσῶν ἀγχεμάχων ἡγήτορα,
οἳ ῥα ἐξ ἀσκανίης ἐριβώλακος ἦλθον ἀμοιβοί.
καὶ πάλιν. φόρκυς αὖ φρύγας ἦγε, καὶ ἀσκάνιος τῆλ' ἐξ ἀσκανίης. λέγει δ' αὖ τὴν νῦν νίκαιαν. ΟΤΙ ὅμηρος τὸν αἴσηπον ποταμόν, ὅρους ὁρίζει τῆς τε τρῳάδος καὶ μυσίας. ἔοικε δὲ ὁ πάνδαρος, κυζικηνὸς εἶναι. ΟΤΙ νίκαια, κτίσμα ἐστὶν ἀντιγόνου τοῦ φιλίππου μακεδόνων στρατηγοῦ, ὃς πρὸς τὸν νικάτορα σέλευκον πολεμῶν ἐφθάρη. ὕστερον δὲ καὶ λυσίμαχος ἐπέκτισεν, ὁ σὺν ἀλεξάνδρῳ ἐπὶ ἰνδοὺς στρατεύσας. ὃς νίκαιαν αὐτὴν ἐκάλεσεν, ἀπὸ τῆς ἑαυτοῦ γυναικὸς νικαίας, τῆς ἀντιπάτρου παιδός, ἀδελφῆς κασσάνδρου. ΟΤΙ ἡ νῦν καλουμένη χώρα ἡ τροία, ἀπὸ ὀτρέως τοῦ φρυγὸς ἐκλήθη, οὗ καὶ ὅμηρος μέμνηται, λαοὺς ὀτρῆος. ΟΤΙ ἵππαρχος καὶ θεοδόσιος καὶ οἱ τούτου παῖδες μαθηματικοί, καὶ ἀσκληπιάδης ὁ ἰατρὸς βιθυνοὶ ἦσαν. ΟΤΙ οἱ ἐν ἀσίᾳ γαλάται, μέτοικοί εἰσι τῶν κελτικῶν γαλατῶν, καὶ ἐπεραιώθησαν εἰς τὴν ἀσίαν, λέοντός τινος ἡγουμένου αὐτῶν. ΟΤΙ μετὰ τὴν γαλατίαν, πρὸς νότον ἡ λίμνη ἐστὶν ἡ τάττα, παρακειμένη τῇ μεγάλῃ καππαδοκίᾳ, μέρος οὖσα τῆς μεγάλης φρυγίας, καὶ ἡ συνεχὴς ταύτῃ, μέχρι τοῦ ταύρου ὄρους. ἡ δὲ τάττα λίμνη, ἁλοπήγιόν ἐστιν αὐτοφυές. οὕτως δὲ περιπήγνυται ῥᾳδίως τὸ ὕδωρ, παντὶ τῷ βαπτισθέντι εἰς αὐτό, ὡς στεφάνους ἁλῶν ἀνέλκουσιν, ἐπειδὰν καθῶσι κύκλον σχοίνινον. τά τε ὄρνεα ἁλίσκεται τὰ προσψαύμενα τῷ πτερώματι τοῦ ὕδατος, παραχρῆμα πίπτοντα, διὰ τὴν περίπηξιν τῶν ἁλῶν. ΟΤΙ τὰ ἴσαυρα, πόλις ἐστίν. ἀφ' ἧς καὶ ἡ χώρα ἰσαυρία, καὶ τὸ ἐθνικὸν ἰσαυρεύς.

ΟΤΙ τὰ περὶ σίπυλον χωρία, φρυγία ἐκαλεῖτο τὸ πρίν.

x καὶ

Prusa V.
Home — Ascania
Hom.
Aesep. fl
Nicæa V.
Troia unde
Hom.
Tatta
Isaura ori
Sipylus M

καὶ τὸν τάνταλον καὶ πέλοπα, φασὶ φρύγας εἶναι, καὶ τὴν νιόβην. ἡ γὰρ περγαμηνὴ καὶ ἐλαΐτις, καθ' ἣν ὁ κάϊκος ποταμὸς ῥεῖ, καὶ ἡ μεταξὺ τούτων τευθρανία, ἐν ᾗ ὁ τήλεφος ᾤκει ποτέ, ἀνὰ μέσον ἐστί, τῆς τε ἑλλησποντίου, καὶ τῆς περὶ σίπυλον καὶ μαγνησίαν τὴν ὑπ' αὐτῷ χώραν. ΟΤΙ τοὺς μυσούς, οἱ μὲν ἀποίκους φασὶν εἶναι, τῶν σκυθικῶν μυσῶν. οἱ δέ, ὅτι κατὰ τὴν τῶν λυδῶν γλῶσσαν ἡ ὀξύη τὸ δένδρον, μυσὸς καλεῖται. γίνεσθαι οὖν περὶ τὸν μύσιον ὄλυμπον φασί, πολλὴν τὴν ὀξύαν. καὶ διὰ τοῦτο, μυσοὶ καλοῦνται. ΟΤΙ μίλητος ἡ ἐν καρίᾳ, ἄποικός ἐστι τῆς ἐν κρήτῃ μιλήτου. ΟΤΙ ὁ πανδίονος λύκος, κτίσας σολύμους, ὠνόμασεν λυκίαν τὴν χώραν.

ΟΤΙ βιθυνοί, ἀρκτικοὶ κεῖνται παρὰ τὸν ὄλυμπον, καὶ μυγδόνων καὶ δολιόνων. τὸ δὲ λοιπὸν ἔχουσι, μυσοὶ καὶ ἐπίκτητοι. δολίονες δέ εἰσιν, οἱ περὶ κύζικον, ἀπὸ αἰσήπου ποταμοῦ, ἕως ῥυνδακοῦ ποταμοῦ, καὶ τῆς δασκυλίτιδος λίμνης. μυγδόνες δὲ οἱ ἐφεξῆς τούτοις, μέχρι τῆς μυρλεανῶν χώρας τῆς ἀπαμέων.

ΟΤΙ τῆς δασκυλίτιδος λίμνης, ὑπέρκεινται δύο ἄλλαι λίμναι. ἥ τε ἀπολλωνιάτις, καὶ ἡ μιλητοπολῖτις.

ΟΤΙ ὁ ἐν κυζίκῳ ναός, δινδυμήνης μητρὸς θεῶν, ἀργοναυτῶν ἐστὶν ἵδρυμα. ΟΤΙ τὸ παλαιόν, ὀνομαστόταται πόλεις ἦσαν καὶ δυναταί, κύζικος, ῥόδος, μασσαλία, καρχηδών, ῥώμη, σπάρτη. ΟΤΙ τῆς ἐπικτήτου φρυγίας, ἀζανοί τέ εἰσι, καὶ νακόλεια, καὶ κοτιάειον, καὶ μιδάειον, καὶ δορυλάειον πόλεις, καὶ κάδοι. ΟΤΙ ἡ μυσία κατὰ τὴν μεσόγαιαν, ἀπὸ τῆς ὀλυμπηνῆς ἕως τῆς περγαμηνῆς καθήκει, καὶ τὸ καΐκου λεγόμενον πεδίον. ΟΤΙ ὑπὲρ τῆς ἐπικτήτου, πρὸς νότον ἐστὶν ἡ μεγάλη φρυγία. ἔχουσα ἐπ' ἀριστερᾷ, τὴν πεσσινοῦντα καὶ λυκάονας. ἐν δεξιᾷ δὲ λυδίαν καὶ καρίαν. ἐν αὐτῇ δ' εἰσίν, ἥ τε παρώρειος φρυγία καὶ πισιδία καὶ ἀμόριον καὶ κυμενία καὶ σύνναδα. εἶτ' ἀπάμεια ἡ κιβωτὸς λεγομένη καὶ λαοδίκεια, κολοσσαί. ΟΤΙ ὁ μαρσύας ποταμός, ἀνίσχων ἐξ ἀπα-



*Pergamene · Elaitis · Caicus fl. · Teuthrania · Mysi unde · Mysi scythici · Miletus Cariae · Mileti Cretae · Solymi · Lycia · Bithyni · Mygdones · Doliones · Dascylitis · Apolloniatis lacus · Miletopolitis lacus · Cyzici t. Dm · dymenes matris deorum argon. aed.*

*Aziani · Nacolia · Cotiaion · Midaio · Dorylaio · Cadi · Caici camp. · Pessinus · Lycaones · Phrygia parorios · Pisidia · Cumenia · Synnada · Apamea cibotos · Laodicea · Colossae · Marsyas.*



μείας μεγάλης πόλεως, ἐξίησιν εἰς τὸν μαίανδρον.

ΟΤΙ τοσοῦτόν ἐστιν ὁ μαιάνδρου τοῦ ποταμοῦ ῥοῦς σκολιός, ὥστε ἐξ ἐκείνου πάντα τὰ σκολιά, μαιάνδρους καλεῖσθαι.

ΟΤΙ πᾶσα σχεδὸν ἡ περὶ τὸν μαίανδρον ποταμὸν χώρα, εὔσειστός ἐστι καὶ ὑπόνομος πυρί τε καὶ ὕδατι, ἀπὸ τῶν πεδίων, ἕως μαγνησίας καὶ ἱεραπόλεως. ΟΤΙ τὴν πριήνην, πρὶν παραλίαν οὖσαν, νῦν ὁ μαίανδρος ποταμὸς διὰ τὴν πολλὴν χοῦν, μεσόγαιαν ἐποίησεν, σταδίων μ προσχώματι.

ΟΤΙ τὰ περὶ τὸν τυφῶνα πάθη καὶ τοὺς ἀρίμους, ἐπὶ τὴν κατακεκαυμένην φρυγίαν ἢ λυδίαν, συμβῆναι φασίν. τινὲς δέ, καὶ τὰ μεταξὺ μαιάνδρου καὶ λυδῶν, λέγουσιν εἶναι ταῦτα.

## ΧΡΗΣΤΟΜΑΘΕΙΑΙ ΕΚ ΤΩΝ Στράβωνος γεωγραφικῶν Βιβλίου ιγ.

ΟΤΙ ἀπὸ κυζίκου, καὶ τῶν περὶ αἴσηπον ποταμὸν τόπων καὶ γρανικόν, μέχρι ἀβύδου, ἡ τῆς προποντίδος παραλία ἐστίν. ἀπὸ δὲ ἀβύδου, μέχρι λεκτοῦ, τὰ περὶ ἴλιον καὶ ἀλεξάνδρειαν τὴν τρῳάδα ἐστίν. τούτων δ' ἁπάντων, ἡ ἴδη τὸ ὄρος ὑπέρκειται. ἀπὸ δὲ λεκτοῦ, μέχρι καΐκου ποταμοῦ καὶ τῶν κανῶν λεγομένων, ἐστὶ τὰ περὶ ἄσσον, καὶ ἀδραμύττιον, καὶ ἀταρνέα, καὶ πιτάνην, καὶ τὸν ἐλαϊτικὸν κόλπον. οἷς ἀντίκειται, ἡ λέσβος νῆσος. εἶθ' ἑξῆς, τὰ περὶ κύμην μέχρι ἕρμου καὶ φωκαίας, αἰολίς ἐστιν. τὰ δ' ἑξῆς ἰωνία.

ΟΤΙ ἀπὸ κυζίκου καὶ τοῦ αἰσήπου ποταμοῦ, μέχρι καΐκου ποταμοῦ, ἡ παρ' ὁμήρῳ ἐστὶ τρωϊκὴ χώρα, διῃρημένη εἰς θ ἐπαρχίας. ἡ δὲ τῶν αἰολέων ὕστερον ἀποικία, ἄλλως τὰς ἐπαρχίας διεῖλεν ταύτας, ὅλην τὴν τρωϊκὴν νεμαμένη, καὶ ἕως ἕρμου ποταμοῦ ἐκταθεῖσα. γενεαῖς δὲ δ, προτερεύει ἡ αἰολικὴ ἀποικία, τῆς ἰωνικῆς. καὶ γὰρ ὁ τοῦ ἀγαμέμνονος ὀρέστης, ἦρξε τοῦ στόλου τῆς



*Maeander f. · Priene V. · Typho · Arimi · Phrygia exusta · Lectos · Alexád. troa · Ida · Canae · Assum · Adramyttiú · Atarneus · Pitane · Elaiticus sin. · Aeolis · Ionia · Troia regio divisa in θ ἐπαρχίας*

αἰολικῆς ἀποικίας. τελευτήσας δ' ἐν ἀρκαδίᾳ, ὁ υἱὸς αὐτοῦ πένθιλος ἦρξε καὶ προῆλθε μέχρι θρᾴκης, ὕστερον τῶν τρωϊκῶν ἔτεσιν ξ΄. κατὰ τὴν τῶν ἡρακλειδῶν κάθοδον εἰς πελοπόννησον. εἶτ' ἀρχέλαος υἱὸς αὐτοῦ, ἐπεραίωσε τοὺς αἰολεῖς, εἰς τὴν περὶ κύζικον καὶ δασκύλιον χώραν. γρᾶς δ' ὁ τούτου υἱὸς νεώτατος, ἦλθεν ἕως γρανικοῦ ποταμοῦ, καὶ περαιωθεὶς, κατέσχε τὴν λέσβον. κλεύης δ' ὁ δώρου καὶ μαλαὸς, ἀπόγονοι καὶ αὐτοὶ ἀγαμέμνονος, πρῶτα μὲν κατέσχον λοκρίδα καὶ τὸ φρίκιον ὄρος, πολὺν χρόνον. ὕστερον δὲ διαβάντες, ἔκτισαν τὴν κύμην τὴν φρικωνίδα κληθεῖσαν, ἀπὸ τοῦ λοκρικοῦ ὄρους.

ΟΤΙ πρίαπος, ποταμός ἐστι περὶ κύζικον, ἀντίπερα τῇ ἀρτάκῃ πόλει κυζικηνῇ. ΟΤΙ ὁ αἴσηπος ποταμός, ἀνατολικώτερός ἐστι τῆς κυζίκου πόλεως.

ΟΤΙ ἀπὸ πόλεως παρίου, ἕως πρακτίου πόλεως πρὸς δυσμὰς, στάδιοί εἰσι τ΄.

ΟΤΙ ἡ ἴδη τὸ ὄρος, σκολοπενδρώδη ἔχει τὸ σχῆμα, καὶ τελευτᾷ, τῇ μὲν εἰς τὴν μονογαῖαν ἄκρᾳ τῇ περὶ τὴν ζέλειαν. τῇ δ' ἐς τὸ πέλαγος τὸ αἰγαῖον καθήκοντι τῷ λεκτῷ. ΟΤΙ ἡ ζέλεια πόλις νῦν, τῆς κυζικηνῆς ἐστιν ἐπικρατείας. ΟΤΙ ὅμηρος τὴν ἴδην τὸ ὄρος ἀφορίζει, τῷ τε λεκτῷ πρώτῳ ὄντι ἀπὸ τοῦ πελάγους, καὶ τῇ ζελείᾳ ὑπαὶ πόδα νείατον ἴδης λέγων. ΟΤΙ τῆς ἴδης τὸ ἄκρον τὸ λεκτὸν, καὶ αἱ κάναι ἄκρον, ποιοῦσι τὸν κόλπον τὸν ἰδαῖον.

ΟΤΙ δισσοὶ οἱ κίλικες, οἱ μὲν θηβαῖοι ὑποπλάκιοι, ὅθεν ἦν ἡ χρυσηίς. ἡ δὲ βρισηίς, τὴν ἐκ λυρνησσοῦ ἐξείλετο πολλὰ μογήσας, ἥ τις ἦν πόλις θείοιο μύνητος. ἐκ δὲ θήβης, ἡ χρυσηίς.

ᾠχόμεθ' ἐς θήβην ἱερὴν πόλιν.

ἐνθένδε ἦν, καὶ ἡ ἀνδρομάχη. δύο οὖν αὗται δυναστεῖαι, τρωικαί. ὅθεν καὶ τὰ περὶ τῆς ἀνδρομάχης, ἐν ὑπερβατῷ ἀναγνωστέον. ἀμφότεροι, σὺ μὲν ἐν τροίῃ, αὐτὰρ ἐγὼ θήβησιν. δεῖ γὰρ οὕτως λέγειν,

ἀμφό-

Penthil? · Heraclidarū descensus in peloponesum · Gras · Granicus fl. · Cleues · Dorus · Mala? · Phricio M. · Cyme phritonis · Phrico M. locror · Artace V. · Priapus fl. · Aesepus fl. · Hom · Pariū · Practiū · Ide montis figura · Zelea · Lectus pmo. · Canae promo. · Cilices duplices · Chryseis · Briseis · Andromache

τὸ ἄκρον τὸ λέκτον



ἀμφότεροι ἐν τροίῃ. σὺ μὲν πριάμου ποτὶ δῶμα,
αὐτὰρ ἐγὼ θήβησι.

τρίτη δ' ἐστὶν ἡ τῶν λελέγων, καὶ αὕτη τρωική,
ἄλτεω, ὃς λελέγεσσι φιλοπτολέμοισιν ἀνάσσει.

καὶ μὴν ὑπὸ ἕκτορι τρῶες ἦσαν. τρωσὶ μὲν ἡγεμόνευεν. ἀλλὰ καὶ οἱ ὑπὸ αἰνείᾳ δαρδάνοι, τρῶες ἦσαν. ὡς ὅταν λέγῃ. αἰνεία τρώων βουληφόρε. ἕκτοι δ' οἱ ὑπὸ πανδάρῳ λύκιοι, οὓς καλεῖ καὶ τρῶας ἰδίως. ἕβδομοι δ' οἱ μεταξὺ αἰσήπου ποταμοῦ καὶ ἀβύδου, τρῶες εἰσίν. ἀλλὰ ὑπὸ μὲν ἀσίῳ, οἱ ἀβυδηνοὶ τρῶες. καὶ γὰρ δημοκόων ὁ τοῦ πριάμου παῖς,

ἀβυδόθεν ἦλθε παρ' ἵππων ὠκειάων.

ἐν δὲ περκώτῃ ἐβουκόλει μελάνιππος υἱὸς ἱκετάονος, ὡς οὐκ ἀλλοτρίαν δηλονότι νεμόμενοι. ἀλλὰ καὶ οἱ μέχρι ἀδραστείας μερόπιδαι ἄρχοντες, τρῶες ἦσαν, ὀγδόη αὕτη ἐπαρχία.

ἐνάτη δ' αὕτη δυναστεία, ἡ τοῦ εὐρυπύλου τοῦ τηλέφου τρωική. ΟΤΙ δὲ τούτων ἁπάντων ἦρχεν ὁ πρίαμος, δηλοῖ ἀχιλλεὺς λέγων,

ὅσσον λέσβος ἄνω μακάρων ἕδος ἐντὸς ἐέργει,
καὶ φρυγίη καθ' ὕπερθε καὶ ἑλλήσποντος ἀπείρων.

ΟΤΙ ἀφνειοὶ καλοῦνται, οἱ ὑπὸ πανδάρῳ λύκιοι, ἀπὸ ἀφνίτιδος λίμνης, ἥ τις ἐστὶν ἡ δασκυλῖτις. ἡ δὲ ζέλεια, ἀπέχει κυζίκου πρὸς τὴν ἕω σταδίους ρϙ΄. τῆς δ' ἐγγυτάτω θαλάττης, καθ' ἣν ἐκδίδωσιν ὁ αἴσηπος ποταμὸς, ὅσον π΄ σταδίους.

ΟΤΙ ἡ μὲν ζέλεια, μεσόγειός ἐστιν. ὑποπεπτώκασι δ' αὐτῇ, τὰ περὶ κύζικον καὶ πρίαπον χωρία. καὶ ἔστι περὶ τὴν ζέλειαν ὁ τάρσιος ποταμὸς, ἔχων κ΄ διαβάσεις τῇ αὐτῇ ὁδῷ, καθάπερ ὁ ἑπτάπορος. ΟΤΙ μεταξὺ αἰσήπου ποταμοῦ καὶ πριάπου, ὁ γρανικὸς ῥεῖ ποταμὸς, τὰ πολλὰ διὰ ἀδραστείας πεδίου. πρίαπος δ' ἐστὶ, πόλις ἐπὶ θαλάττῃ καὶ λιμήν.

ΟΤΙ ἡ ἀδράστεια πόλις, μεταξύ ἐστι πριάπου πόλεως καὶ παρίου πόλεως, ἐπὶ αἰσήπῳ ποταμῷ ἡ ἀδράστεια. λιμένα

x 3 ἔχουσα

Homer? · Leleges · Dardani · Lycij · Abydeni · Democoõ · Homer? · Percote V. · Adrastea · Hom. · Meropidae · Aphnij lycii unde dicti · Aphnitis palus · Dascylitis · Zelea V. · Tarsius fl. · Heptaporus · Granicus f. · Priap? · Adrastea V.

ἔχουσα ἡ αὐτὴ πρίαπος, ἐλάσσονα τοῦ πριήπου.

ΟΤΙ ἡ πιτύεια, πόλις ἐστὶ μεταξὺ παρίου πόλεως καὶ πριάπου πόλεως μεσόγειος. ΟΤΙ μεταξὺ λαμψάκου καὶ παρίου, παισὸς ἦν πόλις καὶ ποταμός. ὅμηρος δὲ καὶ τρισυλλάβως αὐτὴν εἴρηκε. λέγων καὶ δῆμον ἀπαισοῦ, καὶ ὅς ῥ' ἐνὶ παισῷ. ΟΤΙ τόπος ἐστὶν ἐν τῇ κυμαίᾳ χώρᾳ θηλυκῶς καὶ πληθυντικῶς καλούμενος, αἱ γέργιθαι. ἔστι δὲ πόλις, ἐξ ἧς ἐν λαμψάκῳ γεργίθιον χωρίον. ΟΤΙ τὸ πράκτιον τὸ παρ' ὁμήρῳ οὐκ ἔστι πόλις, ἀλλὰ ποταμὸς μεταξὺ ῥέων ἀβύδου καὶ λαμψάκου. ΟΤΙ ἡ τοῦ ξέρξου ἐν ἀβύδῳ γέφυρα, μικρὸν ἀνατολικωτέρα ἐζεύχθη τῆς ἀβύδου, δυσμικωτέρα δὲ τῆς σηστοῦ. καὶ δεῖ σημειώσασθαι. ΟΤΙ ὁ στράβων, συνηγορεῖ τῇ μυθολογίᾳ τῆς ἡροῦς, ὡς ἐν σηστῷ ἦν ὁ πύργος αὐτῆς. καὶ τὸ κατὰ τὸν λέανδρον πάθος, ὅτι ἐκεῖσε γέγονεν. ΟΤΙ τὰ ἐν πακτωλῷ χρυσεῖα μέταλλα τῆς λυδίας ἐξέλιπεν.

ΟΤΙ ἀπὸ ἀβύδου ἕως αἰσήπου ποταμοῦ, στάδιοί εἰσι ψ πεζῇ. εὐθυπλοΐα δὲ ἐλάττους. ΟΤΙ ἶλος πρῶτος μετὰ τὸν κατακλυσμόν, ἐτόλμησεν ἐν πεδίῳ πόλιν κτίσαι, τὴν ἀφ' ἑαυτοῦ ἴλιον. διὸ καὶ ἐτάφη ἐν πεδίῳ. οἱ δὲ παρ' ἴλου σῆμα μέσσου καππεδίου. τινὲς δέ φασιν ὅτι ἡ νῦν ἴλιος δεικνυμένη, οὐκ ἔστιν ἡ παρ' ὁμήρῳ. ἀλλ' ἑτέρα ἐστὶ ταπεινοτέρα. ἡ δὲ παλαιὰ μετεωροτέρα ἦν πρὸς τῇ ἴδῃ σταδίοις λ΄.

ΟΤΙ ἡ νῦν ἀλεξάνδρεια τρωὰς καλουμένη, πόλις ἔρημος οὖσα νῦν, ἀντιγονία ἐκαλεῖτο. ὑπὸ γὰρ ἀντιγόνου ᾠκίσθη, τοῦ ἐξ ἀλεξάνδρου τοῦ μεγάλου ἄρξαντος τῆς φρυγίας. ὕστερον δὲ ὑπὸ λυσιμάχου ἀλεξάνδρεια μετωνομάσθη, διὰ τὸ δεῖν μᾶλλον τὴν ἐπωνυμίαν ἔχειν ἀπὸ τοῦ αἰτιωτάτου πάσης τῆς κατὰ περσῶν νίκης ἀλεξάνδρου. ΟΤΙ φιμβρίας ῥωμαῖος ἐν τῷ μιθριδατικῷ πολέμῳ ἐκ πολιορκίας λαβὼν τὸ ἴλιον ἐν ἡμέραις δέκα, εἶτα καυχώμενος ὡς ἀγαμέμνονος ἔχοντος τὸν χιλιόναυν στρατὸν καὶ τὴν σύμπασαν ἑλλάδα, μόλις ἐν ἔτεσι δέκα ταύτην

ἑλόν

Adrastea
Priapus — Idé
Pityia V.
Paesos V. & fl.
Apaesos — Homer
Gergithes
Gergithiũ
Practió fl.
Hero
Leander
Pactoli flueta aurea defecerunt
Iliũ unde
Ili monumẽtũ in medio cãpo
Alexandria troas
A
Fimbri



ἑλόντος, αὐτὸς ἐν ἡμέραις δέκα ἔλαβεν, ἤκουσεν εὐθὺς ἔκ τινος τῶν ἰλιέων. οὐ γὰρ εἴχομεν ἕκτορα τὸν προπολεμοῦντα.

ΟΤΙ μεταξὺ ἀβύδου καὶ δαρδάνου πόλεως, ῥεῖ ὁ ῥόδιος ποταμὸς κατ' ἐναντία τοῦ ἐν χερρονήσῳ κυνὸς σήματος τῆς ἑκάβης. ΟΤΙ τὸ μὲν ἕκτορος μνῆμα, ἐν ὀφρυνείῳ ἐστὶ τῆς τρωάδος τόπῳ ὑψηλῷ. εἶτα ῥοίτειον πόλις ἔρημος. εἶτα αἰγιαλός. εἶτα μνῆμα αἴαντος, εἶτα σίγειον πόλις ἔρημος. εἶτα ὁ ἀχιλλέως τάφος καὶ πατρόκλου καὶ ἀντιλόχου. εἶτα ὁ ναύσταθμος καὶ τὸ στρατόπεδον τῶν ἑλλήνων. εἶτα αἱ τοῦ σιμοῦντος καὶ σκαμάνδρου ἐκβολαὶ λιμνώδεις καὶ ἕλη καὶ ἡ στόμα λίμνη καλουμένη. ταῦτα δὲ πάντα τῇ ἰλίῳ ὑποπέπτωκεν. ΟΤΙ πρίαμος μικρὰν εὑρὼν τὴν τῶν τρώων βασιλείαν, ὡς καὶ τὸν ἡρακλέα ἐξ οἴης σὺν νηυσὶ καὶ ἀνδράσι παυροτέροισιν ἐξαλαπάξαι αὐτῶν τὴν πόλιν, ἕως μέγα αὐτὴν ηὔξησεν, ὡς καὶ βασιλεὺς βασιλέων λέγεσθαι, ὡς δηλοῖ τὸ ὅσσον λέσβος ἄνω μάκαρος ἕδος.

ΟΤΙ τὸ τρωικὸν πεδίον ἀπὸ θαλάσσης, ἕως τῆς ἴδης διήκει. οὗ τὰ μὲν νότια τελευτᾷ εἰς τὴν σκῆψιν. τὰ δὲ βόρεια εἰς τὴν ζέλειαν. ΟΤΙ πολλοῖς καὶ ἀξιοπίστοις ἐπιχειρήμασιν ὁ στράβων ἀπέδειξε τὴν νῦν καλουμένην ἴλιον, μὴ εἶναι τὴν ὑπὸ ὁμήρου ᾀδομένην. ἀλλὰ ταύτης μετεωροτέρα καὶ ἀνατολικωτέρα ἐστίν, ἡ ὡς ἀληθῶς ἴλιος ἡ τοῦ ἕκτορος πατρίς. εἰ δὲ καὶ οὐδὲ ἴχνη αὐτῆς σῴζεται νῦν, ἀλλὰ τῆς ταπεινοτέρας εἰσὶν ἴχνη, οὐ θαῦμα. ὁ γὰρ χρόνος πολλὰ τοιαῦτα ποιεῖ.

ΟΤΙ τινὲς τὸν τόνον μετατεθείκασι τοῦ στίχου τούτου. θεῖναι ἀθηναίης ἐπὶ γούνασιν. ἀναγινώσκουσι γὰρ πρὸ μιᾶς τὸν τόνον τιθέντες. ὡς τὸ θυιάσιν, οὕτως γουνάσιν ἀντὶ τοῦ ταῖς ἱκεσίαις.

ΟΤΙ κατά τι παλαιὸν ἔθος ἀγαμέμνων κατηράσατο κατὰ τῶν τολμησόντων κτίσαι αὖθις τὸ ἴλιον. διὸ οἱ ὕστερον ἀφοσιούμενοι, εὗρον πλησίον χωρίον ὁμοιότατον τῷ ἀρχαίῳ καὶ ἔκτισαν αὐτὸ καὶ ἴλιον ἐκάλεσαν, καὶ τὰς κατάρας ἐξέφυγον τοῦ ἀγαμέμνονος.

ὅτι ὁ

ὁ γὰρ χρόνος πολλὰ τοιαῦτα ποιεῖ

Homeri locus.

Pulchrũ responsũ
Rhodius f.
Hectoris monumẽtũ
Rhoetiũ V.
Aiacis monu
Sigió V.
Achillis Mo
Palus stoma
Troicus cãpo
Ilios strabonis aetate ab homerica
γουνάσιν ἢ ταῖς ἱκεσίαις
Moré antiquũ dirarũ

ΟΤΙ ὁ ῥῆσος ποταμός, νῦν καλεῖται ῥοίτης. ὁ δὲ ἑπτάπορος πολύπορος καλεῖται, ἀνίσχων ἐκ τῶν περὶ καλὴν πεύκην χωρίων, ὡς εἰς μελαίνας κώμην ἰοῦσιν. ἡ δὲ καλὴ πεύκη εἶχεν, τὴν μὲν περίμετρον κδ ποδῶν. τὸ δὲ ὕψος, ἀπὸ μὲν ῥίζης, ὡς ξζ ποδῶν ἂν εἴη. εἶτα εἰς τρία μέρη σχιζομένη ἴσον ἀλλήλων διέχοντα, αὖθις πάλιν συνήγετο εἰς μίαν κορυφήν. ἀπετέλει δὲ τὸ ὕψος δυοῖν πλέθρων καὶ πηχῶν δέκα.

ΟΤΙ ὁ κάρησος ποταμός, ἀπὸ μαλοῦντος ῥεῖ τόπου τινός, κειμένου μεταξὺ παλαισκήψεως καὶ ἀχαιοῦ, τῆς τενεδίων περαίας. ἐμβάλλει δ' εἰς τὸν αἴσηπον. ῥόδιος δ' ἀπὸ κλεανδρείας καὶ γόρδου, ἐμβάλλει δ' εἰς τὸν αἴνιον.

ΟΤΙ ὁ σμινθεὺς ἀπόλλων, παρὰ τενεδίοις τιμᾶται. καὶ ἔστι γὰρ αὐτοῦ νεὼς ἐν τενέδῳ. ὅθεν εἴρηται,
τενέδοιό τε ἶφι ἀνάσσεις, σμινθεῦ.

ΟΤΙ ἄλλο ἱερὸν, σμινθέως ἀπόλλωνος, παραθαλάσσιον ἐν τρωάδι. ΟΤΙ τὰ περὶ τὴν τένεδον νησίδια, καλύδναι καλοῦνται. ΟΤΙ περὶ τὴν τρωάδα, ὁ ἀχαιὸς τόπος. εἶτα λάρισσα, καὶ κολωναί, καὶ ἡ νῦν χρύσα, ἐφ' ὕλου τόπου παραθαλασσία. ΟΤΙ ἐν τῷ τοῦ σμινθέως ἱερῷ, μῦς ἐστὶ χαλκοῦς, ὑποκείμενος τῷ ποδὶ τοῦ ἀπόλλωνος. εἰσὶ δὲ πολλοὶ ναοί, σμινθίου ἀπόλλωνος.

ΟΤΙ περὶ τὸ λεκτὸν ἄκρον, ἁλοπήγιόν ἐστιν, αὐτομάτως πηγνύμενον τοῖς ἐτησίαις ἀνέμοις.

ΟΤΙ ὅμηρος ἐν τῷ ἀδραμυττηνῷ κόλπῳ ἱδρύει λέλεγάς τε καὶ κίλικας ἀμφοτέρους, ἔνθα καὶ πήδασος πόλις ἐρήμη, καὶ σατνιόεις ποταμός, χείμαρρος, καὶ θήβη καὶ λυρνησσός, αἱ πόλεις. ΟΤΙ οἱ μὲν ἀμαξῖται, παραθαλάσσιοί εἰσιν. εἶτα ὑπὲρ αὐτῶν, νεανδριεῖς. εἶτα κεβρήνιοι ὑπὲρ αὐτῶν. εἶτα δάρδανοι, μέχρι παλαισκήψεως, ὧν καὶ αἰνείας ἦρχεν. εἶτα σκῆψις. ΟΤΙ ἀπὸ λεκτοῦ ἄκρου, ἕως γαργάρου πρὸς ἀνατολὰς ὄντος, στάδιοι σξ.

ὅτι μετὰ

Rhesus fl. / Rhoites / Heptaporos / Polyporos / Pulchra pinus / Caresus fl. / Malus / Palaescepsis / Achaeus / Rhodius fl. / Cleandria / Gordus / Aenios / Sminthe[us] apollo duplex templum ht / Calydnae ins. / Achaeus locus / Larissa / Colonae / Chrysa / Ilus locus / Sminthius apollo unde & quod multa sunt eius templa / ἁλοπήγιον. i. salinae / Leleges / Cilices

Pedasus V. / Satniois fl. / Thebae / Lyrnessus / Hamaxitae / Neandrienses / Cebrenii

Dardani / Scepsis / Palaescepsis / A lecto ad gargarum quot stadia



ΟΤΙ μετὰ τὸ ἀδραμύττιον, κορυφαντίς τε καὶ ἡράκλεια κῶμαι. εἶτα ἄττεα. εἶτα ἀταρνεύς, καὶ πιτάνη, καὶ αἱ τοῦ καΐκου ποταμοῦ ἐκβολαί. ΟΤΙ τινὲς χαριζόμενοι ῥωμαίοις, μεταγράφουσι τὸ ὁμηρικὸν ἔπος περὶ τοῦ αἰνείου οὕτως.
νῦν δὲ δὴ αἰνείαο γένος, πάντεσσιν ἀνάξει.

ΟΤΙ ἐκ τῆς σκήψεως πόλεως, ἦν κορίσκος ὁ σωκρατικός, καὶ ὁ τούτου παῖς νηλεύς. ὃς καὶ ἀριστοτέλους καὶ θεοφράστου ἠκροάσατο, καὶ διεδέξατο τὴν βιβλιοθήκην θεοφράστου, οὖσαν τὴν αὐτὴν καὶ ἀριστοτέλους. ὁ μὲν γὰρ ἀριστοτέλης, οὐ μόνον τὴν σχολήν, ἀλλὰ καὶ τὴν βιβλιοθήκην καταλέλοιπε θεοφράστῳ τὴν ἑαυτοῦ. πρῶτος ὧν ἴσμεν βιβλία συναγαγών, καὶ διδάξας τοὺς ἐν αἰγύπτῳ βασιλέας βιβλιοθήκης σύνταξιν. θεόφραστος δὲ νηλεῖ παρέδωκεν. ὁ δὲ εἰς σκῆψιν κομίσας, τοῖς μεθ' αὑτὸν παρέδωκεν ἰδιώταις ἀνθρώποις. οἳ κατάκλειστα εἶχον τὰ βιβλία, οὐδ' ἐπιμελῶς κείμενα. ἐπειδὴ δ' ᾔσθοντο τὴν σπουδὴν τῶν ἀτταλικῶν βασιλέων ὑφ' οἷς ἦν ἡ πόλις, ζητούντων βιβλία εἰς τὴν κατασκευὴν τῆς ἐν περγάμῳ βιβλιοθήκης, κατὰ γῆς ἔκρυψαν ἐν διώρυγί τινι. ὑπὸ δὲ νοτίας καὶ σητῶν κακωθέντα, ὀψέ ποτε ἀπέδοντο οἱ ἀπὸ τοῦ γένους ἀπελλικῶντι τῷ τηΐῳ, πολλῶν ἀργυρίων τά τε ἀριστοτέλους καὶ τὰ τοῦ θεοφράστου βιβλία. ἦν δὲ ὁ ἀπελλικῶν, φιλόβιβλος μᾶλλον ἢ φιλόσοφος. διὸ καὶ ζητῶν ἐπανόρθωσιν τῶν διαβρωμάτων, εἰς ἀντίγραφα καινὰ μετήνεγκε τὴν γραφήν, ἀναπληρῶν οὐκ εὖ. καὶ ἐξέδωκεν ἁμαρτάδων πλήρη τὰ βιβλία. συνέβη δὲ τοῖς ἐκ τῶν περιπάτων, τοῖς μὲν πάλαι τοῖς μετὰ θεόφραστον, οὐκ ἔχουσιν ὅλως τὰ βιβλία πλὴν ὀλίγων, καὶ μάλιστα τῶν ἐξωτερικῶν, μηδὲν ἔχειν φιλοσοφεῖν πραγματικῶς, ἀλλὰ θέσεις ληκυθίζειν. τοῖς δ' ὕστερον ἀφ' οὗ τὰ βιβλία ταῦτα προῆλθεν, ἄμεινον μὲν ἐκείνων φιλοσοφεῖν, καὶ ἀριστοτελίζειν. ἀναγκάζεσθαι μέντοι τὰ πολλὰ εἰκότα λέγειν, διὰ τὸ πλῆθος τῶν ἁμαρτιῶν. πολὺ δὲ εἰς τοῦτο, καὶ ἡ ῥώμη προσελάβετο. εὐθὺς γὰρ μετὰ τὴν ἀπελλικῶντος τελευτήν, σύλλας ἦρεν

γ τὴν

Coryphantis / Heraclea / Attea / Atarneus / Pitane / Hom / Coriscus / Neleus / Pergamena bibliotheca / Apellicó / Exoterica aristotelis / ληκυθίζειν θέσεις

Apellicó philobiblos magis quá philosophus

τὴν ἀπελλίκωντος βιβλιοθήκην ὁ τὰς ἀθήνας ἑλὼν, εἰς ῥώμην τ᾽ ἐκομίσθησαν. τυραννίων δ᾽ ὁ γραμματικὸς διεχειρίσατο φιλαριστοτέλης ὤν, θεραπεύσας τὸν ἐπὶ τῆς βιβλιοθήκης, καὶ βιβλιοπῶλαί τινες, γραφεῦσι φαύλοις χρώμενοι καὶ οὐκ ἀντιβάλλοντες. ὅπερ καὶ ἐπὶ τῶν ἄλλων συμβαίνει τῶν εἰς πρᾶσιν γραφομένων βιβλίων, καὶ ἐν ῥώμῃ καὶ ἐν ἀλεξανδρείᾳ.

ΟΤΙ μετὰ σκῆψιν πόλιν, ἄνδειρα ἐστὶ καὶ πιονία καὶ ἡ γαργαρεὺς. ἔστι δὲ λίθος περὶ τὰ ἄνδειρα, ὃς καιόμενος, σίδηρος γίνεται. εἶτα μετὰ γῆς τινος καμινευθεὶς, ἀποστάζει ψευδάργυρον, ἣ προσλαβοῦσα χαλκὸν, τὸ καλούμενον γίνεται κρᾶμα, ὅ τινες ὀρείχαλκον καλοῦσι. γίνεται δὲ ψευδάργυρος, καὶ περὶ τὸν τμῶλον. ΟΤΙ ἡ ἄσσος πόλις, ἐρυμνή ἐστι καὶ εὐτειχὴς, ἀπὸ θαλάσσης καὶ τοῦ λιμένος ὀρθίαν καὶ μακρὰν ἀνάβασιν ἔχουσα, ὥστ᾽ ἐπ᾽ αὐτῆς οἰκείως εἰρῆσθαι δοκεῖ, τὸ τοῦ στρατονίκου τοῦ κιθαριστοῦ.

ἄσσον ἴθ᾽ ὥς κεν θᾶσσον ὀλέθρου πείραθ᾽ ἵκηαι.

ἐντεῦθεν δ᾽ ἐστὶ, κλεάνθης ὁ στωϊκός. ὁ ζήνωνα μὲν διαδεξάμενος, χρυσίππῳ δὲ τῷ σολεῖ καταλιπών. ἐνταῦθα δὲ καὶ ὁ ἀριστοτέλης διέτριψεν, διὰ τὴν πρὸς ἑρμείαν τὸν εὐνοῦχον τύραννον κηδείαν. ἦν δ᾽ ἑρμείας, τραπεζίτου τινὸς οἰκέτης. γενόμενος δ᾽ ἀθήνησιν, ἠκροάσατο πλάτωνος καὶ ἀριστοτέλους. ἐπανελθὼν δὲ τῷ δεσπότῃ συνετυράννησε, πρῶτον ἐπιθεμένῳ τοῖς περὶ ἀταρνέα καὶ ἄσσον χωρίοις. ἔπειτα διεδέξατο ἐκεῖνον, καὶ μετεπέμψατο τόν τε ἀριστοτέλη καὶ ξενοκράτη, καὶ ἐπεμελήθη αὐτῶν. τῷ δ᾽ ἀριστοτέλει, καὶ θυγατέρα ἀδελφοῦ συνῴκισε. μέμνων δ᾽ ὁ ῥόδιος, μηδίζων τότε σφόδρα καὶ στρατηγῶν, προσποιησάμενος φιλίαν, ξενίας τε ἅμα καὶ πραγμάτων προσποιητῶν χάριν, συλλαβὼν ἀνέπεμψε πρὸς βασιλέα, κἀκεῖ κρεμασθεὶς ἐφθάρη. ΟΤΙ τὰ περὶ ἄσσον καὶ γάργαρον χωρία καὶ σκῆψιν, λελέγων ἐστὶν, οἵ τινες μεταξὺ ᾤκουν κιλίκων τε καὶ δαρδανίων, πόλιν ἔχοντες πήδασον. φυγόντες δὲ τὰς ἐξ

ἀχιλ

Tyranio gramat. · Andera · Pionia · Gargaris · Assos · Cleathes · Leleges · Pedasus

Stratonici citharistae ridiculu



ἀχιλλέως ἐπιδρομὰς, εἰς καρίαν ἦλθον, καὶ ἔκτισαν πόλιν πήδασον ὁμώνυμον τῇ πατρίδι. ΟΤΙ μετὰ τοὺς λέλεγας, τὴν ἑξῆς παραλίαν κίλικες εἶχον καθ᾽ ὅμηρον. ἡ νῦν ἀδραμυττηνή τε ἐστὶ καὶ ἀταρνῖται καὶ πιταναῖοι, μέχρι τῶν ἐκβολῶν τοῦ καΐκου, ὧν πόλεις δύο, θήβη ὑποπλακίη, καὶ λυρνησσός.

ΟΤΙ θήβη καὶ λυρνησσὸς ἐν τῷ θήβης οὖσαι πεδίῳ, ἀπέχουσιν τῆς πόλεως ἀδραμυττίου. ἡ μὲν σταδίους ξ, ἡ δὲ π. ἐν δὲ τῇ ἀδραμυττηνῇ ἐστὶ, καὶ ἡ χρύσα καὶ ἡ κίλλα. ἔστι δὲ ταῦτα, περὶ ἄντανδρον. ΟΤΙ κίλλος, πέλοπος ἦν ἡνίοχος. ἀφ᾽ οὗ κίλλα τε τὸ πολίχνιον, καὶ κίλικες.

ΟΤΙ φασὶν ἐν τῇ αἰολικῇ πιτάνῃ, τὰς πλίνθους ἐπιπολάζειν τῷ ὕδατι. καθάπερ καὶ ἐν τῇ τυραννίᾳ. κουφοτέρα γὰρ ἡ γῆ, τοῦ ἰσόγκου ὕδατός ἐστιν. ἐν ἰβηρίᾳ δέ φησιν ἰδεῖν ποσειδώνιος, ἔκ τινος γῆς ἀργιλώδους, πλίνθους πηγνυμένας καὶ ἐπιπλεούσας. ΟΤΙ κάϊκος ποταμὸς μετὰ τὴν πιτάνην, εἰς τὸν ἐλαϊτικὸν ῥεῖ κόλπον, ἀντιπέραν ἐλαίας πόλεως.

ΟΤΙ ἡ ἐλαία πόλις, ἐπίνειόν ἐστι περγάμου πόλεως, ἀπέχουσα περγάμου στάδια ρκ. ΟΤΙ ἡ κάνη, ἄκρον ἐστὶν, ἀντίπορον τῷ λεκτῷ ἄκρῳ, καὶ ποιοῦν τὸν ἀδραμυττηνὸν κόλπον. οὗ μέρος, καὶ ὁ ἐλαϊτικός ἐστιν. ΟΤΙ ἡ κάνη, καὶ πληθυντικῶς κάναι λέγεται. περὶ ἣν ἄκρα, ἡ αἶγα. τὸ δὲ γα μακρὸν δεῖ νοεῖν τὴν αἶγαν λέγοντας. ΟΤΙ μεταξὺ ἐλαίας καὶ πιτάνης καὶ ἀταρνέως καὶ περγάμου, τευθρανία ἐστὶ πόλις, διέχουσα οὐδεμιᾶς αὐτῶν ὑπὲρ ο σταδίους, ἐντὸς τοῦ καΐκου. ΟΤΙ ἐν τοῖς περὶ κάϊκον τόποις, φαίνεται βεβασιλευκὼς εὐρύπυλος ὁ τηλεφίδης, ὃν ἀνεῖλεν πύρρος ὁ ἀχιλλέως. ΟΤΙ ἐν τῇ ἐλαΐτιδι, ποτάμιόν ἐστι χειμαρρῶδες, κήτειον καλούμενον. ὅθεν ἴσως εἴρηται,

κήτειοι κτείνοντο γυναίων εἵνεκα δώρων.

ΟΤΙ τῆς λέσβου νήσου ὁ περίπλους, στάδιοι α ρ.

ΟΤΙ ἐπὶ τιβερίου τοῦ ῥωμαίων αὐτοκράτορος, ἦν στρά-



βων

Achilles · Pedasus cari · Cilices · Adramytt · Atarnitae · Pitanaei · Thebe hypoplacios · Lyrness · Thebes camp · Chrysa · Cilla unde · Cilices unde · Elea · Cane pro · Adramyttenus sinus pars elaiticus · Cane Canae opp · Aega ultima · Ceteo · Posidoni

Τὰς πλίνθους

Tyrtam ante dictus theop.

Hecatonesi & c p duplex ν ex consuetudine

Pordoselene Porosele(ne)

Pelasgi

Cumaei insensati

βων. ΟΤΙ ἐξ ἐρεσσοῦ ἦσαν, φανίας τε καὶ θεόφραστος οἱ ἀριστοτελικοί. τύρταμος δὲ πρὶν ὁ θεόφραστος ἐκαλεῖτο. μετωνομάσθη δὲ ὑπὸ ἀριστοτέλους οὕτως. ΟΤΙ ἑλλάνικος ὁ συγγραφεύς, λέσβιος ἦν. ΟΤΙ κατὰ τὸν πορθμὸν τὸν μεταξὺ ἀσίας καὶ λέσβου, νησίδιά εἰσιν μ. καλοῦνται δὲ συνθέτως ἑκατόννησοι, ὡς πελοπόννησος καὶ μυόννησος καὶ προκόννησος καὶ ἀλόννησος, τὸ ν διττὸν ἔχουσαι κατὰ συνήθειαν. ΟΤΙ ἑκατόννησοι καλοῦνται, οἷον ἀπολλωννῆσοι, ἕκατος γὰρ ὁ ἀπόλλων. ΟΤΙ πρὸ τῆς λέσβου ἐστὶν καὶ ἡ πορδοσελήνη, πόλιν ἔχουσα ὁμώνυμον. διὰ δὲ τὸ δύσφημον τοῦ ὀνόματος ποροσελήνην τινὲς αὐτὴν καλοῦσιν. τὸ δὲ περὶ πέργαμον ἀπόρδηνον ὄρος, ἀπόρηνον. καὶ τὸ ἐν αὐτῷ ἱερόν, μητρὸς ἀπορηνῆς. τί οὖν φήσομεν ἐπὶ τοῦ σαπέρδου, καὶ πόρδαλις, καὶ πέρδιξ, καὶ συμπορδάκοισιν, ἀντὶ τοῦ διαβρόχοις.

ΟΤΙ ἐν καταλόγῳ ὅμηρος, εἰκότως λελέγων καὶ κιλίκων καὶ καυκώνων οὐκ ἐμνημόνευσεν. διεφθάρησαν γὰρ ἤδη ὑπὸ ἀχιλλέως, ὅ, τε κετίων καὶ μύνης καὶ ἐπίστροφος καὶ οἱ λαοὶ αὐτῶν. ΟΤΙ ὁ τῶν πελασγῶν ἄρχων ἱππόθοος, λάρισαν εἶχεν πατρίδα, τὴν ἐν κύμῃ τῆς αἰολίδος κειμένην. οἱ δὲ πελασγοί, ὑπὸ αἰολέων ἐφθάρησαν. ΟΤΙ σκώπτεται εἰς ἀναισθησίαν, ἡ κύμη. ὡς μετὰ τ ἔτη, ἀποδομένη τῶν λιμένων τὰ τέλη. ὥσπερ τό τε ᾐσθημένη, ὅτι παρὰ θάλασσαν οἰκοῖτο, πρότερον δ' οὐκ ἐκαρποῦτο τὴν πρόσοδον ταύτην.

ΟΤΙ καὶ ἄλλη λέγεται αἰτία τοιαύτη, τοῦ σκώμματος. ὅτι δανεισάμενοί ποτε οἱ κυμαῖοι δημόσια χρήματα, τὰς στοὰς ὑπέθεντο. εἶτ' οὐκ ἀποδιδόντων κατὰ τὴν ὡρισμένην ἡμέραν, εἴργοντο τῶν περιπάτων. ὅτε μέντοι ὄμβρος εἴη, κατὰ αἰδῶ τινα κηρύττειν οἱ δανεισταί, κελευόντων ὑπὸ τὰς στοὰς ὑπέρχεσθαι. τοῦ δὴ κήρυκος οὕτω φθεγγομένου, ὑπὸ τὰς στοὰς ὑπέλθετε, ἐκπεσεῖν λόγον, ὡς κυμαίων οὐκ αἰσθανομένων, ὡς ἐν τοῖς ὄμβροις ὑπὸ τὰς στοὰς ὑπελθετέον, ἂν μὴ σημαίνῃ τις αὐτοῖς διὰ κηρύγματος.



Cyme unde dicta

Philetaeros

Attalus gallos vicit ingenti prelio

ματος. κυμαῖος δὲ ἦν, ἡσίοδός τε καὶ ἔφορος ὁ ἰσοκράτους γνώριμος, ὁ τὰς ἱστορίας γράψας. κύμη δὲ ὀνόμασται, ἀπό τινος ἀμαζόνος, ὡς ἡ μυρίνη καὶ ἡ μυτιλήνη.

ΟΤΙ τὸ πέργαμον ἡ πόλις, γαζοφυλάκιον ἦν λυσιμάχου τοῦ ἀγαθοκλέους, ἑνὸς τῶν ἀλεξάνδρου διαδόχων. ἐπεπίστευτο δὲ τὴν φυλακὴν τῶν χρημάτων, ἦν δὲ τάλαντα ͵θ, φιλέταιρος, ἀνὴρ τιανὸς θλιβίας ἐκ παιδός, ἔν τινι ὄχλῳ ἀποληφθεὶς μετὰ τῆς τροφοῦ, καὶ διὰ τοῦτο εὐνοῦχος. τέως μὲν οὖν, εὔνους ἦν λυσιμάχῳ. διενεχθεὶς δὲ πρὸς ἀρσινόην τὴν γυναῖκα αὐτοῦ, ἀπέστη ὁρῶν νεωτερισμοὺς πολλούς. ὅ, τε γὰρ λυσίμαχος, κακοῖς οἰκείοις περιπεσών, ἠναγκάσθη τὸν υἱὸν ἀνελεῖν ἀγαθοκλέα. σέλευκος δ' ἐπελθὼν ὁ νικάτωρ, ἐκεῖνόν τε κατέλυσεν, καὶ αὐτὸς κατελύθη, δολοφονηθεὶς ὑπὸ πτολεμαίου τοῦ κεραυνοῦ. ὁ δὲ φιλέταιρος, διεκαρτέρησεν ἔτη κ, κύριος ὢν τοῦ τε ἐρύματος καὶ τῶν χρημάτων. καὶ διεγένετο μένων ἐπὶ τοῦ ἐρύματος καὶ πολιτευόμενος, δι' ὑποσχέσεων καὶ τῆς ἄλλης θεραπείας, ἀεὶ πρὸς τὸν ἰσχύοντα καὶ ἐγγὺς παρόντα. τούτῳ, ἦσαν δύο ἀδελφοὶ εὐμένης τε καὶ ἄτταλος. ἐκ μὲν οὖν τοῦ πρεσβυτέρου εὐμένους, γίνεται παῖς εὐμένης. ὃς καὶ διεδέξατο τὸ τοῦ περγάμου κράτος, καὶ ἦν ἤδη δυνάστης τῶν κύκλῳ χωρίων, ὥς τε καὶ περὶ σάρδεις ἐνίκησεν μάχῃ συμβαλών, ἀντίοχον τὸν σελεύκου. κβ δὲ ἔτη ἄρξας, ἐτελεύτα. ἐκ δὲ ἀττάλου καὶ ἀντιοχίδος γεγονὼς ἄτταλος, διεδέξατο τὴν ἀρχήν. ὃς καὶ πρῶτος βασιλεὺς ἀνηγορεύθη, νικήσας γαλάτας μάχῃ μεγάλῃ. οὗτος δέ, καὶ ῥωμαίοις κατέστη φίλος. καὶ συνεπολέμησε πρὸς φίλιππον, μετὰ τοῦ ῥοδίων ναυτικοῦ. ὃς βασιλεύσας ἔτη μγ, κατέλιπεν δ' υἱούς, εὐμένην, ἄτταλον, φιλέταιρον, ἀθήναιον. οἱ μὲν οὖν νεώτεροι, διετέλεσαν ἰδιῶται. εὐμένης δ' ἄρξας, συνεπολέμησεν ῥωμαίοις, πρός τε ἀντίοχον τὸν μέγαν καὶ πρὸς περσέα. καὶ ἔλαβεν παρὰ τῶν ῥωμαίων, ἅπασαν τὴν ὑπὸ ἀντιόχῳ γῆν τὴν ἐντὸς ταύρου. πρότερον δ' ὀλίγης ἦρχεν γῆς. οὗτος, ἐπὶ πλεῖστον ηὔξησεν τὴν ἀρ-



ἐκεῖνόν τε κατέλυσε καὶ αὐτὸς κατελύθη

χώ, κτίσμασι καὶ ἀναθήμασι καὶ βιβλιοθήκαις. ὃς ἔτη βασιλεύσας μθ, κατέλιπεν διάδοχον τὸν υἱὸν ἄτταλον, παῖδα ἔτι ὄντα. καὶ τούτου ἐπίτροπον ἄτταλον, τὸν ἴδιον ἀδελφόν. ὃς ἄρξας ὡς ἐπίτροπος ἔτη κα, γέρων ἐτελεύτα, κατορθώσας πολλά. καὶ γὰρ δημήτριον τὸν σελεύκου, συγκατεπολέμησεν ἀλεξάνδρῳ τῷ ἀντιόχου. καὶ συνεμάχησεν ῥωμαίοις, ἐπὶ τὸν ψευδοφίλιππον. ἐχειρώσατο δὲ καὶ διηγυλιν τὸν καινὸν βασιλέα, στρατεύσας εἰς τὴν θρᾴκην. ἀνεῖλεν δὲ καὶ προυσίαν, ἐπισυστήσας αὐτῷ νικομήδην τὸν υἱόν. ὁ δ' ἐπιτροπευθεὶς ἄτταλος, ἄρξας ἔτη πέντε καὶ κληθεὶς φιλομήτωρ, ἐτελεύτα νόσῳ, καταλιπὼν κληρονόμους ῥωμαίους. οἱ δ' ἐπαρχίαν ἀπέδειξαν τὴν χώραν, ἀσίαν προσαγορεύσαντες, ὁμώνυμον τῇ ἠπείρῳ.

ΟΤΙ ὁ κάϊκος ποταμός, παραρρεῖ τὸ πέργαμον, διὰ τοῦ καΐκου πεδίου εὐδαίμονος. ΟΤΙ ἐκ τοῦ τμώλου, ῥεῖ ὁ πακτωλὸς ποταμός, ἔχων ψῆγμα χρυσοῦ, ὅπερ νῦν ἐκλέλοιπεν τὸ ψῆγμα. καὶ ἐμβάλλει εἰς τὸν ἕρμον ποταμόν, εἰς ὃν καὶ ὁ ὕλλος ποταμὸς ἐμβάλλει, φρύγιος νῦν καλούμενος.

ΟΤΙ ἡ παρ' ὁμήρῳ γυγαία λίμνη, ὕστερον κολόη μετωνομάσθη. ΟΤΙ τοὺς ἀρίμους, τινὲς μὲν, ἐν λυδίᾳ φασὶν γενέσθαι. οἱ δ' ἐν κιλικίᾳ. τινὲς δὲ ἐν συρίᾳ. οἱ δ' ἐν πιθηκούσαις· ἔνθα καὶ τὸν τυφῶνα γενέσθαι.
ἐν ἀρίμοις ὅθι φασὶ τυφωέος.

ΟΤΙ ἐν ἱεραπόλει ἐστίν, τά τε θερμὰ ὕδατα καὶ τὸ πλουτώνιον, ἄμφω παραδοξολογίαν τινὰ ἔχοντα. τὸ μὲν γὰρ ὕδωρ, οὕτως ῥᾳδίως εἰς πῶρον μεταβάλλει πηττόμενον, ὥστε ὀχετοὺς ἐπάγοντες, φραγμοὺς ἀπεργάζονται μονολίθους. τὸ δὲ πλουτώνιον, ὑπὸ ὀφρύϊ μικρᾷ τῆς ὑποκειμένης ὀρεινῆς, στόμιόν ἐστιν σύμμετρον ὅσον, ἄνθρωπον δέξασθαι δυνάμενον. βαθυνόμενον ἐπὶ πολύ. πρόκειται δὲ τούτου, δρυφάκτωμα τετράγωνον, ὅσον ἡμιπλέθρου τὴν περίμετρον. τοῦτο δὲ, πλῆρές ἐστιν ὁμιχλώδους παχείας ἀχλύος, ὥστε μόγις τοὔδαφος καθορᾶν. τοῖς μὲν



μὲν οὖν κύκλῳ πλησιάζουσι πρὸς τὸν δρύφακτον, ἄλυπός ἐστιν ὁ ἀήρ, καθαρεύων ἐκείνης τῆς ἀχλύος ἐν ταῖς νηνεμίαις, συμμένει γὰρ ἐντὸς τοῦ περιβόλου. τῷ δ' εἴσω παριόντι ζώῳ, θάνατος παραχρῆμα ἀπαντᾷ. ταῦροι γοῦν εἰσαχθέντες, πίπτουσι καὶ ἐξέλκονται νεκροί. ἡμεῖς δὲ στρουθία ἐπέμψαμεν, καὶ ἔπεσον εὐθὺς ἐκπνεύσαντα. οἱ δ' ἀπόκοποι γάλλοι, παρίασιν ἀπαθεῖς, ὥστε καὶ μέχρι τοῦ στομίου πλησιάζειν καὶ ἐγκύπτειν καὶ καταδύειν μέχρι πόσου, συνέχοντες ὡς ἐπὶ τὸ πολὺ τὸ πνεῦμα. ἑωρῶμεν γὰρ ἐκ τῆς ὄψεως, ὡς ἂν πνιγώδους τινὸς πάθους ἔμφασιν. εἴτε πάντων οὕτω πεπληρωμένων τοῦτο, εἴ τε μόνων τῶν περὶ τὸ ἱερόν. καὶ εἴτε θείᾳ προνοίᾳ, καθάπερ ἐπὶ τῶν ἐνθουσιασμῶν εἰκός, εἴτε ἀντιδότοις τισὶ δυνάμεσι τούτου συμβαίνοντος.

ΟΤΙ σολύμους φασὶν εἶναι, τοὺς καβαλλεῖς. τῆς γοῦν τελμήσεως ἄκρας, ὑπέρκειται λόφος, καὶ καλεῖται σόλυμος. καὶ αὐτοὶ δ' οἱ τελμησσεῖς, σόλυμοι καλοῦνται. πλησίον δ' ἐστίν, καὶ ὁ βελλεροφόντου χάραξ. καὶ ὁ πεισάνδρου τάφος τοῦ υἱοῦ, πεσόντος ἐν τῇ πρὸς σολύμους μάχῃ.
μαρνάμενον σολύμοισι κατέκτανεν.

ΟΤΙ ἡ κιβυρατική, ἐν ταῖς μεγίσταις ἐξετάζεται διοικήσεσι τῆς ἀσίας. τέτρασι δὲ γλώτταις ἐχρῶντο οἱ κιβυρᾶται, πισιδικῇ, σολύμων, ἑλλήνων, λυδῶν.

ΟΤΙ ἐν κιβύρᾳ ἴδιόν ἐστιν, τὸ τὸν σίδηρον τορεύεσθαι ῥᾳδίως.

# ΧΡΗΣΤΟΜΑΘΕΙΑΙ ΕΚ ΤΩΝ Στράβωνος γεωγραφικῶν βιβλίου ιδ.

ΟΤΙ τῆς τῶν ἰώνων ἀποικίας, ἦρξεν ἄνδροκλος υἱὸς κόδρου τοῦ ἀθηναίων βασιλέως, ὕστερον τῆς αἰολικῆς. ὃς ἔφεσον κτίσας, βασίλειον τῆς ἰωνίας αὐτὴν ἀπέδειξεν. εἰσὶν δὲ ἰώνων πόλεις, αἵδε. μίλητος, μυοῦς, λέβεδος, κολοφών, πριήνη, τέως, ἐρυθραί, φωκαία, κλαζομεναί, χίος, σάμος. ὁμοῦ ιβ. ὕστερον δὲ, σμύρνα προσελήφθη.

ΟΤΙ τὸ ἐν βραγχίδαις μαντεῖον τοῦ ἀπόλλωνος, ἐν μιλήτῳ ἐστίν. ΟΤΙ ἡ νῦν σάμος νῆσος ἰωνική, ἐκαλεῖτο πρότερον παρθενία. εἶτα ἀνθεμοῦς. εἶτα μελάμφυλος. εἶτα σάμος. ΟΤΙ ἡ σάμος τοσοῦτόν ἐστιν εὔφορος, ὥστε οἱ ἐπαινοῦντες αὐτὴν, λέγουσι περὶ αὐτῆς καὶ τὸ παροιμιαζόμενον, φέρει καὶ ὀρνίθων γάλα. ΟΤΙ διὰ τὴν συλοσῶντος πικρίαν τοῦ σαμίων τυράννου, ἐλιπάνδρησεν ἡ σάμος, ὡς καὶ παροιμίαν γενέσθαι διὰ τοῦτο λέγουσαν, ἕκητι συλοσῶντος, εὐρυχωρίη. ΟΤΙ ἀθηναῖοι διὰ περικλέους σάμον κυριεύσαντες, κληρούχους ἐν αὐτῇ ἔπεμψαν. ὧν ἦν νεοκλῆς ὁ ἐπικούρου πατὴρ τοῦ φιλοσόφου, γραμματοδιδάσκαλος ὤν. τραφεὶς δ' ἐν σάμῳ, ἐφήβευσεν ἀθήνησι, σὺν μενάνδρῳ τῷ κωμικῷ.

ΟΤΙ κρεώφυλος ὁ ὁμήρου ξένος, σάμιος ἦν. τὸ δὲ κρεὼ, διὰ τοῦ ω. ΟΤΙ τὰ πύγελα, ἀγαμέμνων ἔκτισεν. ᾠκίσθη δὲ, ὑπὸ μέρους τῶν ἐκείνου λαῶν. πυγαλίας γάρ τινας γενέσθαι αὐτῶν συνέβη. κάμνοντας δὲ τῷ πάθει, αὐτοῦ μεῖναι, καὶ τὸν τόπον πύγελα κληθῆναι.

ΟΤΙ μετὰ τὴν τροίας ἅλωσιν, κάλχας ὁ μάντις μετ' ἀμφιλόχου τοῦ ἀμφιαράου, πεζῇ εἰς κολοφῶνα ἀφίκετο. περιτυχὼν δὲ κρείττονι ἑαυτοῦ μάντει κατὰ τὴν κλάρον, μόψῳ τῷ μαντοῦς τῆς τειρεσίου θυγατρὸς, διὰ λύπην ἀπέθανεν. ὁ δὲ ἡσίοδος, καὶ διὰ μέτρου τὸν λόγον ἐκφράζει οὕτως.



θαῦμά μ' ἔχει κατὰ θυμὸν, ἐρινεὸς ὅσσον ὀλύνθους
οὗτος ἔχει μικρός περ ἐών, εἴποις ἂν ἀριθμόν.

τὸν δ' ἀποκρίνασθαι. ὅτι,

μύριοί εἰσιν ἀριθμόν. ἀτὰρ μέτρον γε, μέδιμνος.
εἷς δὲ περισσεύει, τὸν ἐπενθέμεν οὔ κε δύναιο.
ὣς φάτο, καί σφιν ἀριθμὸς ἐτήτυμος εἴδετο μέτρου,
καὶ τότε δὴ κάλχανθ' ὕπνος θανάτοιο κάλυψεν.

φερεκύδης δέ φησιν, σῦν προβαλεῖν ἔγκυον τὸν κάλχαντα, πόσους ἔχει χοίρους. τὸν δ' εἰπεῖν. ὅτι τρεῖς, ὧν ἕνα θῆλυν. ἀληθεύσαντος δ' ἀποθανεῖν.

ΟΤΙ κολοφώνιοι, τοσαύτην αὔξησιν ἔλαβον κατά τε γῆν καὶ κατὰ θάλασσαν, ὥστε ὅπου ἂν ῥέψειαν ἢ ψήφῳ ἢ συμμαχίᾳ πεζικῇ ἢ ἱππικῇ ἢ ναυτικῇ, πέρας εὐθὺς ἐπιφέρεσθαι τῷ ἔργῳ. ὡς ἐξ ἐκείνου, καὶ παροιμίαν γενέσθαι, τὸν κολοφῶνα ἐπέθετο, ἀντὶ τὸ πέρας. ΟΤΙ παροιμία ἐστὶν, τοῦδ' ἄρ' ὁ κωρυκαῖος ἠκροάζετο. ὅταν δοκῇ τις δι' ἀπορρήτων πράττειν ἢ λαλεῖν, μὴ λανθάνῃ δὲ, διὰ τοὺς κατασκοποῦντας καὶ φιλοπευστοῦντας τὰ μὴ προσήκοντα. ὅπερ οἱ κωρυκαῖοι λῃσταὶ ἐποίουν, ἐν τοῖς λιμέσιν τοὺς καταίροντας ἐρωτῶντες, τί φέροιεν ἐν τοῖς πλοίοις. ΟΤΙ ἀναξαγόρας ὁ φυσικὸς, ἀναξιμένους μὲν ἦν ὁ μαθητὴς, τοῦ μιλησίου. διδάσκαλος δὲ ἀρχέλαος ὁ φυσικὸς καὶ εὐριπίδης ὁ ποιητής. ΟΤΙ παρὰ τὸ τῆς σμύρνης τεῖχος, ῥεῖ ὁ μέλης ποταμός.

ΟΤΙ δολοβέλλας, τρεβώνιον ἐν σμύρνῃ ἐκπολιορκήσας ἀνεῖλεν, ἕνα τῶν δολοφονησάντων καίσαρα τὸν θεόν.

ΟΤΙ δύ' εἰσὶν, ληθαῖοι ποταμοί. ὅ, τε πρὸς τῇ μαγνησίᾳ, τῇ πρὸς μαιάνδρῳ. ὅ τε ἐν γόρτυνι, τῇ κρήτης πόλει. καὶ ὁ ἐν τρίκκῃ, τῆς θετταλίας πόλεως, ἐφ' ᾧ ἀσκληπιὸς γεγέννηται. καὶ ὁ ἐν τοῖς ἑσπερίταις λίβυσιν. ἡ δὲ μαγνησία πόλις, ἐγγὺς τοῦ ληθαίου ἐστὶν, πρὸς μαιάνδρῳ. ἐφ' ᾧ σταυρωθῆναί φασιν δαφίταν



Ioniæ urbes 12
In branchidis oraculu
Samos quot nomina ht
Pygela
Calchas
Mopsi
Hesiodus
Pherecydes
Corycæi
Meles fl
Dolobella
Trebonij
Lethei fl 4
Daphitas

περὶ de somno
φέρει καὶ ὀρνίθων γάλα
περὶ
ἕκητι συλοσῶντος εὐρυχωρίη
περὶ ἀμφιλόχου

περὶ
τὸν κολοφῶνα ἐπέθετο
ἀντὶ τὸ πέρας
περὶ

τὸν γραμματικόν, λοιδορήσαντα τοὺς περγαμηνοὺς βασιλέας διὰ διστίχου.

πορφύρεοι μώλωπες, ἀπορρινήματα γάζης
λυσιμάχου, λυδῶν ἄρχετε καὶ φρυγίης.

ΟΤΙ μάγνητες οἱ ἐν ἀσίᾳ ἀναξήνορα τὸν κιθαρῳδόν, ἐν εἰκόνι χαλκῇ ἀνέθηκαν, ἐπιγράψαντες.

ἤτοι μὲν τόδε καλόν, ἀκουέμεν ἐστὶν ἀοιδοῦ.
τοιοῦδ' οἷος ὅδ' ἐστίν, θεοῖς ἐναλίγκιος αὐδήν.

ὃν στοχασάμενος δ' ὁ ἐπιγράψας, τὸ τελευταῖον γράμμα τοῦ δευτέρου ἔπους παρέλιπεν, τοῦ πλάτους τῆς βάσεως μὴ συνεξαρκοῦντος. ὥστε τῆς πόλεως ἀμαθίαν καταγινώσκειν παρέσχε, διὰ τὴν τῆς γραφῆς ἀμφιβολίαν. εἴτε τὴν ὀρθὴν πτῶσιν διανοεῖν ἐστι τοῦ αὐδή, εἴτε τὴν δοτικήν. πολλοὶ γάρ, χωρὶς τοῦ ι γράφουσι τὰς δοτικάς.

πολλοὶ χωρὶς τοῦ ι γράφουσι τὰς δοτικάς

ΟΤΙ στρατόνικος ὁ κιθαρῳδός, ἰδὼν τοὺς καυνίους χλωρούς, τοῦτ' ἔφη εἶναι τοῦ ποιητοῦ.

οἵη περ φύλλων γενεή, τοίη δὲ καὶ ἀνδρῶν.

μεμφομένων δὲ τῶν καυνίων, ὡς σκώπτοιτο αὐτῶν ἡ πόλις ὡς νοσερά, ἐγὼ ἔφη ταύτην θαρρήσαιμι ἂν λέγειν νοσεράν, ὅπου καὶ οἱ νεκροὶ περιπατοῦσιν.

ΟΤΙ ῥόδιοι εὔνομοι ὄντες, ἐπεμελήθησαν μάλιστα περὶ τὰ ναυτικά. ἀφ' ὧν, ἐθαλαττοκράτησαν χρόνον πολύν. καὶ τὰ λῃστήρια, καθεῖλον. καὶ ῥωμαίοις, ἐγένοντο φίλοι. καὶ τῶν βασιλέων, τοῖς φιλορωμαίοις τε καὶ φιλέλλησιν. ἀφ' ὧν, αὐτόνομοι διετέλεσαν. καὶ πολλοῖς ἀναθήμασιν ἡ πόλις αὐτῶν ἐκοσμήθη. ὧν ἄριστος ὁ τοῦ ἡλίου κολοσσός, ὅν φησιν ὁ ποιήσας τὸ ἰαμβεῖον οὕτως.

Rhodos

Colossus

κολοσσὸν ἡλίου πρὸς ἑπτάκις δέκα,
χάρης ἐποίει πηχέων ὁ λίνδιος.

Chares

ΟΤΙ πρωτογένης, ἔγραψεν ἐν ῥόδῳ πέρδικα, ὃς τοσοῦτον ἦν εὐδόκιμος, ὥστε οἱ τιθασοὶ πέρδικες, ἐρχόμενοι ἐφθέγγοντο καὶ ὀχλαγώγουν. οἱ δὲ ἄνθρωποι, ἐκεχήνεσαν.

ὅτι ἐν

Ergo sine accentib. antiq scribebant.



ΟΤΙ ἐν ῥόδῳ, τοσοῦτον ἦν τὸ δημοκηδικὸν καὶ πενονητικόν, ὥστε νόμον ἔθεντο ἵνα οἱ πλούσιοι καθ' ἑκάστην τρέφωσι τοὺς πένητας, τῶν ἀναγκαίων τι ἐργάζεσθαι ἀναγκαζομένους.

ΟΤΙ ἐν ῥόδῳ, ἦσάν τινα τῶν ναυστάθμων κρυπτὰ καὶ ἀπόρρητα, ἃ ὁ τολμήσας ἰδεῖν, θανάτῳ ἐζημιοῦτο.

ΟΤΙ ὥσπερ ἐν κυζίκῳ καὶ ἐν μασσαλίᾳ, οὕτως καὶ ἐν ῥόδῳ ἐσπούδαστο κοινῇ, ἡ ὀργανοποιΐα καὶ ἡ μηχανοποιΐα.

ΟΤΙ ῥόδιοι, καὶ ἁλικαρνασεῖς, καὶ κνίδιοι, καὶ κῷοι, δωριεῖς εἰσιν. ΟΤΙ ἡ ῥόδος, ἐκαλεῖτο πρότερον ὀφιοῦσσα, καὶ σταδία. εἶτα τελχινίς, ἀπὸ τῶν οἰκησάντων τελχίνων τὴν νῆσον. οὕς, οἱ μὲν γόητας φασὶν εἶναι καὶ βασκάνους, θείῳ καταρρέοντας τὸ τῆς στυγὸς ὕδωρ, ζώων τε καὶ φυτῶν ὀλέθρου χάριν. οἱ δέ, τεχνίτας μηχανικοὺς πρώτους εὑρόντας χαλκοῦ τε καὶ σιδήρου γένεσιν ἐκ μετάλλων. ἦλθον δ' ἐκ κρήτης εἰς κύπρον, εἶτα εἰς ῥόδον. ΟΤΙ μετὰ τοὺς τελχῖνας, οἱ ἡλιάδαι μυθεύονται κατασχεῖν τὴν νῆσον. ὧν ἑνὸς κερκάφου, γενέσθαι παῖδας γ̅. λίνδον, ἰήλυσον, κάμειρον, τοὺς καὶ τὰς πόλεις κτίσαντας ἐπωνύμους. ΟΤΙ τῆς ῥόδου ἡ περίμετρος, σταδίων ἐστὶν ψ̅κ̅.

Rhodi nomin.

Telchines

ΟΤΙ ἀτάβυρις, ὄρος ὑψηλότατον τῶν ἐν ῥόδῳ, ἱερὸν διὸς ἀταβυρίου. ΟΤΙ ὁ ποσειδώνιος, ἐπολιτεύσατο μὲν ἐν ῥόδῳ, καὶ ἐσοφίστευσεν. ἦν δὲ ἀπαμεύς, ἐκ τῆς συρίας.

Atabyris M

ΟΤΙ διονύσιος ὁ θρᾷξ, καὶ ἀπολλώνιος ὁ τοὺς ἀργοναύτας ποιήσας, ἀλεξανδρεῖς μὲν ἦσαν, ἐκαλοῦντο δὲ ῥόδιοι.

ΟΤΙ εὔδοξος ὁ μαθηματικός, κνίδιος ἦν, πλάτωνος μαθητής. ΟΤΙ ἡ ἁλικαρνασσὸς πόλις, τὸ βασίλειον ἦν τῶν τῆς καρίας δυναστῶν, καλουμένη πρὶν ζεφύρα. ἐνταῦθα ἐστὶν ὁ τοῦ μαυσώλου τάφος, ἓν τῶν ζ̅ θεαμάτων, ὅπερ ἀρτεμισία τῷ ἀνδρὶ κατεσκεύασεν. ἡρόδοτος δὲ ἐντεῦθεν ἦν, ὃν ὕστερον ἐκάλεσαν θούριον, διὰ τὸ κοινωνῆσαι τῆς εἰς θουρίους ἀποικίας.

Eudox

Alicarnass

Zephyra

Herodot

ΟΤΙ ἑκατόμνω τοῦ καρῶν βασιλέως, ἦσαν υἱοὶ τρεῖς, μαυσωλός, καὶ ἰδριεύς, καὶ πιξώδαρος. καὶ θυγατέρες δύο,

 ὧν τῇ

ὧν τῇ πρεσβυτέρᾳ Ἀρτεμισίᾳ, Μαύσωλος συνῴκησεν. τῇ δὲ Ἄδᾳ, ὁ δεύτερος ἀδελφὸς Ἰδριεύς. μετὰ δὲ θάνατον Μαυσώλου, Ἀρτεμισία ἦρξεν. ἐκείνης δ' ἀποθανούσης, Ἰδριεύς. ὃν διεδέξατο Ἄδα, ἡ ἀδελφὴ καὶ γυνή. ὁ δὲ Πιξώδαρος μηδίσας, καὶ προσλαβὼν σατράπην κοινωνὸν τῆς ἀρχῆς παρὰ Περσῶν, ἐξέβαλεν τὴν Ἄδαν. ἐλθόντος δὲ τοῦ Ἀλεξάνδρου, κατέφυγε πρὸς αὐτὸν ἡ Ἄδα, καὶ υἱὸν θετὸν ἐποίησεν καὶ κληρονόμον, καὶ οὕτως τὴν Καρῶν ἀρχὴν ἀνέλαβεν.

ΟΤΙ περὶ τὸν Κράγον ὄρος τῆς Λυκίας, τὰ κατὰ Χίμαιραν μυθολογοῦνται.

ΟΤΙ τὰ Σόλυμα ὄρη, Πισιδῶν ἐστί, περὶ Τελμησσὸν πόλιν. ΟΤΙ ἡ Κρόκος, θηλυκῶς λέγεται.

ΟΤΙ ἀπὸ Σόλων τῆς Κιλικίας ἦν, Χρύσιππός τε ὁ Στωϊκός, καὶ Ἄρατος.

ΟΤΙ τὸ παλαιὸν ἡ Ταρσός, ἐσπούδασεν τοσοῦτον περὶ φιλοσοφίαν καὶ τὴν ἄλλην παίδευσιν, ὥς τε καὶ Ἀθήνας καὶ Ἀλεξάνδρειαν ὑπερβάλλειν σχεδόν. οἱ δὲ μανθάνοντες, ἦσαν Ταρσεῖς.

ΟΤΙ ἔργα νέων, βουλαὶ δὲ μέσων, πορδαὶ δὲ γερόντων.

ΟΤΙ ὁ μὲν τῶν Πελοπιδῶν πλοῦτος, ἀπὸ τῶν περὶ Φρυγίαν καὶ Σίπυλον μετάλλων γέγονεν. ὁ δὲ Κάδμου, περὶ Θρᾴκην, καὶ τὸ Παγγαῖον ὄρος. ὁ δὲ Πριάμου, ἐκ τῶν Ἀστυρείοις περὶ Ἄβυδον χρυσείων, ὧν καὶ νῦν ἔτι μικρὰ λείπεται. πολλὴ δ' ἡ ἐκβολὴ καὶ τὰ ὀρύγματα, σημεῖα τῆς πάλαι μεταλλείας. ὁ δὲ Μίδου, ἐκ τῶν περὶ τὸ Βέρμιον ὄρος. ὁ δὲ Γύγου καὶ Ἀλυάττου καὶ Κροίσου, ἀπὸ τῶν ἐν Λυδίᾳ τῆς μεταξὺ
Ἀταρνέως τε καὶ Περγάμου πολίχνης
ἐρήμης, ἐκμεμεταλλευμέ-
να ἐχούσης τὰ
χωρία.

Χρηστομά-

Cragos M.
Solymi mōtes
Telmessus V.
Tarsus V.
Pelopidar(um) cadmi & priami opulētia unde
Midæ, Gyge, Alyattis, Croesi — Opulentia unde
Bermio mons.



# ΧΡΗΣΤΟΜΑΘΕΙΑΙ ΕΚ ΤΩΝ Στράβωνος γεωγραφικῶν Βιβλίου ιε.

ΟΤΙ ἡ Ἰνδικὴ σχῆμα ἔχει ῥομβοειδές. ἧς τὸ μὲν βόρειον πλευρόν, ὁ Καυκασός ἐστι τὸ ὄρος, ἀπὸ τῆς Ἀρείας ἀρξάμενον, ἕως τοῦ ἀνατολικωτάτου πέρατος. ὅπερ ὄρος διορίζει, Σάκας τε καὶ Σκύθας καὶ Σῆρας πρὸς βορρᾶν. Ἰνδοὺς δὲ πρὸς νότον. τὸ δὲ δυτικὸν πλευρόν, ὁ Ἰνδός ἐστι ποταμός, ῥέων ἐκ τοῦ Καυκάσου πρὸς δυσμὰς χειμερινάς. τὸ δὲ νότιον καὶ ἀνατολικόν, ἡ Ἐρυθρά ἐστι θάλασσα.

ΟΤΙ πᾶσα ἡ Ἰνδική, ποταμοῖς ἐστι κατάρρυτος. ὧν μέγιστοι δύο, Ἰνδὸς καὶ Γάγγης. ὧν πολὺ μείζων, ὁ Γάγγης ἐστίν.

ΟΤΙ ὁ Γάγγης ποταμός, ῥυεὶς ἐκ τῶν ὀρέων τῶν Καυκασίων πρὸς νότον, ἐπειδὰν ἅψηται τῶν πεδίων, ἀποστρέφει πρὸς ἀνατολάς, ἕως πόλεως μεγίστης Πολίβαθρα, οὕτως πρὸς νότον αὖθις εἰς τὴν Ἐρυθρὰν βάλλει. ὁ δὲ Ἰνδὸς ποταμός, δυσὶ στόμασι τὴν Παταληνὴν νῆσον πρὸς ταῖς ἐκβολαῖς περιλαβών, ἐκδίδωσιν εἰς τὴν Ἐρυθράν. ΟΤΙ πολλοὶ ὄμβροι, τὴν Ἰνδικὴν κατέχουσιν, ἐν οἷς λίνον σπείρεται, καὶ κέγχρον, καὶ σήσαμον, καὶ ὄρυζα, καὶ βόσμορον. τοῖς δὲ χειμερινοῖς καιροῖς, σῖτος, κριθή, ὄσπρια, καὶ ἄλλοι καρποί, ὧν ἡμεῖς ἄπειροι.

ΟΤΙ περὶ τὴν Ἰνδικὴν θάλασσαν, γίνεται κήτη ἀμφίβια. τὰ μὲν βουσί, τὰ δ' ἵπποις, τὰ δ' ἄλλοις χερσαίοις ἐοικότα. ΟΤΙ ὁ βόσμορος, σῖτός ἐστι μικρότερος πυροῦ. γεννᾶται δ' ἐν ταῖς μεσοποταμίαις. φρύγεται δ' ἐπὰν ἀλοηθῇ, προομνύντων μὴ ἀποίσειν ἄπυρον ἐκ τῆς ἅλω, τοῦ μὴ ἐξάγεσθαι σπέρμα. ἡ δὲ Ἰνδική, σεισμοῖς πολλοῖς ἁλίσκεται, καὶ οἱ ποταμοὶ πολλάκις μετακοιτιζόμενοι τὰς παρακειμένας πόλεις, τὰς μὲν κατακλύζουσι, τὰς δὲ ἀκαρπίᾳ διαφθείρουσι καὶ δίψῃ.

ΟΤΙ οἱ τῆς Ἰνδικῆς καρποί, διφόροι εἰσίν, οἵ τε σπαρτοὶ



Indiæ figura
Caucasus M
Indus fl.
Ganges fl
Polibathra
Indus fl.
βόσμορος
μετακοιτιζόμενοι

καὶ οἱ τῶν δένδρων, διά τε τοὺς πολλοὺς ὄμβρους, καὶ τοὺς ἰσχυροὺς ἡλίους.

ΟΤΙ ἔν τισι κλάδοις τῶν ἐν ἰνδίᾳ δένδρων, ἔριον ἐπανθεῖ, διὰ τὸ ἔνικμον τοῦ ξύλου, ἐξ ὧν σινδόνες γίνονται. ἔστι δὲ καὶ φλοιὸς δένδρων ἐκεῖ, ἐξ ὧν ἱμάτια ποικίλα γίνεται. ἔστι δὲ καὶ δένδρα παρ' αὐτοῖς, μέλι ποιοῦντα ἄνευ ζώων, ἐξ ὧν οἱ φαγόντες μεθύσκονται. εἰσὶ δέ τινα ἐκεῖ δένδρα, ὧν τὰ φύλλα, οὐκ ἐλάττω ἀσπίδος ἐστίν. ἄλλα δὲ ἕως ὀλίγων πηχῶν κλάδους αὐξήσαντα, εἶτα διὰ τὸ βάρος, κάτω νεύειν αὐξόμενα ἕως τῆς γῆς. εἶτα ἐκεῖσε πάλιν ῥιζωθέντα, αὖθις αὔξεσθαι πρὸς τὸ ἄνω. εἶτα αὖθις ἐπινεύειν, καὶ αὖθις ῥιζοῦσθαι, ὡς ἐοικέναι τὴν σκιὰν αὐτῶν οἰκίᾳ πολυστέγῳ. εἰσὶ δὲ καὶ δένδρα, ὧν τὰ στελέχη, καὶ ε̄ ἀνθρώποις εἶναι δυσπερίληπτα.

*Mel indicū nota*

ΟΤΙ ἱστορεῖ ἀριστοτέλης, γυναῖκα αἰγυπτίαν, ἑπτάδυμα παιδία τετοκέναι. πολύτοκοι γὰρ αἱ τῶν αἰγυπτίων γυναῖκες.

*Aristot*

ΟΤΙ ἀλεξάνδρου ἀφικομένου εἰς τάξιλα πόλιν ἰνδῶν, καὶ ξενισθέντος ὑπὸ τῶν ἐνοικούντων μεγάλως, καὶ μειζόνως αὐτοὺς εὐεργετήσαντος, οἱ μακεδόνες ἐφθόνησαν φάντες, ὅτι οὐκ εἶχεν ἀλέξανδρος ὡς ἔοικεν οὓς εὐεργετήσει, πρὶν ἢ διέβη τὸν ἰνδόν.

*Taxila-V.*

ΟΤΙ οἱ πίθηκοι καὶ οἱ ἐλέφαντες ἀνθρωπόνουν ἐστὶ ζῷον. καὶ σημεῖον τούτου, αἱ ἐν πολέμῳ σὺν τάξει προσβολαὶ ἑκατέρων.

*Simiæ & elephantes pxime accedunt ad humanū intellectū*

ΟΤΙ οἱ πίθηκοι, ὑπὸ ἰνδῶν ἁλίσκονται οὕτως. θέντες ὕδωρ πρὸ αὐτῶν, ἀπονίπτονται τὸ πρόσωπον, καὶ πλησίον ἕτερον τρύβλιον ἔχον ἰξόν. ἀπονιψάμενοι δὲ ὑποχωροῦσιν. οἱ δὲ πίθηκοι καθήμενοι μετέωροι ἐπὶ δένδρου, καταβάντες, μιμοῦνται. καὶ οὕτως ἀπονιπτόμενοι τῷ ἰξῷ, ἁλίσκονται. καὶ ἑτέρως πάλιν. θυλάκους ὑποδύονται κενούς, καὶ ὑποχωροῦσι, πλησίον ἀφέντες ἑτέρους δασεῖς ἰξῷ κεχρισμένους. οἱ δὲ μιμησάμενοι, ἁλίσκονται.

*Simiarū captura*

ΟΤΙ τινὲς τῶν ἰνδῶν, τοῖς τεθνηκόσι συγκατακαίουσι

τὰς



τὰς γαμετάς. ἵνα μὴ προφάσει μοιχείας, ἐρῶσαι ἄλλων, φαρμακεύοιεν αὐτοὺς τοὺς γαμέτας.

ΟΤΙ παρ' ἰνδοῖς, κύνες εἰσὶν ἀρετὰς ἔχοντες μεγάλας. ἀλεξάνδρῳ γοῦν σωπείθης ρ̄ν κύνας δοὺς, ἀποπείρας χάριν λέοντα προβαλὼν, δύο αὐτῷ κύνας ἐπαφῆκεν. κρατουμένων δὲ αὐτῶν, ἑτέρους δύο ἐπαφῆκεν. ὡς δὲ ἐφάμιλλος ἦν ὁ ἀγών, ἐκέλευσεν ὁ σωπείθης, τὸν ἕνα κύνα ἀποχωρῆσαι. μὴ πειθομένου δὲ, τὸν μηρὸν ἐκέλευσεν ἐκτμηθῆναι τοῦ κυνός. καὶ οὕτως ἀργῶς πρότερον ἐξετμήθη ὁ μηρός, ἢ τοῦ δήγματος ὁ κύων μεθῆκεν. ἀλλ' εἴχετο τοῦ λέοντος, ἕως ἀπέθανεν.

*Sopithes*

*Canes indici*

ΟΤΙ ἐν ἰνδίᾳ, ὑγιεινότατος μὲν ὁ ἀήρ. μακροβιώτατοι δ' οἱ ἰνδοί, ὥς τε καὶ ὑπὲρ τὰ ρ̄λ ἔτη ζῆν. συσσίτια δ' ἐστὶν αὐτοῖς, ὡς τοῖς λάκωσιν. τῷ δὲ χρυσῷ, οὐ χρῶνται, οὐδὲ τῷ ἀργύρῳ. ἀντὶ δὲ δούλων, τοῖς ἐν ἀκμῇ χρῶνται. πλὴν δὲ τῆς ἰατρικῆς, ἄλλην οὐ κατορθοῦσιν ἐπιμελῶς ἐπιστήμην, ὡς ἂν κακουργούσης τῶν ἄλλων, εἰ πλέον τοῦ μετρίου διδάσκοιντο. δίκη δὲ παρ' αὐτοῖς οὐκ ἔστιν, πλὴν φόνου καὶ ὕβρεως. ταῦτα γὰρ οὐκ ἐφ' ἡμῖν ἐστιν παθεῖν. τὰ δ' ἐν τοῖς συμβολαίοις, ἐφ' ἡμῖν. καὶ δεῖ πολυπραγμονεῖν πρότερον, πρὶν ἐξαπατηθῇ τις. ἵνα μὴ δικῶν ᾖ πλήρης ἡ χώρα.

*Syssitia indorū*

*Lites & dia*

ΟΤΙ ἐν ἰνδίᾳ, τίγρειδες γίνονται, διπλάσιοι τῷ μεγέθει λεόντων, καὶ ἰσχυρότεροι δὲ πάντων μάλιστα λεόντων.

*Tigrides*

ΟΤΙ φασὶν ἐν ἰνδίᾳ, λίθους ὀρύττεσθαι λιβανοχρόους, γλυκυτέρους σύκων, καὶ ὄφεις ὑμενοπτερωτοὺς καὶ σκορπίους.

ΟΤΙ ἐν ἰνδίᾳ ἀλκιμώτατοί εἰσιν κύνες, οὐ πρότερον μεθιέντες τοῦ δήγματος, πρὶν ὕδωρ εἰς τοὺς ῥώθωνας αὐτῶν χυθῆναι. ἐνίους δὲ ὑπὸ προθυμίας ἐν τῷ δήγματι διαστρέφεσθαι τοὺς ὀφθαλμοὺς φασί. τοῖς δὲ, καὶ ἐκπίπτειν. κατέχεσθαι δὲ καὶ λέοντα ὑπὸ κυνὸς καὶ ταῦρον. τὸν δὲ ταῦρον, καὶ ἀποθανεῖν, κρατούμενον ἀπὸ τοῦ ῥύγχους.

*Canes*

*ῥώθωνας*

ΟΤΙ ἐν τῇ ὀρεινῇ τῆς ἰνδικῆς, σίλας ἐστὶ ποταμός, ᾧ οὐδὲν ἐπιπλεῖ.

*Silas-Fl.*

ὅτι εἰσὶν

*De aere indico notandu*

ΟΤΙ εἰσὶν ἀέρος λεπτοί, οἷς οὐδὲν ἐποχεῖται πετεινῶν. ἴσως δὲ καὶ οἱ ἀναφερόμενοι ἀτμοί, ἐπισπῶνται φυσικῇ ὁλκῇ, καὶ οἷον ῥοφοῦσι τὰ ὑπερπετῆ, καὶ ὡς τὸ ἤλεκτρον τοῦ ἀχύρου, καὶ ἡ μαγνῆτις τοῦ σιδήρου ἑλκτικά ἐστιν. τάχα δὲ καὶ καθ' ὕδατος, τοιαῦταί τινες εἶεν ἂν δυνάμεις.

*Indi diuisi in 7. partes*

ΟΤΙ τὸ τῶν ἰνδῶν πλῆθος, εἰς ἑπτὰ μέρη διήρηται. ὧν πρῶτοι μέν, οἱ φιλόσοφοι, ἐντιμότατοι καὶ ὀλίγιστοι. χρῶνται δ' αὐτοῖς, δημοσίᾳ τε καὶ ἰδίᾳ, θύοντές τε καὶ ἐναγίζοντες καὶ μαντευόμενοι. ὃς δ' ἂν τρὶς μαντευσάμενος ἀστοχήσῃ, ἀναγκάζεται διὰ βίου σιγᾶν. ὁ δὲ κατορθώσας, ἀτελὴς καὶ ἄφορος γίνεται. δεύτεροι δ' οἱ γεωργοί, πλεῖστοί τε ὄντες καὶ ἐπιεικεῖς, διὰ τὸ μὴ στρατεύεσθαι. ἔστι δ' ἡ γῆ πᾶσα βασιλική, μισθοῦ δ' αὐτὴν ἐπὶ τετάρταις ἐργάζονται τῶν καρπῶν. τρίτοι δ' οἱ ποιμένες καὶ θηρευταί. οἷς μόνοις ἔξεστι θηρεύειν καὶ θρεμματοτροφεῖν, σκηνῖται ὄντες καὶ μετανάσται. οἱ δ' ἐλέφαντες ιζ μῆνας κατὰ γαστρὸς φέρονται. παρὰ δὲ τῇ μητρί, ἓξ ἔτη τρέφονται. ζῶσι δ' ἔτη, πλείω τῶν διακοσίων. τῶν δὲ λιβυκῶν, οἱ ἰνδικοί μείζους τέ εἰσι καὶ ῥωμαλεώτεροι. ταῖς γοῦν προβοσκίσιν ἐπάλξεις καθαιροῦσι, καὶ δένδρα ἀνασπῶσι πρόρριζα, διανιστάμενοι εἰς τοὺς ὀπισθίους πόδας. τοσοῦτον δ' εἰσὶν εὐπειθέστατοι καὶ θυμόσοφοι, ὥστε καὶ λιθάζειν μανθάνουσι, καὶ ὅπλοις χρῆσθαι, καὶ νεῖν. οἱ δὲ χρυσοφόροι μύρμηκες, ὥσπερ οἱ ἀσπάλακες, ὀρύττουσι τὴν γῆν χρυσῖτιν οὖσαν, ἣν οἱ ἰνδοὶ σοφίσμασί τισιν ὑποκλέπτουσι. φοβοῦνται γὰρ μὴ ληφθέντες ὑπὸ τῶν μυρμήκων ἀπόλωνται. καὶ γὰρ μέγεθος μὲν ἔχουσιν, ὑπὲρ ἀλώπεκα. τάχος δὲ ὑπὲρ λαγωούς. οἱ δ' ὄφεις, οἱ μὲν μικροὶ καὶ σπιθαμαῖοι, ἀφύλακτοί τέ εἰσι καὶ θανατώδεις. οἱ δὲ μεγάλοι καὶ ὑπὲρ τοὺς ιε πήχεις, δυνάμεως περιουσίᾳ πάλιν ἀφόρητοι. ἐπαοιδαῖς δὲ καὶ βοτανῶν ῥίζαις, ἰῶνται. κροκόδειλοι δ' εἰσὶν ἐν τῷ ἰνδῷ ποταμῷ, μικρότεροι τῶν νειλώων. τέταρτοι δ' εἰσίν, οἱ χειρώνακτες καὶ κάπηλοι. πέμπτοι δ' οἱ πολεμισταί. οἱ τινὲς

*De uatib' mendacibus pulchru*

*Elephante*

*Formicae aurifere*

*Angues*

*Crocodili*

τὰ μὲν



τὰ μὲν ἄλλα ἔτη εὐπαθοῦσιν, σιτιζόμενοι προῖκα. ἐν δὲ τοῖς πολέμοις ἐξέρχονται. ἕκτοι δ' οἱ ἔφοροι. οἱ τινὲς ἐπισκοποῦντες λάθρα, ἀναγγέλλουσι ταῖς ἀρχαῖς τὰ εὖ ἢ κακῶς πραττόμενα. ἕβδομοι δ' οἱ σύνεδροι καὶ σύμβουλοι τοῦ βασιλέως, ἐξ ὧν τὰ ἀρχεῖα καὶ δικαστήρια καὶ ἡ διοίκησις τῶν ὅλων. οὐ δεῖ δ' ἐξ ἄλλου γένους γαμεῖν, οὔτ' ἐπιτηδεύειν τι ἀντ' ἄλλου ἄλλο. οὐδὲ πλείους μεταχειρίζεσθαι τὸν αὐτὸν τέχνας, πλὴν εἰ φιλοσοφεῖν μόνον.

ΟΤΙ ἰνδοί, οἶνον οὐ πίνουσι, πλὴν ἐν θυσίαις μόνον. ἀλλ' ἀπὸ χυλοῦ ὀρύζης, ποιοῦσι τὸ πόμα, οὐχὶ δὲ κριθῆς.

ΟΤΙ ἰνδοὶ τοσοῦτον ἁπλότητος μεταποιοῦνται, ὡς μηδὲ τὰ οἴκοι φυλάττειν. τὴν γὰρ ἀπιστίαν φασίν, πονηροδιδασκαλίαν εἶναι.

*Τὴν ἀπιστίαν πονηροδιδασκαλίαν εἶναι*

ΟΤΙ ἰνδοί, ἀλήθειαν καὶ ἀρετὴν μάλιστα ἐπιτηδεύουσιν, καὶ ὁ ἁλοὺς ἐπὶ ψευδομαρτυρίᾳ, ἀκρωτηριάζεται.

ΟΤΙ τοὺς τῶν ἰνδῶν βασιλεῖς, γυναῖκες κομίζουσιν ἐπιμελόμεναι. ἐὰν δέ τις γυνή, μεθύοντα βασιλέα ἀποκτείνῃ τιμᾶται.

ΟΤΙ τῶν παρ' ἰνδοῖς σοφῶν, δύο γένη εἰσίν. ὧν οἱ μὲν βραχμᾶνες εἰσίν, οἱ δὲ γερμᾶνες. οἱ δὲ βραχμᾶνες, ἀπέχονται ἐμψύχων καὶ ἀφροδισίων, φιλομαθοῦντες ἐν ἀφθόνῳ διαθέσει. ὁ δ' ἀκροατής, οὔτε χρέμψαιτο, οὔτε λαλῆσαι, οὔτε πτύσαι, ἀλλ' εὐτάκτως σιγᾷ. ἔτη δὲ λζ οὕτως ζήσας ἕκαστος, ἀναχωρεῖ εἰς τὰ οἰκεῖα. καὶ μετὰ ταῦτα, ἐν εὐπαθείᾳ ζῇ, χρυσοφορῶν καὶ κρεῶν ἀπτόμενος.

*Sapientu duo genera. & modestia discipulorum attende*

ΟΤΙ ἰνδοὶ νομίζουσι, τὸν μὲν ἐνθάδε βίον, ὡς ἂν ἀκμὴν κυομένων εἶναι. τὸν δὲ θάνατον, γένεσιν εἰς τὸν ὄντως βίον τὸν εὐδαίμονα τοῖς φιλοσοφήσασι. τὸν δὲ κόσμον, γενητὸν καὶ φθαρτὸν φασὶ καὶ σφαιροειδῆ. καὶ ὅτι ὁ ποιήσας καὶ διοικῶν αὐτὸν θεός, δι' ὅλου διαπεφοίτηκεν αὐτοῦ. καὶ ὅτι αἱ ψυχαὶ ἀθάνατοί εἰσι, καὶ τὰ ὑπὸ γῆν δικαιωτήρια.

A ὅτι οἱ

*ἀκρωτηριάζει*

*δικαιωτήρια*

ΟΤΙ οἱ γερμάνες, τὸ πολιτικὸν τῆς φιλοσοφίας μετέρχονται. τῇ δὲ ἰατρικῇ χρῶνται, οὐ τῇ διὰ φαρμάκων, ἀλλὰ τῇ διὰ διαίτης τὸ πλέον. καὶ τῶν φαρμάκων, τὰ ἐπίπλαστα καὶ ἐπίχριστα εὐδοκιμεῖν.

ΟΤΙ πάντων ἰνδῶν οἱ σοφοί, καρτερίαν ἀσκοῦσι, τήν τ' ἐν τοῖς πόνοις, καὶ τὴν ἐν ταῖς ὑπομοναῖς, ὥστ' ἐφ' ἑνὸς σχήματος, ἀκίνητον διατελέσαι τὴν ἡμέραν ὅλην.

ΟΤΙ ἐν ταξίλοις ἰνδοί, τοὺς τελευτήσαντας, ἀτάφους ῥίπτουσιν.

ΟΤΙ οἱ παρ' ἰνδοῖς σοφοί, ἡνίκα αἴσθωνται νοσοῦντες ἑαυτῶν, αἰσχρὸν τοῦτο ἡγούμενοι, ἐξάγουσιν ἑαυτοὺς τοῦ ζῆν διὰ πυρός.

Porus

Dona Cesari missa à poro.

ΟΤΙ πῶρος τὶς ἰνδὸς βασιλεύς, ἀπέστειλε πρὸς καίσαρα τὸν θεὸν δῶρα. ἄνθρωπόν τε ἐξ ἀρχῆς, ἀποτετμημένον τῶν ὤμων, ἄχειρα. καὶ ἐχίδνας μεγάλας. καὶ ὄφιν πηχῶν ι. καὶ χελώνην ποταμίαν, τρίπηχυν. καὶ πέρδικα, μείζω γυπός.

Aria

Arachosia

Gedrosia

ΟΤΙ πρὸς δυσμὰς τοῦ ἰνδοῦ ποταμοῦ, ἥ τε ἀρεία ἐστίν. καὶ πρὸς νότον, ἀραχωσία καὶ γεδρωσία ἔτι, τετράπλευρον οὖσα. οὗ τὸ μὲν νότιον πλευρόν, ἡ ἐρυθρά. τὸ δ' ἀνατολικόν, ὁ ἰνδός. τὸ δὲ δυτικόν, ὁ περσικὸς κόλπος. τὸ δὲ βόρειον, τὰ ὄρη τοῦ ταύρου, ἃ καλεῖται βάγωα καὶ πάρσυντα. τὸ δὲ μῆκος τῆς θαλάσσης, στάδιοι μύριοι ϛ.

ΟΤΙ γίνεται κῆτη ἐν τῇ ἐρυθρᾷ, πηχῶν ὄντα οβ.

Bagóa Parsynta M.

Ἐπίγραμμα ἐπὶ τῷ τάφῳ κύρου τοῦ βασιλέως.

ἐνθάδ' ἐγὼ κεῖμαι κῦρος, βασιλεὺς βασιλήων.

ἐπὶ δὲ τοῦ δαρείου, οὕτως. φίλος ἦν τοῖς φίλοις. ἱππεὺς καὶ τοξότης ἄριστος ἐγενόμην, κυνηγῶν ἐκράτουν, πάντα ποιεῖν ἠδυνάμην.

Susoru(m) V. aestu

ΟΤΙ ἐν σούσοις, τοσαύτην ἔχει τὴν τοῦ ἀέρος ἐν θέρει ἀκμάζοντι ἡ πόλις μεσημβρίας τὴν θέρμην, ὥστε καὶ τὰς σαύρας καὶ τοὺς ὄφεις ἐν τῇ πόλει, διαβῆναι μὴ φθάνειν τὰς ἐν τῇ πόλει ὁδούς, ἀλλ' ἐν μέσαις περιφλέγεσθαι. ὕδωρ δὲ ψυχρὸν προτεθέν, ἐκθε-



ἐκθερμαίνεται παραχρῆμα. τὰς δὲ κριθὰς φασίν, διασπαρείσας εἰς τὸν ἥλιον φρύγεσθαι, καθάπερ ἐν ἰπνῷ τὰς κάχρυς. διὸ καὶ ταῖς στέγαις, ἐπὶ δύο πήχεις τὴν γῆν ἐπιτίθεσθαι. ὑπὸ δὲ τοῦ βάρους ἀναγκάζεσθαι, στενοὺς μέν, μακροὺς δὲ τοὺς οἴκους ποιεῖσθαι, ἀπορούντων μακρῶν δοκῶν, δεομένους διὰ τὸ πνῖγος, μεγάλων οἰκιῶν. ἴδιον δέ τι πάσχει, ἡ φοινικίνη δοκός. στερεὰ γὰρ οὖσα, παλαιουμένη οὐκ εἰς τὸ κατώτατον ἐνδόσιν λαμβάνει. ἀλλ' εἰς τὸ ἄνω μέρος κυρτοῦται ὑπὸ τοῦ βάρους, καὶ βέλτιον ἀνέχει τὴν ὀροφήν.

κάχρυς

De Palma notādum

Indorū dij

ΟΤΙ πέρσαι, ἀγάλματα καὶ βωμούς, οὐχ ἱδρύονται. τιμῶσι δὲ ἥλιον καὶ σελήνην καὶ ἀφροδίτην καὶ πῦρ καὶ γῆν καὶ ἀνέμους καὶ ὕδωρ. εἰ δέ τις εἰς πῦρ φυσήσειεν, ἢ νεκρὸν ἐπιθείη, ἢ ὄνθον, θανατοῦται παρ' αὐτοῖς. ῥιπίζοντες δὲ ἐξάπτουσι τὴν φλόγα. ἐπὶ δ' ὕδατι, ἐπὶ λίμνην ἢ ποταμὸν ἢ κρήνην ἐλθόντες, βόθρον ὀρύξαντες, εἰς τοῦτον σφαγιάζονται, φυλαττόμενοι, μή τι τοῦ πλησίον ὕδατος καθαροῦ αἱμαχθῇ, ὡς μιανοῦντες.

ΟΤΙ πέρσαι εἰς ποταμόν, οὔτε οὐροῦσιν, οὔτε νίπτονται, οὔτε λούονται, οὔτε νεκρὸν ἐμβάλλουσιν, οὔτε τι μυσαρόν.

ΟΤΙ ἆθλα πολυτεκνίας, πέρσαι προτιθέασιν.

Dogmata persarum ebriorū. not.

ΟΤΙ πέρσαι, μεθύοντες βουλεύονται περὶ τῶν μεγίστων, καὶ ἡγοῦνται ταῦτα βεβαιότερα τῶν ἐν νήψει.

ΟΤΙ πρῶτος δαρεῖος ὁ μακρόχειρ, φόρους ἔταξε φέρειν. πρὸ γὰρ αὐτοῦ, ἐξ ὧν ἑκάστη χώρα ἔφερεν, ἐτελεῖτο. οἷον σῖτος, ἵπποι.

Syria

ΟΤΙ συρία καλεῖται, ἀπὸ βαβυλῶνος, μέχρι τοῦ ἰσσικοῦ κόλπου, καὶ ἐκεῖθεν συνεχῶς, μέχρι τοῦ πόντου, τουτέστιν ἕως τῶν λευκοσύρων, καὶ τῶν περὶ ἀμισὸν τόπων. ὧν ἐν μέσῳ καταπεδύκασιν ἀμφότεροι, οἵ τε ἐντὸς καὶ ἐκτὸς ταύρου ὄρους. ὁ δὲ ταῦρος, ἕως τοῦ ἀμάνου διήκει ὄρους.

Ninus. V

Aturie cap

ΟΤΙ ἡ νῖνος πόλις τῶν ἀσσυρίων, πολὺ μείζων ἦν βαβυλῶνος, κειμένη ἐν πεδίῳ τῆς ἀτουρίας. ἡ δὲ ἀτουρία, πλησίον ἀρ-

βύλωνος ἐστὶν, μεταξὺ ἔχουσα τὸν λύκον ποταμόν.

ΟΤΙ ἡ Βαβυλὼν τῆς μεσοποταμίας, τὸν κύκλον ἔχει τοῦ τείχους σταδίων τπε΄. πάχος δὲ τοῦ τείχους, ποδῶν λβ΄. ὕψος δὲ, τῶν μὲν μεσοπυργίων, πήχεις ν΄. τῶν δὲ πύργων ξ΄. δίοπος καὶ τῶν ζ΄ θεαμάτων ἐστὶν, καὶ ὁ κρεμαστὸς κῆπος.

ΟΤΙ ἀπέχει Βαβυλὼν τῆς σελευκείας τῆς ἐν μεσοποταμίᾳ στάδια τ΄. καὶ ἔστιν νῦν, ἔρημος μὲν ἡ Βαβυλὼν, ἀνώνυμος δὲ ἡ σελεύκεια. ὥστε τοῦ κωμικοῦ ἐστὶν ἐπ' αὐτῇ εἰπεῖν, ὅπερ ἐκεῖνος περὶ τῆς μεγάλης πόλεως.
ἐρημία μεγάλη 'στὶν, ἡ μεγάλη πόλις.

ΟΤΙ περὶ πόλιν ἄρβηλα τῆς ἀσσυρίας, γέγονεν ἡ μεγάλη μάχη καὶ τελευταία ἀλεξάνδρου πρὸς δαρεῖον, περὶ γαυγάμηλα κώμην. πλησίον δὲ καὶ ποταμὸς λύκος, καὶ πόλις δημητριάς, καὶ ἡ τοῦ νάφθα πηγή, καὶ τὰ πυρά.

ΟΤΙ ἀπὸ τῆς θαλάσσης ἀναπλέεται, ὁ μὲν τίγρις, ἕως ὤπιδος καὶ σελευκείας. ὁ δὲ εὐφράτης, ἕως Βαβυλῶνος στάδια ,γ.

ΟΤΙ ἡ περὶ τὸν εὐφράτην ποταμὸν χώρα, φέρει κριθὰς ὑπὲρ τὰ τριακοσιάχοα. ἐκ δὲ τοῦ φοίνικος αὐτόθι, γίνεται οἶνος καὶ ὄξος καὶ μέλι καὶ ἄλφιτα. καὶ τοῖς τῶν φοινίκων πυρῆσι, χρῶνται οἱ χαλκεῖς ἀντὶ ἀνθράκων. βρεχόμενοι δὲ τοῖς σιτιζομένοις προβάτοις καὶ βουσὶν τροφὴ γίνεται. φασὶν δὲ καὶ περσικὴν ᾠδὴν εἶναι, ἐν ᾗ τὰς ἀπὸ τῶν φοινίκων ὠφελείας, τξ΄ διαριθμοῦνται.

ΟΤΙ περὶ Βαβυλῶνα, γίνεται ἄσφαλτος πολλή. ἧς, ἡ μὲν ὑγρά, καλουμένη δὲ νάφθα. ἡ δὲ ξηρά, πλησίον εὐφράτου. καὶ γίνονται βῶλοι μεγάλαι ἐξ αὐτῆς, πρὸς τὰς οἰκοδομὰς ἐπιτήδειαι τὰς διὰ τῆς ὀπτῆς πλίνθου. ἡ δὲ ὑγρὰ ἡ καὶ ἄφθα, παράδοξον ἔχει τὴν φύσιν. προσαχθεὶς γὰρ ὁ ἄφθας πυρὶ πλησίον, ἀναρπάζει τὸ πῦρ. κἂν ἐπιχρίσας αὐτῷ σῶμα προσαγάγῃς, φλέγεται. σβέννυται δὲ πηλῷ καὶ ὄξει καὶ στυπτηρίᾳ καὶ ἰξῷ



Babylō

Muri & horti pēsils

ἐρημία μεγάλη ἐστὶν ἡ μεγάλη πόλις

Arbela. v.

Gaugamela.

Lycus. fl.

Demetrias. v.

Fons naphtha.

Opis Seleuciæ

Asphaltus. i. bitumé

Naphtha a D Haphtha



καὶ ὕδατι πολλῷ. πεῖραν δὲ χάριν ἀλέξανδρος, ἐν λουτρῷ προσέχεε παιδὶ τοῦ ἄφθα, καὶ προσήγαγεν λύχνον. φλεγόμενος δ' ὁ παῖς, παρ' ὀλίγον ἀπώλετο. πλὴν πολλῷ σφόδρα καταντλοῦντες τῷ ὕδατι, ἔσβεσαν.

ΟΤΙ λέγεται καὶ ὁ ἄφθας καὶ ἡ ἄφθα καὶ ἡ νάφθα καὶ τὸ νάφθα.

ΟΤΙ ἡ ἀδιαβηνή, τῆς Βαβυλωνίας ἐστὶν μέρος καὶ ἐπαρχία.

ΟΤΙ ὁ τίγρις, διαρρεῖ τὴν θωπῖτιν λίμνην, κατὰ πλάτος μέσην. καὶ διεκπεράσας ἐπὶ θάτερον χεῖλος, κατὰ γῆς δύεται μετὰ ψόφου πολλοῦ. ἐπὶ πολύ τ' ἐνεχθεὶς ἀφανής, ἀνίσχει τῆς γορδυαίας ἐγγύς.

ΟΤΙ τοσοῦτον ἐστὶν ὀξὺς ὁ τίγρις, ὅτι τῆς λίμνης τῆς θωπίτιδος ἁλμυρᾶς οὔσης, καὶ ἰχθύων χωρὶς, οὐκ ἐπιμίγνυται αὐτῇ.

ΟΤΙ ἀπὸ θαψάκου ἕως Βαβυλῶνος, στάδιοι ,δω΄.

ΟΤΙ ἀπὸ τοῦ κατὰ κομμαγηνὴν ζεύγματος, ὅπερ ἐστὶν πόλις σαμόσατα, καὶ ἐστὶν ἀρχὴ τῆς μεσοποταμίας, στάδιοι ,α ἕως θαψάκου.

ΟΤΙ ἡ μὲν θάψακος, τῆς ἀραβίας ἐστὶν πόλις. ἡ δὲ νικηφόριον, τῆς μεσοποταμίας. καὶ ἀπέχουσιν ἀλλήλων αἱ πόλεις, σταδίους ξ΄.

ΟΤΙ ἡ μεσοποταμία, φέρει τὸν ἄφθαν, καὶ τὴν γαγγίτιν λίθον.

ΟΤΙ μεταξὺ εὐφράτου καὶ τίγριδος, ῥεῖ καὶ ἄλλος ποταμὸς Βασίλειος καλούμενος. καὶ περὶ τὴν ἀνθεμουσίαν, ἄλλος ἀβόρας ποταμός.

ΟΤΙ τὴν συρίαν ὁρίζει, πρὸς ἄρκτους μὲν ἡ κιλικία καὶ τὸ ἀμανὸν ὄρος. τὸ δὲ πλάτος, ἀπὸ θαλάσσης ἐπὶ τὸν εὐφράτην. εἰσὶν δὲ ἀπὸ τοῦ ἰσσικοῦ κόλπου μέχρι τοῦ κατὰ κομμαγηνὴν ζεύγματος, οἱ τὸ λεχθὲν πλευρὸν ἀφορίζοντες, ἐλάττους τῶν υ΄ σταδίων. πρὸς ἕω δὲ, τῷ εὐφράτῃ καὶ τοῖς ἐντὸς τοῦ εὐφράτου



Haphtha.

HAphthas

H Aphtha

Naphtha genus foe. & neu.

Adiabene

Tigris. fl.

Thopitis palus

Gordyææ

Thapsacus. v.

Zeugma

Thapsacus

Nicephorió

Haphthá

Gangitis lapis

Basileus. fl.

Aboras. fl.

Syriæ termini

Syriam terminat ab oriente Euphrates & arabes Scenitæ q sunt intra Euphraté

σκηνίταις ἄραψι. πρὸς δὲ νότον, τῇ εὐδαίμονι ἀραβίᾳ καὶ τῇ αἰγύπτῳ. πρὸς δύσιν δὲ τῷ αἰγυπτίῳ τε καὶ συριακῷ πελάγει, μέχρι ἰσσοῦ. μέρη δ᾽ αὐτῆς, ἀπὸ τοῦ ἀμάνου ὄρους, κομμαγηνή, σελευκίς, κοίλη φοινίκη, ἰουδαία, καὶ αἱ λοιπαὶ ἐπαρχίαι.

ΟΤΙ ἡ κομμαγηνὴ ἔχει πόλιν ἐπίσημον σαμόσατα. ἡ δὲ σελευκίς, καλεῖται τετράπολις. ἔχει γὰρ πολλὰς μὲν πόλεις, ἐπισήμους δὲ δ΄. σελεύκειαν τὴν πιερίαν, ἀπὸ τοῦ κτίσαντος νικάτορος. ἀντιόχειαν τὴν ἐπὶ δάφνῃ, ἀπὸ τοῦ πατρὸς αὐτοῦ. λαοδίκειαν, ἀπὸ τῆς μητρὸς αὐτοῦ. ἀπάμειαν, ἀπὸ τῆς γυναικός. πάσας γὰρ ταύτας, σέλευκος ὁ νικάτωρ ἔκτισεν.

ΟΤΙ ὁ ὀρόντης ποταμὸς ἐκ μεσοποταμίας ὁρμηθείς, εἶτα ὑπὸ γῆν ἀφανισθείς, αὖθις ἐκδίδωσι περὶ τὴν ἀπαμηνήν, καὶ οὕτως εἰς τὴν κατὰ σελεύκειαν ἐμβάλλει θάλασσαν. καὶ ἔστιν ἐκεῖ πλησίον ὄρος, πιερία καλούμενον. εἶτα πρὸς νότον, τὸ κάσιον ὄρος, πλησίον λαοδικείας πόλεως. ἔνθα δολαβέλλας ὑπὸ κασσίου πολιορκηθείς, ἐτελεύτα.

ΟΤΙ ἡ ἀπάμεια πόλις, χερρόνησος καλεῖται, καὶ ἔστιν ὑπό τε τοῦ ποταμοῦ ὀρόντου, καὶ ὑπὸ τῆς ἐγγὺς οὔσης λίμνης μεγάλης, καὶ τῶν ἑλῶν. ἐκαλεῖτο δὲ πέλλα πρότερον ὑπὸ τῶν πρώτων μακεδόνων αὐτόθι οἰκησάντων. ὕστερον δ᾽ ὁ νικάτωρ σέλευκος κτίσας αὐτήν, ἐπὶ τῇ γυναικὶ ὠνόμασεν. ἐνταῦθα καὶ ὁ νικάτωρ, τοὺς φ΄ ἐλέφαντας ἔτρεφεν. καὶ ἱπποφόρβιον βασιλικόν, τρισμυρίων ἵππων θηλειῶν. ἀπαμεὺς δ᾽ ἦν, ὁ πολυμαθέστατος τῶν καθ᾽ αὐτὸν φιλοσόφων ποσειδώνιος.

ΟΤΙ ἐν τῇ νήσῳ ἀράδῳ, πηγή ἐστιν γλυκέος ὕδατος, ὑπὸ τοῖς κύμασιν ἀναβλυστανούσης. ἀφ᾽ ἧς ὑδρεύονται, κλίβανον στενοῦ πυθμένος εὐρύστομον μολιβοῦν, περὶ αὐτὴν καθιέντες.

ΟΤΙ ἡ τρίπολις ἐκ τριῶν συνῳκίσθη πόλεων. τύρου, καὶ σιδῶνος, καὶ ἀράδου. τῇ δὲ τριπόλει, συνεχές ἐστιν τὸ τοῦ θεοῦ πρόσωπον, εἰς ὃ τελευτᾷ ὁ λίβανος τὸ ὄρος.

ὅτι τὴν

Scenitae arabes
Phoenice caua
Seleucia pieria
Antiochia ad daphne
Laodicea
Apamea
Orontes fl.
Pieria M.
Casio M.
Apamea Cherrhonesus
Aradus ins.
Tripolis
Theuprosopo

Dolabella a Cassio obsessus occisus



ΟΤΙ τὴν κοίλην συρίαν, ὅ τε λίβανος καὶ ὁ ἀντιλίβανος τὸ ὄρος ποιεῖ, ἀρχόμενον ἑκάτερον, τὸ μὲν ὁ λίβανος, ἀπὸ τριπόλεως. τὸ δὲ ὁ ἀντιλίβανος, ἀπὸ τύρου, παράλληλα κείμενα. τελευτῶσι δ᾽ ἐγγὺς τῶν ἀραβίων ὀρῶν, τῶν ὑπὲρ τῆς δαμασκηνῆς. πλάτος δὲ τῆς χώρας, στάδιοι σ΄. μῆκος δὲ διπλάσιον. καὶ ἔστιν ἡ χώρα εὐδαιμονεστάτη, ἀρδευομένη ἄλλοις τε ποταμοῖς, καὶ δὴ καὶ τῷ ἰορδάνῃ.

ΟΤΙ ποσειδώνιος ἱστορεῖ, ἐν κοίλῃ συρίᾳ τὸν δράκοντα πεπτωκότα ὁραθῆναι νεκρόν, μῆκος σχεδόν τι καὶ πλεθριαῖον. πάχος δ᾽ ὥστε ἱππέας ἑκατέρωθεν παραστάντας, ἀλλήλους μὴ καθορᾶν. τὸ δὲ χάσμα τοῦ στόματος, ὥστ᾽ ἔφιππον δέξασθαι. τῆς δὲ φολίδος λεπίδα ἑκάστην, ὑπὲρ θυρεὸν εἶναι.

ΟΤΙ ἅπασα ἡ χώρα, ἡ ἀπὸ τῆς σελευκίδος ὡς ἐπὶ αἴγυπτον καὶ ἀραβίαν, κοίλη συρία καλεῖται. ἰδίως δ᾽ ἡ τῷ λιβάνῳ καὶ τῷ ἀντιλιβάνῳ ἀφωρισμένη. ἡ δ᾽ ἀπὸ ὀρθωσίας πόλεως, μέχρι πηλουσίου παραλία, φοινίκη καλεῖται, στενή τις οὖσα. ἡ δ᾽ ὑπὲρ ταύτης μεσογαία μέχρι τῶν ἀράβων, ἡ μεταξὺ γάζης καὶ ἀντιλιβάνου, ἰουδαία λέγεται. ΟΤΙ ἡ τύρος, νῆσος πρὶν οὖσα, ὑπὸ ἀλεξάνδρου τῷ χώματι τῆς πολιορκίας, χερρόνησός ἐστιν. ἡ δ᾽ ἐκεῖσε πορφύρα, καλλίστη.

ΟΤΙ σιδών, πολύτεχνός ἐστιν πόλις καὶ καλλίτεχνος, φιλόσοφός τε καὶ ἀριθμητικὴ καὶ λογιστικὴ καὶ ἀστρονομικὴ καὶ ἐμπορικὴ καὶ νυκτοπλοϊκή, καθάπερ καὶ ἡ αἴγυπτος γεωμετρική.

ΟΤΙ σιδὼν ἀπὸ τύρου ἀπέχει πρὸς βορρᾶν στάδια σ΄.

ΟΤΙ μετὰ τύρον, πτολεμαΐς ἐστιν πόλις, περὶ ἧς ἱστορεῖται παράδοξον. ἐν τινι γὰρ πολέμου τροπῆς γενομένης λαμπρᾶς τοῖς ἐνοίκοις παρὰ τὸν αἰγιαλόν, κῦμα ἐξαπίνης ἐπελθόν, ἐκάλυψε τοὺς φεύγοντας. εἶτα πελαγίσαν μικρόν, ὕστερον ὑπέφυγεν τὸ ὕδωρ, καὶ κατελείφθησαν ἐν τοῖς κοίλοις χωρίοις νεκροὶ οἱ ἄνδρες καὶ οἱ ἰχθύες. ΟΤΙ τὰ περὶ τὴν ἀνδρομέδαν, περὶ τὴν ἰόππην γενέσθαι φασίν. καὶ τὰ ἱεροσόλυμα, ἐπίνειον ἔχουσι τὴν ἰόππην.

ὅτι

Syria caua
Libanus
Antilibanus
Araby M.
Posidonius
Draco incredibilis magnitu
Caua syria
Phoenice
Orthosia V.
Judaea
Tyrus insu.
Sido
Sido
Ptolemais
Paradoxo
Andromedae f. circa ioppe

ὡς ἐπὶ αἴγυπτον. usq: ad

σημεῖον



A Cassio ad pelusio stadia

ΟΤΙ ἀπὸ κασίου, εἰς τὸ πηλούσιον πόλεως αἰγύπτου, στάδιοι τ.

Gaza .V. Aila .V. Heroopoliticu

ΟΤΙ ἡ γάζα πόλις ἀπὸ θαλάσσης, ζ σταδίους ἀπέχει. ἀπὸ δὲ γάζης πόλεως, εἰς ἄϊλα πόλιν τὸ ἀνατολικώτερον σημεῖον τοῦ ἀραβίου κόλπου δι' ἐρήμου, στάδιοι ͵α σ ξ. εἰς δὲ τὸ δυτικὸν μυχὸν τοῦ ἀραβίου κόλπου, καλούμενον ἡρωοπολιτικόν, ἀπὸ πηλουσίου, ὁδὸς ἔρημος καὶ ἑρπετῶν πλήρης.

Rhaphia .V. Rhinocorura .V.

ΟΤΙ μετὰ γάζαν ῥαφία πόλις, καὶ ῥινοκόρουρα πόλις. ὠνόμασται οὕτως, ἐπειδή ποτε αἰγύπτιοι τοὺς ἁλισκομένους κακούργους ῥινοτομοῦντες, ἐκεῖ κατῴκιζον. οἱ οὐκ ἔτι ἐτόλμων ὑποστρέφειν εἰς αἴγυπτον, διὰ τὸ παράσημοι εἶναι.

Pompeij sepulcru

ΟΤΙ τὸ πομπηΐου τοῦ μάγνου σῶμα, ἐν τῷ κασίῳ λόφῳ κεῖται περὶ σιρβωνίδα λίμνην πλησίον πηλουσίου πόλεως.

ΟΤΙ ἀπὸ ὀρθωσίας πόλεως φοινίκης εἰς τὸ πηλούσιον, στάδιοι ͵γ χ ν κατακολπίζοντι. ἡ δὲ ὁδὸς, πρὸς δυσμὰς χειμερινάς. πάλιν δὲ ἀπὸ τῆς αὐτῆς ὀρθωσίας, ἕως τὸν ὀρόντην ποταμὸν ͵α ρ λ. πρὸς ἀνατολὰς θερινάς. ἀπὸ δὲ ὀρόντου ποταμοῦ, ἕως τὰ ὅρια τῆς συρίας καὶ κιλικίας, στάδιοι φ κ. πρὸς ἀνατολὰς θερινάς.

De Mose nota

ΟΤΙ τὸν μωσῆν τὸν παρ' ἰουδαίοις, λέγει ὁ στράβων ὅτι αἰγύπτιος ἦν ἱερεύς. καὶ μὴ ἀρεσκόμενος τῇ τῶν αἰγυπτίων θρησκείᾳ, ἀπῆρεν εἰς τὴν παλαιστίνην, καὶ πολλοὺς συμπαρέλαβεν μεθ' ἑαυτοῦ ἐξ αἰγύπτου. ἐπαινεῖ δὲ τὸν μωσῆν ὁ στράβων, ὡς εὐσεβῶς πράξαντα ὅσα καὶ δικαίως.

ΟΤΙ ὕστερον μετὰ τὸν μωσῆν ἡ δεισιδαιμονία τοῖς ἰουδαίοις συνέπεσεν. οἷον ἡ περιτομὴ, καὶ ἡ τῶν κρεῶν ἀποχή.

Hierosolyma .V.

ΟΤΙ ἡ ἱεροσόλυμα πόλις, τὰ μὲν ἔσω ἔνυδρα ἔχει. τὰ δ' ἐκτὸς, ἄνυδρα. ἡ δὲ τάφρος τῆς πόλεως, οὐκ ὀρυκτὴ, ἀλλὰ λατομητὴ, πέτρα βαθεῖα. ὁ δ' ἐξ αὐτῆς κοπεὶς λίθος, τὴν πόλιν ἔκτισεν.

Sirbonis palus

ΟΤΙ ἡ σιρβωνὶς λίμνη, ἀγχιβαθής ἐστιν. ἧς ἡ περίμετρος στάδιοι ͵α. τῇ δὲ παραλίᾳ παρατέταται, μικρῷ τι πλέον

τῶν

παράσημοι · notabiles



τῶν σ σταδίων μῆκος. βαρύτατον δ' ἔχει ὕδωρ, ὥστε μὴ δεῖν κολύμβου, ἀλλὰ τὸν ἐμβάντα καὶ μέχρις ὀμφαλοῦ, εὐθὺς ἐξαίρεσθαι. μεστὴ δ' ἐστὶν ἀσφάλτου αὕτη. ταύτην δ' ἀναφυσᾶται, κατὰ καιροὺς ἀτάκτους ἐκ μέσου τοῦ βάθους μετὰ πομφολύγων, ὡς ἂν ζέοντος ὕδατος. κυρτουμένη δ' ἡ ἐπιφάνεια, λόφου φαντασίαν παρέχει. συναναφέρεται δὲ καὶ βῶλος πολλὴ, καπνώδης μὲν πρὸς δὲ τὴν ὄψιν ἄδηλος. ὑφ' ἧς κατιοῦται χαλκός, ἄργυρος, πᾶν τὸ στιλπνὸν μέχρι καὶ χρυσοῦ. ἀπὸ δὲ τοῦ κατιοῦσθαι τὰ σκεύη, γνωρίζουσιν οἱ περιοικοῦντες, ἀρχομένην τὴν ἀναβολὴν τοῦ ἀσφάλτου, καὶ παρασκευάζονται πρὸς τὴν μεταλλείαν αὐτοῦ, ποιησάμενοι σχεδίας καλαμίνας. ἔστι δ' ἡ ἄσφαλτος, γῆς βῶλος, ὑγραινομένη ὑπὸ θερμοῦ, καὶ ἀναφυσωμένη καὶ διαχεομένη. πάλιν δὲ μεταβάλλουσα εἰς πῆξιν ἰσχυρὰν, ὑπὸ τοῦ ψυχροῦ ὕδατος, ὥστε τομῆς καὶ κοπῆς δεῖσθαι. εἶτα ἐπιπολάζουσα ἡ ἄσφαλτος διὰ τὴν τοῦ ὕδατος παχύτητα, κόπτεται καὶ ἀποφέρεται.

Asphaltus qd

Sodoma .V. Sodomorum euersionis ca

ΟΤΙ τὰ παρ' ἑβραίοις σόδομα πόλις, ἑτέρων ἦν ιβ πόλεων μητρόπολις, καὶ διὰ τὸ εἶναι τὴν γῆν ἔμπυρον, γενομένων σεισμῶν καὶ πυρωδῶν ἀναφυσημάτων, κατεστράφησαν καὶ κατεκαύθησαν πᾶσαι. καὶ ἀνεδόθη ἡ νῦν λίμνη σιρβωνὶς καλουμένη, θειώδης οὖσα καὶ ἀσφαλτώδης.

Sirbonis pal.

Asphalti usus apud aegyptios

ΟΤΙ αἰγύπτιοι χρῶνται τῇ ἀσφάλτῳ, πρὸς τὰς τῶν νεκρῶν ταριχείας.

Harmozo p. Macae

ΟΤΙ ἐξ ἁρμόζων τοῦ ἄκρου τῆς καρμανίας, ἀφορᾶται τὸ ἐν ἀραβίᾳ ἄκρον ἐν μάκαις. καὶ τοῦτό ἐστιν, ἡ ἀρχὴ τοῦ περσικοῦ κόλπου. τὸ γὰρ ἐντεῦθεν, πρῶτον μὲν πρὸς ἀνατολὰς καὶ δυσμὰς, εἶτα πρὸς βορρᾶν εὐρύνεται ἡ περσικὴ θάλασσα, ἕως τερηδόνος πόλεως, καὶ τῶν τοῦ εὐφράτου ποταμοῦ ἐκβολῶν.

ΟΤΙ ἡ περσικὴ θάλασσα, μεγάλη ἐστὶν, ὥστε μικρῷ λείπεται τῷ μεγέθει, τοῦ εὐξείνου πόντου.

ΟΤΙ ἐν τῷ νοτιωτάτῳ καὶ δυσμικωτάτῳ σημείῳ τοῦ περ-



σημείῳ · puncto

Gerra .v.

σικοῦ κόλπου, πόλις ἐστὶ γέῤῥα ἐν τῇ ἁλμυρίδι, ἧς αἱ οἰκίαι ἅλιναί εἰσιν. ἐπεὶ δ' αἱ λεπίδες τῶν ἁλῶν ἀφιστάμεναι κατὰ τὴν ἐπίκαυσιν τὴν ἐκ τῶν ἡλίων, συνεχεῖς ἀποπίπτουσι, καταῤῥαίνοντες ὕδασι πυκνὰ τοὺς τοίχους συνέχουσιν.

Tyrus Aradus ins.

ΟΤΙ ἐν τῷ περσικῷ κόλπῳ, τύρος καὶ ἄραδός εἰσι νῆσοι, ἀφ' ὧν οἱ ἐν φοινίκῃ τύριοι καὶ ἀράδιοι ἐγένοντο μετανάσται.

ΟΤΙ καθ' ὅλην τὴν τῆς ἐρυθρᾶς θαλάσσης παραλίαν, φύεται κατὰ βυθοῦ δένδρα, ὅμοια δάφνῃ καὶ ἐλαίᾳ. ταῖς μὲν ἀμπώτισιν, ἔσθ' ὅτε ὅλα καλυπτόμενα. καίτοι τῆς ὑπερκειμένης γῆς, ἀδένδρου οὔσης, ὥστε ἐπιγίνεσθαι τὸ παράδοξον.

ΟΤΙ ἐν τῇ ἐρυθρᾷ θαλάσσῃ, κῆτος ἑωράκει πηχῶν ν.

ΟΤΙ ἐν ταῖς ἐλώδεσι ταῖς γινομέναις ὑπὸ τῶν τοῦ εὐφράτου ποταμοῦ προχύσεων, ἄμπελος γίνεται. ἐν ταῖς καλαμίναις ῥιψὶν, ἐπιβαλλομένης γῆς, ὅσην δέξαιτο ἂν τὸ φυτὸν, ὥστε φορητὴν γίνεσθαι πολλάκις. εἶτα κοντοῖς ἀπωθεῖσθαι πάλιν, εἰς τὴν οἰκείαν ἐξ ἀρχῆς ἕδραν.

Arabiæ felicis lex pulchra

ΟΤΙ ἐν τῇ εὐδαίμονι ἀραβίᾳ, νόμος ἐστὶν, ἵνα μὴ ὁ παῖς παρὰ τοῦ πατρὸς τὴν βασιλείαν διαδέχηται. ἀλλ' ὃς ἂν πρῶτος γεννηθῇ τινι τῶν ἐπιφανῶν παῖς μετὰ τὴν κατάστασιν τοῦ βασιλέως, οὗτος ὁ παῖς ἀναλαμβάνεται καὶ τρέφεται βασιλικῶς, ὡς διαδεξόμενος τὴν βασιλείαν.

ΟΤΙ ἡ ἐρυθρὰ θάλασσα, οὐκ ἔστι βαθεῖα, ἀλλὰ καὶ ἕως μόνων δύο ὀργυιῶν ἔρχεται τὸ βάθος, διὸ πράζει πλειστάκις, διὰ τὰ φυτὰ, ἐξέχοντα τῆς ἐπιφανείας. καὶ τὰ δένδρα φαίνεται, ἔξω τῆς ἐπιφανείας τῆς θαλάσσης, καὶ κοινὸν πλῆθος θαλαττίων ἔχει.

Astaboras ·fl·

ΟΤΙ ὁ ἀσταβόρας ποταμὸς, μέρει μὲν τῷ πλείστῳ, μίσγεται τῷ νείλῳ. τῷ δὲ ὀλίγῳ, ἐκδίδωσιν εἰς τὸν ἀράβιον κόλπον.

Trogodytæ

ΟΤΙ ἡ παραλία τῆς ἀραβίας τῶν τρωγοδυτῶν ἡ πολλὴ, ἐλαιῶνας καὶ δαφνῶνας καὶ φοινικῶνας φέρει.

Elephantes arabici

ΟΤΙ οἱ ἐν ἀραβίᾳ ἐλέφαντες, ὅταν διὰ τὰ καύματα ἐκλί-

πωσιν



πωσιν οἱ ποταμοὶ, φρεωρυχοῦσι καὶ τοῖς ὀδοῦσι καὶ ταῖς προβοσκίσιν.

Trogodytæ non troglodytæ strabom

ΟΤΙ τρωγοδῦται, ἄνευ τοῦ λ λέγει ὁ στράβων.

Crembi homer. arabes

ΟΤΙ φησὶ ποσειδώνιος, ἐρεμβοὺς παρ' ὁμήρῳ, τοὺς ἄραβας δεῖν ἀκούειν, ὡς τῶν παλαιῶν διὰ τὴν ἀνεπιμιξίαν, σολοικιζόντων τὸ ὄνομα, καὶ ἀντὶ ἀράβων ἐρεμβῶν καλεῖν. καὶ γὰρ ταῦτα τὰ τρία ἔθνη, ἀρμενίων, ἀραβίων, ἐρεμβοὺς, συνεχῆ ἀλλήλοις ὄντα, σχεδὸν τῇ αὐτῇ ὀνομασίᾳ καλεῖσθαι. οὕτως οὖν καὶ ἀρίμους φησὶν ὁ αὐτὸς δεῖν ἀκούειν, τοὺς σύρους. ἀριμαῖοι γὰρ οἱ ἐν αὐτῇ. τάχα δὲ τότε οἱ ἕλληνες, ἀραμαίους ἢ ἀρίμους αὐτοὺς ἐκάλουν. αἱ δὲ μεταπτώσεις τῶν ὀνομάτων, πολλαί. καὶ γὰρ τὸν μὲν δαρειήκην, δαρεῖον ἐκάλεσαν. τὴν δὲ φάρζιν παρύσατιν.

Arimi Syri Arimæi

## ΧΡΗΣΤΟΜΑΘΕΙΑΙ ΕΚ ΤΩΝ Στράβωνος γεωγραφικῶν βιβλίου ιζ.

Cataractes minor Syene Elephátine

ΟΤΙ ὁ μικρὸς καταῤῥάκτης, ὑπὲρ συήνης καὶ ἐλεφαντίνης ἐστὶ πόλις, ἔνθα καὶ τὸ μεθόριον αἰγυπτίων καὶ αἰθιόπων.

ΟΤΙ οἱ αἰθίοπες, λυπρῶς ζῶσι, διὰ τὴν ὑπερβολὴν τῆς δυσκρασίας τῶν ἀέρων, διὸ καὶ πένητές εἰσιν. οἱ δ' αἰγύπτιοι, εὐδαίμονές εἰσιν.

Aegyptij diuisi in 3. pte

ΟΤΙ αἰγύπτιοι, εἰς τρεῖς μοίρας ἑαυτοὺς διεῖλον. καὶ οἱ μὲν αὐτῶν εἰσιν ἱερεῖς, περὶ τὰ θεῖα ἀσχολούμενοι. οἱ δὲ γεωργοὶ, τὰ ἐν εἰρήνῃ ἐργαζόμενοι. οἱ δὲ στρατιῶται, τὰ ἐν πολέμῳ ἀσκοῦντες.

Nilus ·fl·

Delta magnū

Aegyptus inferior, delta.

ΟΤΙ ὁ νεῖλος, ἀεὶ ἐκ νότου πρὸς ἄρκτους ῥεῖ, ἕως τοῦ μεγάλου δέλτα. εἶτα ἐκεῖθεν σχίζεται εἰς πολλὰ, ἕως τῆς θαλάσσης. δεξιὰ μὲν, ἕως πηλουσίου. εὐώνυμα δὲ, ἕως κανώβου. καὶ γίνεται ἡ κάτω αἴγυπτος νῆσος τρίγωνος, τὸ δέλτα. ἐξ ὁμώνυμον



Darieces / Darius — Idē

Pharzes / Parysatis — Idē

ἡ κορυφὴ καὶ ἡ ἐν αὐτῇ κώμη. ποιεῖ δὲ τὸ δέλτα, τοσοῦτόν ἐστιν κατὰ ῥᾳστώνην πλωτὸν διώρυξιν, ὥστε καὶ ὀστράκινα ἐνίοις πορθμεῖα εἶναι.

ΟΤΙ ἡ περίμετρος τοῦ δέλτα, τρισχιλίων ἐστὶν σταδίων νησιάζουσα.

ΟΤΙ ἐν ταῖς ἀναβάσεσι τοῦ νείλου, πελαγίζει τὸ δέλτα, μόνων τῶν πόλεων καὶ τῶν κωμῶν ὑπερφαινομένων, διὰ τὸ ἢ ἐπ' αὐτοφυῶν ἢ χειροποιήτων λόφων ἱδρῦσθαι. ὕδωρ δὲ γίνεται, μ̄ ἡμέρας. εἶτα κατ' ὀλίγον μειοῦται, ὥσπερ καὶ ηὐξήθη, ἑτέρας ἡμέρας κ̄. ὥστε ἐν πάσαις ταῖς ξ̄ ἡμέραις, τελέως ξηραίνεται τὸ πεδίον.

ΟΤΙ τὸ τοῦ δέλτα, μῆκος εἰσὶν στάδιοι δ̄ πρὸς νότον ἕως συήνης, ἐπ' εὐθείας δι' ἑνὸς ῥείθρου τοῦ ποταμοῦ φερομένου, πλὴν εἴ που τις νῆσος ἐστίν.

ΟΤΙ ἐκ τῶν ἐν αἰθιοπίᾳ ὄμβρων, πληθύει ὁ νεῖλος ποταμός.

Cábyses

ΟΤΙ καμβύσης ὁ πέρσης κατασχὼν τὴν αἴγυπτον, ἀνῆλθεν μέχρι τῆς μερόης ὑπ' αὐτοῦ κληθείσης πόλεως. ἐκεῖ γὰρ αὐτοῦ ἡ ἀδελφὴ μερόη ἐτελεύτα, καὶ τιμῶν αὐτήν, ἔθετο τῇ πόλει μερόην ὄνομα.

Meroe unde dicta

ΟΤΙ οἱ παλαιοὶ ἀπὸ συήνης, ἕως τῆς θαλάσσης μόνον, ἐκάλουν αἴγυπτον. τοῦτ' ἔστιν ὅσον ὁ νεῖλος ποταμὸς ποτίζει, μέρος καὶ μόνον.

ποτίζει

ΟΤΙ ἀπὸ πηλουσίου ἕως κανώβου στόματος, τοῦτ' ἔστιν ἡ βάσις τοῦ δέλτα, στάδιοί εἰσιν ͵ατ. ἀπὸ δὲ κανώβου εἰς τὴν φάρον, ρ̄ν.

ΟΤΙ ἡ πόλις ἀλεξάνδρεια, ἐν τῇ μαρεώτιδι ἐστίν. ἧς τὰ μὲν βόρεια θαλάσσῃ, τὰ δὲ νότια τῇ μαρείᾳ λίμνῃ περιέχεται. πληροῦται δ' ἐκείνη, ὑπὸ τῶν τοῦ νείλου διωρύχων καὶ ἀναβάσεων.

ΟΤΙ τὴν ἀλεξάνδρου τοῦ κτίστου χρυσῆν πύελον, ἐν ἀλεξανδρείᾳ ἐσύλησεν πτολεμαῖος ὁ κόκκης, ὁ καὶ παρείσακτος ἐπικληθείς, ἐκ τῆς συρίας ἐπελθών. καὶ εὐθὺς ἐξέπεσεν τῆς

παρέσακτος ἐπικληθείς

ἀρχῆς



ἀρχῆς, ἀνόνητα τολμήσας. ἡ δὲ πύελος μετὰ τοῦτο, ὑελίνη γέγονεν.

ΟΤΙ ὁ ὄγδοος πτολεμαῖος ὁ αὐλητὴς κληθείς, χοραυλεῖν ἤσκησεν, σεμνυνόμενος ἐπ' αὐτῷ, ὡς καὶ ἀνταγωνίζεσθαι αὐληταῖς. ὃν οἱ ἀλεξανδρεῖς ἐξέβαλον. ὁ δὲ εἰς ῥώμην ἐλθών, ἱκέτης γίνεται πομπηίου. καὶ ἔτυχεν καθόδου εἰς τὴν βασιλείαν. καὶ μετ' ὀλίγον, νόσῳ τελευτᾷ. καὶ διαδέχεται αὐτόν, διόνυσος ὁ υἱός. καὶ κλεοπάτρα ἡ θυγάτηρ τοῦ αὐλητοῦ, φεύγει εἰς τὴν συρίαν. ὁ δὲ πομπήιος φυγὼν ἐκ φαρσάλου, ἧκεν εἰς τὸ πηλούσιον καὶ τὸ κάσιον ὄρος. καὶ δολοφονεῖται, ὑπὸ τῶν ἀμφὶ διόνυσον. ἐπελθὼν δὲ καῖσαρ, τόν τε διόνυσον κτείνει, καὶ τὴν κλεοπάτραν καθίστησι βασίλισσαν αἰγύπτου. ἀντώνιος δὲ μετὰ τὴν ἐν φιλίπποις μάχην, ἐλθὼν εἰς τὴν αἴγυπτον, ἔγημεν τὴν κλεοπάτραν, καὶ τὸν ἀκτιακὸν πόλεμον σὺν αὐτῇ ἠγωνίσατο καὶ συνέφυγεν. ὁ δ' αὔγουστος ἐπελθών, ἄμφω τε κατέλυσεν, καὶ τὴν αἴγυπτον ὑπὸ ῥωμαίοις ἐποίησεν.

Pompeius occisus a ministris dionysij regis ægypti

ΟΤΙ ὁ μὲν πρῶτος καῖσαρ, περὶ φάρσαλον πόλιν, ἐνίκα πομπήιον. ὁ δὲ δεύτερος, περὶ φιλίππους, ἐνίκα βροῦτον καὶ κάσιον.

ΟΤΙ τὰ τοῦ νείλου ζ̄ στόματα, ταῦτά ἐστιν, ἡρακλεωτικόν, βολβίτινον, σεβεννυτικόν, φατμητικόν, μενδήσιον, τανιτικόν, πηλουσιακόν.

Ostia nili 7

ΟΤΙ ἡ μεταξὺ πηλουσίου πόλεως, καὶ τοῦ μυχοῦ τοῦ καθ' ἡρώων πόλιν ἐρημία, σταδίων ἐστὶν ͵α. πᾶσα δ' ἄνυδρος καὶ θηριώδης ὀφιώδης ἐστίν.

Pelusiũ

Heroo V

ΟΤΙ ἐν μωμέμφει, τρέφεται θήλεια βοῦς ἱερά, καθάπερ ἐν μέμφει ὁ ἄπις. ἐν ἡλιουπόλει δὲ ὁ μνεῦις βοῦς.

ΟΤΙ περὶ τὴν ἀρχὴν τοῦ δέλτα, ἐστὶν ἥ τε βούβαστος πόλις, καὶ μέμφις, καὶ ἡλιούπολις, καὶ ἡ ἀρχὴ τῆς διώρυχος τῆς βαλλούσης εἰς τὴν καθ' ἡρώων πόλιν θάλασσαν, τοῦ ἀραβίου κόλπου. πλάτος ἔχουσα πήχεις ρ̄. βάθος δέ, ὥστε σύμμε-

Momemphis V

Memphis V

Heliupolis V

Bubastus V

Apis mas

Vacca sacra

Mneuis



τρον

τρον εἶναι μυριοφόρῳ νηΐ.

Thebæ ægyptiæ
Diospolis magna

ΟΤΙ αἱ πάλαι αἰγύπτιαι θῆβαι, διόσπολις νῦν μεγάλη καλεῖται.

Plato
Eudox?

ΟΤΙ πλάτων ὁ μέγας, σὺν εὐδόξῳ τῷ μαθητῇ, ἀπῆρεν εἰς τὴν αἴγυπτον, κἀκεῖ διετέλεσαν ἔτη τρία, γεωμετροῦντες καὶ ἀστρονομοῦντες καὶ ἁπλῶς φιλοσοφοῦντες, περὶ τὰς θήβας τὰς νῦν διόσπολιν καλουμένην.

Apis
Osiris
idē

ΟΤΙ ὁ ἄπις, ὁ αὐτός ἐστιν τῷ ὀσίριδι θεὸς νομιζόμενος.

Memphis post alexand. secūdas obtinet

ΟΤΙ δευτερεύει μετὰ ἀλεξάνδρειαν, ἡ μέμφις πόλις. ἧς ἀπὸ μ̄ σταδίων, ὀρεινή τις ἐστίν. ἐφ' ἧ πολλαὶ μέν εἰσιν πυραμίδες, τάφοι τῶν βασιλέων, τρεῖς δ' ἀξιόλογοι. τὰς δὲ δύο τούτων, καὶ ἐν τοῖς ζ̄ θεάμασι καταριθμοῦνται. εἰσὶν δὲ τὸ ὕψος σταδιαῖαι, τετράγωνοι τῷ σχήματι.

ΟΤΙ ἐκ πολλῶν τεκμηρίων ὑπολαμβάνουσιν οἱ παλαιοί, τὴν κάτω αἴγυπτον ἕως σιρβωνίδος λίμνης καὶ μοιρίδος λίμνης καὶ ἀμμωνιακῆς, πᾶσαν πέλαγος εἶναι. τυχὸν δὲ καὶ τῷ ἀραβίῳ κόλπῳ συνεχές. τυχὸν δὲ καὶ οὐκ οὕτως, ἀλλὰ χωρίς.

Labyrinthus

ΟΤΙ καὶ ὁ θαυμαστὸς λαβύρινθος, ἐν τῇ ἄνω ἐστὶν αἰγύπτῳ. καὶ ἐν τῷ λαβυρίνθῳ πυραμίς, ὁ τάφος μαίνδου βασιλέως τοῦ καὶ τὸν λαβύρινθον κτίσαντος. ὁ μαίνδης γὰρ αὐτὸν ἔκτισεν.

κατήρασεν ἀντὶ τοῦ κατέπιεν
ἐξήρασεν

ΟΤΙ κατήρασεν λέγει ὁ συγγραφεύς, ἀντὶ τοῦ κατέπιεν, ἐναντίως τῷ ἐξήρασεν.

Arsinoe. v.
Crocodili. v.
Heracleopolis
Ichneumō

ΟΤΙ ἐν ἀρσινόῃ πόλει, ἣ πρότερον κροκοδείλων πόλις ἐκαλεῖτο, χειροήθης ἱερὸς κροκόδειλος ἐτρέφετο. ἐν δὲ ἡρακλέους πόλει τιμᾶται ὁ ἰχνεύμων, ἐχθρὸς ὢν κροκοδείλοις τε καὶ ἀσπίσιν. ὧν τά τε ᾠὰ κατεσθίει ὁ ἰχνεύμων, καὶ αὐτὰς τῷ πηλῷ θωρακισθείς, διαφθείρει εἰς τὸν ποταμὸν ἕλκων. τοῦ δὲ κροκοδείλου καθεύδοντος καὶ κεχηνότος, ὑπεισδὺς εἰς τὸ στόμα, κατεσθίει τὰ σπλάγχνα.

ὅτι ἐν

κατήρασε
ἐξήρασεν



Cynopolis
Anubis
Oxyrynch?

ΟΤΙ ἐν κυνοπόλει, ὁ ἄνουβις τιμᾶται. καὶ τοῖς κυσὶ, τιμὴ καὶ σίτισις τέτακταί τις ἱερά.

ΟΤΙ ἐν ὀξυρύγχῳ ποταμῷ, καὶ νομῷ ὁμωνύμῳ, τιμᾶται ὁ ὀξύρυγχος ἐν ἱερῷ σηκῷ. καίτοι καὶ τῶν ἄλλων αἰγυπτίων, κοινῇ τιμώντων τὸν ὀξύρυγχον. τινὰ μὲν γὰρ τῶν ζῴων, ἅπαντες κοινῇ τιμῶσιν αἰγύπτιοι. καθάπερ τῶν μὲν πεζῶν γ̄, βοῦν, κύνα, αἴλουρον. τῶν δὲ πτηνῶν β̄, ἱέρακα καὶ ἶβιν. τῶν δὲ ἐνύδρων β̄. λεπιδωτὸν ἰχθὺν καὶ ὀξύρυγχον. ἄλλα δ' ἐστὶν, ἃ τιμῶσι κατ' αὐτοὺς ἕκαστοι. καθάπερ σαΐται, πρόβατον, καὶ θηβαῖται. λάτον δὲ τῶν ἐν τῷ νείλῳ τινὰ ἰχθὺν, λατοπολῖται. λύκον δὲ λυκοπολῖται. κυνοκέφαλον δὲ ἑρμοπολῖται. κῆπον δὲ βαβυλώνιοι οἱ κατὰ μέμφιν. ἔστι δ' ὁ κῆπος, τὸ μὲν πρόσωπον, ἐοικὼς σατύρῳ. τἄλλα δὲ κυνὸς καὶ ἄρκτου μεταξύ. γεννᾶται δ' ἐν αἰθιοπίᾳ. ἀετὸν δὲ θηβαῖοι, λέοντα δὲ λεοντοπολῖται, αἶγα δὲ καὶ τράγον μενδήσιοι, μυγαλῆν δὲ ἀθριβῖται, ἄλλοι δ' ἄλλο τι.

Latos piscis

Ptolemais. v.
Abydos. v.

ΟΤΙ πτολεμαΐς, πόλις μεγίστη ἐστὶν τῶν ἐν θηβαΐδι, καὶ οὐκ ἐλάττων μέμφεως. ὑπὲρ δὲ ταύτης, ἡ ἄβυδος πόλις. ἐν ᾗ τὸ μεμνόνειον βασίλειον θαυμαστῶς κατεσκευασμένον.

Causa defect. oraculorū

ΟΤΙ τοῖς ἀρχαίοις, μᾶλλον ἦν ἐν τιμῇ καὶ ἡ μαντικὴ καθόλου καὶ τὰ χρηστήρια. νυνὶ δ' ὀλιγωρία πολλὴ κατέχει, τῶν ῥωμαίων ἀρκουμένων τοῖς σιβύλλης χρησμοῖς, καὶ τοῖς τυρρηνικοῖς θεοπροπίοις, διά τε σπλάγχνων καὶ ὀρνιθείας καὶ διοσημειῶν. διόπερ καὶ τὸ ἐν ἄμμωνι ἐκλέλοιπε χρηστήριον, πρότερον δ' ἐτετίμητο. ἔνθα καὶ ἀλέξανδρος ἀπελθὼν, ἐχρηστηριάζετο. καὶ οὐχ ὥσπερ ἐν δελφοῖς καὶ βραγχίδαις, τὰς ἀποθεσπίσεις διὰ λόγων, ἀλλὰ νεύμασι καὶ συμβόλοις τὸ πλέον. ὡς καὶ παρ' ὁμήρῳ, ἦ καὶ κυανέῃσιν ἐπ' ὀφρύσι, τοῦ προφήτου τὸν δία ὑποκρινομένου. τοῦτο μέντοι ῥητῶς εἰπεῖν τὸν προφήτην φασὶν πρὸς τὸν βασιλέα, ὅτι εἴη διὸς υἱός.

Homer?

ὅτι ἐν

Homeri locus

*Cyrenaea*

ΟΤΙ ἐν τῇ ἀβύδῳ πόλει, τιμῶσι τὸν ὄσιριν. ἐν δὲ τῷ ἱερῷ τοῦ ὀσίριδος, οὐκ ἔξεστιν οὔτε ᾠδὸν οὔτε αὐλητὴν ἀπάρχεσθαι τῷ θεῷ, καθάπερ τοῖς ἄλλοις θεοῖς ἔθος.

*Tentyra .V.*

ΟΤΙ ἐν τεντύρᾳ πόλει, διαφερόντως παρὰ τοὺς ἄλλους αἰγυπτίους ὁ κροκόδειλος ἠτίμωται, καὶ ἔχθιστος τῶν ἁπάντων θηρίων νενόμισται, καὶ ὑπ' αὐτῶν φθείρεται.

*Psylli aethiopes* — *Tentyritae*

ΟΤΙ ὥσπερ οἱ ἐν τῇ κυρηναίᾳ ψύλλοι αἰθιόπων, ἀντιπάθειαν ἔχουσι φυσικὴν πρὸς τὰ ἑρπετὰ, μηδὲν ὑπὸ ἰοβόλων πάσχοντες, οὕτως καὶ οἱ τεντυρεῖται οὐδὲν ὑπὸ κροκοδείλου πάσχουσιν, ἀλλὰ καὶ συγκολυμβῶσιν αὐτοῖς.

*Thebae hecatopyli* — *Diospolis*

ΟΤΙ τῶν ἑκατονταπύλων θηβῶν, ἣ νῦν διόσπολις καλεῖται, π̄ σταδίων ἦν τὸ μῆκος. νῦν δὲ, κωμηδὸν οἰκεῖται.

*Hermes trismegistus*

ΟΤΙ ἡ ἀστρονομία μάλιστα κατορθώθη, ὑπὸ θηβαίων τῶν αἰγυπτίων. ὧν ἀρχαιότατος, ἑρμῆς ὁ τρισμέγιστος.

*Pallades*

ΟΤΙ αἱ παρθένοι ἱέρειαι, παρ' ἕλλησι, παλλάδες καλοῦνται.

*Elephantine .V.* — *Fons mirus*

ΟΤΙ ἐν πόλει ἐλεφαντίνῃ, κρήνη ἐστὶν, συμπάσχουσα ταῖς τοῦ νείλου ποταμοῦ ἀναβάσεσι, συναυξομειουμένη αὐτῷ. ἐξ ἧς τεκμαίρονται, τὴν εὐκαρπίαν τῆς χώρας ἢ ἀφορίαν. εἰ γὰρ πολὺς ὁ νεῖλος ἐπέλθοι, εὐφορία γίνεται. εἰ δὲ ὀλίγος, σπάνις. εἰσὶν οὖν ἐν τῷ τοῦ φρέατος τοίχῳ παραγραφαὶ, τῆς εὐετηρίας, ἢ τοῦ ἐναντίου.

*Syene .V.*

ΟΤΙ ἐν συήνῃ πόλει, περὶ τὰς θερινὰς τροπὰς μέσον ἡμέρας, τὰ φρέατα ἄσκια φαίνεται, καὶ οἱ γνώμονες ὡσαύτως.

*Cataractes minor*

ΟΤΙ ὑπὲρ τὴν ἐλεφαντίνην πόλιν ἐστὶν ὁ μικρὸς καταράκτης.

*Candace* — *Napata .V. magna*

ΟΤΙ ἐν τοῖς κατὰ στράβωνα χρόνοις, κανδάκη τις ἀνδρικὴ γυνὴ αἰθιόπισσα, ἦρξεν τῶν ὑπὲρ αἴγυπτον αἰθιόπων. ἦν δὲ πεπηρωμένη τὸν ἕτερον τῶν ὀφθαλμῶν. τὸ δὲ βασίλειον τῆς κανδάκης ἦν τὰ νάπατα, πόλις μεγάλη.

ΟΤΙ κανδάκη πολλαῖς μυριάσιν αἰθιόπων, πρὸς πετρώ-

νιον



νιον ῥωμαῖον αἰγύπτου ἄρχοντα διεπολέμησεν. ἦρχεν δὲ τῶν τόπων ἐκείνων, ἔνθα ὁ καμβύσου στρατὸς, κατεχώσθη ὑπὸ τῆς ἄμμου καὶ τοῦ νότου πνεύσαντος βιαίως.

*Pygmaeorum fabula unde*

ΟΤΙ τὰ τῶν αἰθιόπων πρόβατα καὶ αἶγες καὶ βόες καὶ κύνες, μικρὰ παντελῶς εἰσιν. τάχα δ' ἐκ τούτου, καὶ τοὺς πυγμαίους τινὲς ἐμυθολόγησαν. οὐ γάρ ἐστιν ἀληθὲς, τὸ τῶν πυγμαίων.

*Meroe regia* — *Astabaras fl.* — *Astapus fl.* — *Astasobas fl.*

ΟΤΙ αἰθίοπες, σέβονται τοὺς βασιλέας, ὡς θεοὺς, καὶ εἰσὶν κατάκλειστοι καὶ οἰκουροί. μέγιστον δ' αὐτοῖς βασίλειον, ἡ μερόη πόλις, ὁμώνυμος τῇ νήσῳ. οὔσης τὸ μῆκος, σταδίων ͵γ. τὸ δ' εὖρος, ͵α. ἔχει δὲ πόλεις συχνὰς, καὶ ὄρη, καὶ δάση, καὶ μέταλλα παντοῖα. περιέχεται δ' ἀπὸ μὲν τῆς λιβύης, ὁ ταύτῃ νεῖλος, θισὶ μεγάλαις. ἀπὸ δὲ τῆς ἀραβίας, κρημνοῖς συνεχέσιν. ἐκ δὲ νότου, ἄνωθεν ταῖς συμβολαῖς τῶν ποταμῶν, ἀσταβάρα καὶ τοῦ ἀστάποδος καὶ τοῦ ἀστασόβα. πρὸς ἄρκτον δὲ, ἡ τοῦ νείλου ὀχή.

ΟΤΙ αἰθίοπες, καὶ τὰς γυναῖκας ὁπλίζουσιν. ὧν αἱ πλείους, κεκρίκωνται τὸ χεῖλος τοῦ στόματος χαλκῷ κρίκῳ. κωδιοφόροι δ' εἰσὶν, ἐρέαν τῶν προβάτων οὐ φερόντων, ἀλλ' αἰγοτριχούντων. οἱ δὲ, τελέως γυμνῆτές εἰσιν περιεζωσμένοι.

ΟΤΙ αἰθίοπες, νομίζουσι θεὸν εἶναι. τὸν μὲν ἀθάνατον. τὸν δὲ θνητόν. τούτων δὲ, τὸν μὲν αἴτιον τῶν πάντων. τὸν δὲ θνητὸν, ἀνώνυμόν τινα καὶ οὐ σαφῆ. τοὺς δ' εὐεργέτας καὶ βασιλεῖς, θεοὺς νομίζουσι. καὶ τούτων, τοὺς μὲν βασιλεῖς, κοινούς. τοὺς δὲ ἰδιώτας, ἰδίως τοῖς εὖ παθοῦσιν ὑπ' αὐτῶν. πρὸς δὲ τῇ διακεκαυμένῃ, τινὲς καὶ ἄθεοί εἰσιν. οὕς γε καὶ τὸν ἥλιον φασὶν βλασφημοῦντας κακῶς λέγειν, ἐπειδὰν ἀνίσχοντα ἴδωσιν, ὡς καίοντα καὶ πολεμοῦντα αὐτούς. οἱ δ' ἐν μερόῃ, καὶ ἡρακλέα καὶ πᾶνα καὶ ἶσιν σέβονται, πρὸς ἄλ-



*ὀχὴ τοῦ νείλου*

λῳ τινὶ βαρβαρικῷ θεῷ. καὶ βασιλέας καθιστᾶσι, τοὺς κάλλει διαφέροντας, ἢ ἀρετῇ, ἢ κτηνοτροφίας, ἢ ἀνδρείας, ἢ πλούτου.

ΟΤΙ αἰθιόπων, ἔθος ἔχουσι τοιοῦτον. ὅς ἂν βασιλεὺς πηρωθῇ μέρος τι τοῦ σώματος ὁπωσοῦν, τὸ αὐτὸ πάσχουσιν οἱ συνόντες αὐτῷ μάλιστα. οἱ δ᾽ αὐτοὶ, καὶ συναποθνήσκουσιν. ἐκ δὲ τούτου, φυλακὴ πλείστη τοῦ βασιλέως ἐστὶ παρ᾽ αὐτῶν.

*Pisces nili*

ΟΤΙ ἐν τῷ νείλῳ ποταμῷ, ἰχθύων γένη καὶ ἄλλα. γνωριμώτατοι δὲ, ὅ τε ὀξύρυγχος καὶ ὁ λεπιδωτὸς καὶ λάτος καὶ ἀλάβης καὶ κορακῖνος καὶ χοῖρος καὶ φαγρώριος, ὃν καὶ φάγρον καλοῦσιν, σίλουρος, κίθαρος, θρῆσσα, κεστρεὺς, ὀστρακίων, λύχνος, φῦσα, βοῦς, κοχλίαι μεγάλοι, φωνὴν ὀλολύζουσιν ὁμοίαν φθεγγόμενοι. τὰ δ᾽ ἐπιχώρια ζῶα, ἰχνεύμων, ἀσπὶς, ἥ τε σπιθαμιαία, ἥπερ καὶ ὀξυθανατωτέρα. ἡ δ᾽ ὀργυιαία. ὄρνεα δὲ ἶβις. ἱέραξ, ὁ αἰγύπτιος. ἥμερος γὰρ παρὰ τὸν ἄλλοθι, ὡς καὶ ἡ αἴλουρος. νυκτικόραξ, ἰδιότροπος ἐνθάδε. παρ᾽ ἡμῖν μὲν γὰρ ἀετοῦ μέγεθος, ἐν αἰγύπτῳ δὲ κολοιοῦ ἔχει.

*Ibidis figura*

ΟΤΙ ἡ ἶβις, ἡμερώτατον ὄρνεόν ἐστι πελαργώδης, κατὰ τὸ σχῆμα καὶ τὸ μέγεθος, ὅλη μέλαινα. μεστὴ δ᾽ αὐτῶν, ἅπασα τρίοδος. χρησίμως μὲν, ὅτι πᾶν θηρίον ἐκλέγει, καὶ τὰ καθάρματα πάντα. δυσχερῶς δὲ, ὅτι πάμφαγον, καὶ ἀκάθαρτον, καὶ δυσκόλως ἀπειργόμενον ἀπὸ τῶν καθαρείων, καὶ τῶν ἀλλοτρίων παντὸς μολυσμοῦ. ἀπὸ δὲ τῆς θαλάσσης, εἰς τὸν νεῖλον ἀνέρχεται, κεστρεὺς, θρῆσσα, δελφίς. τὰ δ᾽ ἄλλα, διὰ τὸν ἐκ τῶν κροκοδείλων φόβον, οὐκ ἀνέρχεται. ἀλλ᾽ ὁ μὲν δελφὶς, ὡς κρείσσων τῶν κροκοδείλων. ὁ δὲ κεστρεὺς, ὅτι παραπέμπεται ὑπὸ τῶν χοίρων παρὰ γῆν, κατά τινα οἰκείωσιν φυσικήν. τῶν

*Tria piscium genera e mari in nilum comeant.*



κήν. τῶν δὲ χοίρων, ἀπέχονται οἱ κροκόδειλοι. στρογγύλοι γάρ εἰσιν, καὶ ἔχουσιν ἀκάνθας ἐπὶ τῇ κεφαλῇ φερούσας κίνδυνον.

*A porcis abstin[ent] crocodili*

ΟΤΙ κατὰ στράβωνα τὸ τῆς λιβύης σχῆμα. τρίγωνόν ἐστιν ὀρθογώνιον. οὗ ἡ μὲν μία τῶν περὶ τὴν ὀρθὴν, ὁ νεῖλος ποταμός ἐστιν. ἡ δ᾽ ἑτέρα, ἡ καθ᾽ ἡμᾶς παραλία, ἀπὸ πηλουσίου μέχρι γαδείρων. ἡ δ᾽ ὑποτείνουσα τὴν ὀρθὴν, ἡ ἀπὸ γαδείρων παρωκεανῖτις, ἄχρι τῶν τοῦ νείλου πηγῶν. ταῦτα δὲ, πτολεμαῖος ἤλεγξε ψευδῆ ὄντα.

*Libyae figura secūdū Strabo[nem]*

ΟΤΙ τὸ ἐν μαυρητανίᾳ ὄρος, τὸν ἄτλαντα ἕλλησι καλούμενον, οἱ βάρβαροι δύριν καλοῦσιν.

*Atlas · Dyris*

ΟΤΙ τὸ βορειότατον καὶ δυσμικώτατον ἄκρον τῆς λιβύης, κώτης καλεῖται, ἀντίκειται δὲ τοῖς γαδείροις.

*Cotes pmō.*

ΟΤΙ ἡ μαυρητανία ἑκατέρα, εὐφορωτάτη ἐστὶ, καὶ σὺν εὐδαιμονίᾳ οἰκεῖται. καὶ οἱ ποταμοὶ αὐτῆς, κροκοδείλους φέρουσιν. ἐν τινὶ δὲ ποταμῷ, γίνονται βδέλλαι ἑπταπήχεις, κατατετρημένα ἔχουσαι τὰ βράγχια δι᾽ ὧν ἀναπνέουσιν. καὶ ἄμπελοι φύονται ἐκεῖσε, δυσὶν ἀνδράσι τὸ πάχος δυσπερίληπτοι, βότρυς πηχυαίους πως ἀποδιδοῦσαι.

*Mauritania utraq:*

ΟΤΙ ἐν λιβύῃ καὶ ἰνδίᾳ, γίνεται κάλαμος, ὥστε τὸ ἐν γόνυ, χωρεῖ μεδίμνους η. καὶ ἄλλαι βοτάναι μέγισται.

ΟΤΙ οἱ μαυρούσιοι, ἐπιμελοῦνται μάλιστα κόσμου τριχῶν, καὶ ὀνυχισμῶν, καὶ πωγώνων, καὶ τῶν τοιούτων.

*Maurusij*

ΟΤΙ οἱ λίβυες, δέρμασιν ὄφεων καὶ ἰχθύων, ἀμπεχόναις καὶ στρώμασι χρῶνται.

ΟΤΙ ἐν λιβύῃ ὥσπερ ἐν αἰθιοπίᾳ, τοῦ θέρους ὕει πολλά. τοῦ δὲ χειμῶνος, ξηρασία ἐστίν.

*Aestate imbres hieme siccitas*

ΟΤΙ οἱ ἐν λιβύῃ λωτοφάγοι, οὐ δέονται ποτοῦ. ἀρκεῖ

*Lotophagi*

 γὰρ αὐτοῖς

Lotus

γὰρ αὐτοῖς ὁ λωτὸς, καὶ πρὸς πόσιν καὶ πρὸς βρῶσιν.

ΟΤΙ ἐν τοῖς τῆς λιβύης μεσογαίοις εὑρίσκεται ὀστράκια καὶ χηραμύδες καὶ τοιαῦτα, ὡς καὶ ἐν ἄμμωνος.

ΟΤΙ ἔν τισι τόποις τῆς λιβύης, δὶς τοῦ ἐνιαυτοῦ σῖτον καρποῦνται. ἔστιν δὲ τὸ μῆκος τῆς καλάμης, πέντε πηχέων. πάχος δὲ τοῦ μικροῦ δακτύλου. ὁ δὲ καρπὸς, διακοσιοτετρακοντάχους ἀποδίδοται. τοῦ δ' ἔαρος, οὐδὲ σπείρουσιν, ἀλλὰ παλιούροις συνδεδεμένας, ἐπικαταψήσαντες τὴν χώραν, τῷ ἐκπεσόντι κατὰ τὸν θερισμὸν στάχυϊ ἀρκοῦνται. διὰ δὲ τὸ πλῆθος τῶν θηρίων, κνημῖδας φοροῦντες ἐργάζονται. καθεύδοντες δὲ περιχρίουσι τοὺς κλινόποδας σκορόδοις τῶν σκορπίων χάριν, καὶ παλιούροις περιδοῦσιν.

Notandú hoc p Virgilio

ΟΤΙ ἐν τῇ παραλίᾳ τῆς μαυρητανίας, ἦν πόλις ἰόλα ὄνομα. ἣν ἐπικτίσας ἰόβας ὁ τοῦ πτολεμαίου πατὴρ, μετωνόμασεν καισάρειαν, ἔχει δὲ καὶ λιμένα.

Iola .V. Cæsarea. Iuba

ΟΤΙ καρχηδόνιοι, μεγίστην εἶχον δύναμιν. ὅτε γὰρ ἤρξαντο πολεμεῖν ῥωμαίοις, πόλεις μὲν εἶχον τ̄ ἐν λιβύῃ. ἀνθρώπων δ' ἐν τῇ πόλει, μυριάδας ο̄. πολιορκούμενοι δὲ καὶ ἀναγκασθέντες τραπέσθαι πρὸς ἔνδοσιν, πανοπλιῶν μὲν ἔδοσαν, μυριάδας κ̄. καταπελτικὰ δὲ ὄργανα ,γ, ὡς οὐ πολεμηθησόμενοι. κριθέντος δὲ πάλιν τοῦ ἀναπολεμεῖν, ἐξαίφνης ὁπλοποιίαν συνεστήσαντο. καὶ ἑκάστης ἡμέρας ἀνεφέροντο, θυρεοὶ μὲν ρμ̄ πεπηγότες. μάχαιραι δὲ τ̄, καὶ λόγχαι φ̄. βέλη δὲ ,α, καταπελτικά. τρίχα δὲ τοῖς καταπέλταις, αἱ θεράπαιναι παρεῖχον.

Parua syrtis

ΟΤΙ πρὸ τῆς μικρᾶς σύρτεως, νῆσός ἐστιν μῆνιγξ, ἣν φασιν εἶναι τὴν παρ' ὁμήρῳ τῶν λωτοφάγων χώραν. ἔχει γὰρ πολὺ τὸ φυτὸν ἐκείνη.

Meninx insu.

ὅτι ἡ πρὶν

Patet locus ille uirgilianus. Thestylis & rapido fessis messoribus æstu Allia serpillumque herbas contundit olentes.



ΟΤΙ ἡ πρὶν βάρκη, νῦν πτολεμαῒς πόλις καλεῖται.

Barce / Ptolemais

ΟΤΙ τὸν κυρηναϊκὸν ὀπὸν, τὸ σίλφιον ἐκφέρει.

Cyrenaic. fuc / Silphiú

ΟΤΙ κυρηναῖοι σοφοὶ ἐγένοντο. ἀρίστιππος ὁ σωκρατικός. καὶ τούτου θυγάτηρ, ἀρήτη. καὶ ταύτης υἱὸς, ἀρίστιππος, ὁ μητροδίδακτος. καὶ καλλίμαχος, καὶ ἐρατοσθένης, καὶ καρνεάδης, ὁ ἀκαδημαϊκὸς, καὶ ἀπολλώνιος.

ΟΤΙ ἡ κυρηναϊκὴ χώρα πᾶσα, ἀντιπαρήκει τῇ κρήτῃ νήσῳ κατὰ μῆκος παράλληλος.

ἀντιπαρήκει

ΤΕΛΟΣ

Ἐτυπώθη ἐν Βασιλείᾳ παρὰ Ἱερωνύμῳ Φρω-
βενίῳ καὶ Νικολάῳ τῷ Ἐπισκοπίῳ
ἔτει τῆς θεογονίας
,αφλγ

FRO BEN.